Καὶ μακρὸν ἐκράδαινεν εὐτέχνως δόρυ,
Θυμοῖς ὑπαντῶν δυσμενῶν κατὰ σΊόμα,
Κἂν ἀποληφθεὶς τοῖς τομοῖς ἀκοντίοις
Ὁ γεννάδας πέπΊωκε τῶν ὅπλων μέσον,
Μήπως ὁ καιρὸς εἰσφθαρεὶς τοῦ κινδύνου
Ψυχὴν ἀτεχνῶς εὐγενῆ καθυβρίσῃ.
Ἵππων δὲ δυσκάθεκτα [3] χαυνῶσαι θράσῃ
Χειρῶν ἀγωγῇ καὶ ποδῶν κατασΊάσει
Τίς ἦν ἐκείνου τοῦδε τεχνικώτερος;
Ἔπληττε καὶ πὺξ, καὶ δρομεὺς ἦν, ὡς γίγας [4],
Καὶ παντὸς ἁπλῶς ἀλτικώτερος νέου,
Καὶ δειλίας ἄγευσΊος [5] εἰ συνεπλάκη.
Ὅταν δὲ καὶ ῥόπαλον ἐξ ἐφεσΊρίδος,
Ἢ καὶ σπάθην πρόκωπον [6] εἰς χεῖρας φέρων
Τὰς δυσμάχους φάλαγγας ἐσΊρόβει μόνος,
Ἥλιε, Σαμψὼν ἄλλον ἰδὼν μαρτύρει.
Εἰς χάριτας δὲ καὶ σΊροφὰς κοινῶν λόγων,
Καὶ σχῆμα καὶ βάδισμα καὶ φρενῶν βάσιν,
Καὶ βλέμμα σεμνὸν, τῶν γερόντων ἐκράτει.

[1] Noster, ed. Wernsd. p. 58 : Ὦ πέτρα μὴ θρυβεῖσα τὴν ἔνδον βάσιν, Καθάπερ ἀδροῖς ἐγκοπεῦσα τοῖς πόνοις. In notis «l. ἐγκοπεῖσα». Recte in cod. Paris. ἐγκοπεῦσι.

[2] Cod. ἐκβολῆς.

[3] Cf. infra LVIII, 17.

[4] Cod. γιγάς.

[5] Prius ἄγευσΊον.

[6] Cod. Flor. LXV, 50 : Κἂν τὸ ξίφος πρόκωπον ἡ χεὶρ λαμβάνῃ, Μόνος πρὸς ἐχθροὺς ἀντιτάτΊῃ δυσμάχους.

Παίδευμα γὰρ ἦν ἐκ τριχὸς[1] πρώτης, ξένε,
Ληφθεὶς ἀπ' αὐτῆς εὐτυχῶς τῆς Περσίδος
Ὁ βάρβαρος παῖς ὑπὲρ Ἑλλήνων γένους
Ἥρωος ἀνδρὸς εὐκλεοῦς ἀρισλέως.
Ἢ τίς ὅλως οὐκ οἶδε τὴν καινὴν φύσιν,
Τὸν λαμπρὸν Ἀνδρόνικον[2] ἐξ ἔργων πλέον
Ἢ τῆς μεγάλης τοῦ γένους ἐνδείξεως;
Ὃς βασιλικῆς εὑρεθεὶς ῥίζης κλάδος,
Ὡς παῖς ἀδελφῆς τοῦ κρατοῦντος Αὐσόνων
Κομνηνοφυὴς Παλαιολόγος Δούκας,
Στρατηγικοὺς ἤνεγκε καρποὺς ἐκ βρέφους·
Ὧν ἡ καθ' ἡμᾶς ἀπεγεύσατο Θρᾴκη,
Καὶ πᾶσα δυσμὴ σὺν Θεῷ σεσωσμένη.
Εἰ μὴ γὰρ εἰς ἄνηβον ἦν ἔτι χρόνον,
Ἀλλὰ κατ' ἐχθρῶν ἐσΊρατήγει δυσμάχων
Τὴν σύμπασαν γῆν τακτικῶς διατρέχων,
Πᾶς ἂν ὁ κόσμος εἶπεν, « Ἰδοὺ γεννάδας,
Ἰδοὺ σΊαθηρὸς πανταχοῦ σΊεφανίτης! »
Τούτῳ συνὼν ἐκεῖνος ὁ γλυκὺς νέος
Τὸν θερμὸν εἰσήνεγκε τῆς ψυχῆς πόθον,
Ὡς μηδὲ βιοῦν μηδ' ἀναπνεῖν ἰσχύειν,
Μηδὲ βλέπειν φῶς, εἴγε μὴ τοῦτον βλέποι.
Καὶ τῆς καθ' ἡμῶν ἄρτι ῥαγείσης μάχης
Ἐκ τῆς πονηρᾶς ἐμβολῆς τῶν βαρβάρων,
Οὗτος δι' αὐτὸν[3] συμπλακεὶς τὸν δεσπότην,
Καὶ θραῦσιν ἐχθρῶν ἐργασάμενος ξένην,

[1] Cf. cod. Flor. LIX, 7.

[2] Andronicus Palæologus protovestiarius, filius Annæ sororis Andronici Senioris imperatoris. Confer. Nicephor. Gregor.; Cantacuz. I, 43, p. 211; cod. Flor. CXIV, 30, et CCL.

[3] Exspectes πρὸς αὐτὸν συμπλακείς. Conf. *Thesaurus Paris.* col. 1117 B.

Μόλις χαλασθεὶς[1] ταῖς βολαῖς ἀνετράπη·
Καὶ τῆς ὅλης ἐνταῦθα λυθείσης[2] μάχης,
Κοινὸν φυγὼν ὄλεθρον ἐξ εὐανδρίας
Ὁ δεσπότης τὸν δοῦλον ἐζήτει σῖένων,
Καὶ δάκρυ θερμὸν τῆς ψυχῆς ἀποθλίϐων.
Ὡς δ' εὗρεν οὐδὲν οὐδαμῆ τῶν λειψάνων,
Καίτοιγε συχνὸν καρτερήσας τὸν πόνον,
Κοινοῦ τάφου πήγνυσιν ἐνθάδε σῖάσιν
Εἰς μακρὸν ὑπόμνημα τῆς εὐσῖοργίας[3].
Οὐκοῦν, θεατὰ, μὴ παρελθὼν τὸν τάφον,
Εἰ δοῦλος εἶ, τὸν ἄνδρα μακάριζέ μοι,
Καὶ δεῦρο μιμοῦ φιλοδέσποτον[4] τρόπον·
Εἰ δεσπότης δὲ κατὰ τὴν ἴσην τύχην,
Τὸν δεσπότην θαύμαζε τῆς εὐσπλαγχνίας,
Καὶ τόνδε μιμοῦ καὶ μακαρίζου πνέων.
Ἑξῆς δὲ σαυτοῦ σωφρονέσῖερος μένων
Ἡγοῦ τὰ λαμπρὰ τῆς κενῆς δόξης κόνιν·
Τὸ γὰρ γένος πρόδηλον οὐχ ὕπεσῖί σοι,
Πολλῶν ἀφορμῶν ἐκτρεπουσῶν τὸν βίον.
Αἰτοῦ[5] δὲ Χρισῖὸν ταῖς λιταῖς τῶν ἁγίων
Καὶ τῆς τεκούσης τοῦτον ἀσπόρως[6] κόρης,

[1] Theod. Prodr. ed. Mai, II, 178 : Τί μὴ χαλάζαις βάλλομαι; Leo Diac. I, 3 : Χάλαζα βελῶν. Codex Coislin. 46, fol. 29 r° : Χαλαζοϐολία. Theod. Prodr. *Not. mss.* t. VI, p. 541 : Χαλαζοϐολεῖται μὲν γάρ μοι τὸ σῶμα μέχρις ὀνύχων ἐκ κορυφῆς.

[2] *De animal.* 361 : Χρόνῳ δὲ τῆς ἐνταῦθα λυθείσης μάχης. Ibid. 1605 : Τοῦ δὲ χρόνου λύσαντος ὀψὲ τὴν μάχην. Pisid. *Hexaem.* 346 : Δημοφθόρου τε λύσιν (cod. Par. 854 : φύρσιν) ἐμϐάλῃ μάχης. Edit. ex cod. Vat. φύσιν notat vocem ex φύρσιν corruptam.

[3] Cf. cod. Flor. LIII, 28.

[4] Cf. infra LVIII, 80.

[5] Versus 88 et seq. inveniuntur in cod. Flor. fol. 121 v°, sed anepigraphi. et sine initio.

[6] Hoc adverbium in Append. I, 44 et 107. S. Ephr. III, p. 539 D : Ἡ τὸν θεὸν ἀσπόρως ἐν γασῖρὶ δεξαμένη.

Ὧν τοὺς τύπους γραφέντας ὡς ἔμπνους βλέπεις,
Ῥᾷστα προελθεῖν εἰς Ἐδὲμ τὴν ὀλβίαν
Τὸν Παχατοὺρ τὸν ἄνδρα τὸν Γεώργιον,
Ἔνθα τρυφὴ καὶ φῶτα καὶ ζωῆς ὕδωρ,
Καὶ φαιδρότης ἄῤῥητος εἰς ἀφθαρσίαν,
Ὅταν τὸ τῆς σάλπιγγος ἠχήσῃ στόμα[1],
Καὶ συλλεγῇ τὰ κῶλα τῶν κοιμωμένων,
Ἃ δὴ σποράδην γῆ τε καὶ χύσις φέρει
Εἰς θῆρας ἰχθῦς ὄρνις ἀληλεσμένα.
[Καὶ διαῤῥεῖ τὸ φύλλον ἠρέμα φθίνον
Τῇ κατὰ καιρὸν συστολῇ τῆς ἰκμάδος[2].]

X. Τῷ πατριάρχῃ[3].

Σὺ μὲν ποθεινὲ πατριάρχα τῇ κτίσει,
* Ὡς ἀέρος δύναμις, ὡς φωτὸς χύσις[4],
Ἢ πῦρ τε καὶ γῆ καὶ τὸ πρὸς τούτοις ὕδωρ,
Τὰ κοινὰ καὶ χρήσιμα τῶν ἄλλων πλέον,
Καὶ συστατικὰ τῇ πρὸς ἄλληλα κράσει
Τοῦ ζῆν τε καὶ πνεῖν τὰς ἐν αἰσθήσει φύσεις,
Τὴν τῶν λόγων κύλικα[5] μικρὰν δεικνύεις
Ἀναστομῶν τὰ ῥεῖθρα[6] τῶν χαρισμάτων.
Ἐγὼ δὲ μετρῶν καὶ παραψαύων[7] πίνω,
Καὶ τὰς ἐμαυτοῦ συμφορὰς ἀποπλύνω,
Κἂν ἐξ ὑπαρχῆς τὰς ῥοὰς διατρέχων,

[1] Idem versus in cod. Flor. LXIV, 10.

[2] Vers. 99 et 100 qui desunt in cod. Paris. addit codex Florentin. ubi male φθεῖνον. Non videntur esse hujus carminis. Καὶ διαῤῥεῖ contra metrum. An scripsit διαρεῖ?

[3] Cod. Flor. fol. 117 et cod. Mon. fol. 68 : Εἰς τὸν αὐτόν. Id est in Niphonem, vid. vs. 49.

[4] Cf. cod. Flor. CXXII A, 6.

[5] Infra CLVII, 4 : Κρατὴρ λόγων.

[6] Cf. infra XLII, 3.

[7] Id. *De animal.* vs. 1692 : Χειρὶ δὲ λαβὼν καὶ παραψαύσας μόνον.

Ὡς ἀλκυὼν, ἢ κύκνος, ἢ χὴν, ἢ λάρος,
Εὑρεῖν ἀριθμοὺς ἐντελεῖς οὐκ ἰσχύω.
Καὶ σὺ μὲν ἐκ γῆς πρὸς τὸν αἰθέρα τρέχεις,
Δεικνὺς ἀπαθὲς τὸ πτερὸν[1] τῆς καρδίας·
Ἡ σύνθεσις γὰρ τῆς ὑποσπώσης[2] ὕλης
Τὸν νοῦν τὸν ὀξὺν οὐκ ἐλυμήνατό σοι·
Μᾶλλον δὲ τὸν χοῦν ἀντὶ νίτρου λαμβάνων,
Ὃ πέρδικες[3] ποιοῦσιν εἰς τοὺς φιλτάτους,
Τὴν εὐγενῆ πτέρυγα[4] τοῦ νοῦ φαιδρύνεις·
* Ἐγὼ δὲ τὴν σὴν δεξιούμενος φύσιν,
Πρὸς ἣν τὸν Ἑρμῆν οὐδὲ τέττιγα[5] κρίνω,
Κἂν ἄλλος εὐθὺς Ἀττικὸς μυθογράφος
Ποιῇ πτερωτὸν[6] ἐκ πεδίλων τὸν λόγον,
Τοὺς ἀπὸ γῆς ἠχοῦντας εἰσφέρω κρότους.
Λειμὼν[7] γὰρ εἶ σὺ καὶ θεόδροσος[8] τόπος,
Ὧ τὰς ὀρέξεις ἡ φύσις μερίζεται.
Σαίνει μὲν οὖν τὸ μῆλον· ἀλλ' ἰδοὺ ῥόδον·
Ἐκεῖ προελθὼν ἐμφοροῦμαι τοῦ κρίνου.
Αἱρεῖ τὸ παρὸν, ἀλλ' ὑφέλκει τὸ πρόσω·
Νικᾷ τὸ μακρὰν, καὶ Φιλῆς ἔνδον μόνον
Ἑστὼς κεχηνὼς, ἀγνοῶν ὅ, τι δράσει,

[1] Infra XXVI, 13 : Τῷ πλατυσμῷ τοῦ πτεροῦ τῆς καρδίας; ibid. v. 20 : Τὴν πτέρυγα τοῦ νοῦ; CLXXVI, 11 : Ὦ νοῦ πτερωθεὶς πρὸς θεὸν τοῖς πρακτέοις; CLXXVII, 10 : Ὦ νοῦ πτερωτά; ibidem, CCXXXVII, 17. Anonym. *De S. Theodoro*, 170 : Πτερὸν φοροῦντα τοῦ νοὸς διηρμένον. Cod. Flor. CCXXVI, 3 : Νοῦς ἐν πτεροῖς ὤν. Apoll. Rhod. IV, 23 : Πτερόεις δέ οἱ ἐν φρεσὶ θυμὸς ἰάνθη. Tryphiod. 373 : Πτεροέις νοῦς. Theodor. Hyrtac. *Epist.* 47 : Οὐ πτεροῖς κατὰ Δαίδαλον, ἀλλὰ νοῦ πτεροῖς.

[2] Conf. cod. Flor. XCVII, 19.

[3] Cf. *De animal.* vs. 305.

[4] Vide supra ad v. 15.

[5] *De animal.* 713 : Τέττιξ φιλῳδός. Cod. Flor. I, 429, ibique Wernsd.

[6] Cf. cod. Esc. XCI, 25; et Psellus, cod. Par. 1182, fol. 190 v°.

[7] Cf. cod. Flor. CXXXIV, 10.

[8] Cf. cod. Esc. CLXXXIV, 1.

Καὶ τοῦ χρόνου τρέχοντος ὀκνῶν τὴν τρύγην[1],
Εἶδον μετὰ χειμῶνα[2] λαμπρὰν αἰθρίαν·
Εἶδον μετ' αὐχμὸν ἐκ νεφῶν ὄμβρον πάλιν·
Εἶδον ζέον φῶς εἰσβαλὸν μετὰ ψύχος·
Ἔγνων ζεφύρου χύσιν[3] εἰς ὥραν πνίγους,
Μετὰ νόσου δύναμιν ὑγείας κράτος,
Μετὰ λιμοῦ κάκωσιν ἐξ ἀγροῦ σΊάχυς.
Ἐγευσάμην μέλιτος, ὠσφράνθην ῥόδων·
* Πλὴν ταῦτα μικρὰ, κἂν σαφῆ τέρψιν φέρῃ,
Πρὸς ἣν τὸ σὸν πρόσωπον ἐγχεῖ μοι δρόσον,
Ἥλιε τῆς γῆς, πατριάρχα, δεσπότα.
Ὅταν δὲ καὶ χάριτας[4] εἰσφέρῃς λόγων,
Τὰ πλῆκτρα[5] κινῶν τῆς βοῆς τῶν ὀργάνων,
Καὶ τὴν ψυχικὴν συγκροτῶν μουσουργίαν,
Τί χρὴ θορυβεῖν εἰς κενὸν τὸν Ὀρφέα;
Εἰ δὲ ξένοις ῥήμασι τὰς πράξεις δίδως,
Ὁ κοσμικὸς πρύτανις, ἡ κοινὴ χάρις,
Ὁ τῶν πενήτων ὄλβος, ὁ χρυσοῦς Νίφων,
Ὁ μηδ' ἀναπνεῖν μηδὲ φῶς βλέπειν θέλων,
Εἰ μὴ τρέφοις ἅπαντας ἀφθόνῳ δόσει,
Καὶ κρατύνοις τὸ σῶμα τῆς ἐκκλησίας
Ἀρτηρίας δύναμιν ἢ φλεβὸς φέρων,
Ἐνταῦθα σιγᾷ τεχνικὸς πᾶς τις λόγος.
Ποῖος γὰρ ἂν δύναιτο μετρεῖν ἀσΊέρας,
Ἢ ψάμμον ἢ χοῦν ἢ ποταμοῦ προσχύσεις[6],

[1] Cod. Flor. LXXV, 14 : Ἡ τῆς τελευτῆς δυσμενὴς ἦλθε τρύγη.

[2] Cf. infra XIII, 56.

[3] Cod. Florent. I, 3 : Πνοῆς κούφην χύσιν.

[4] Cod. Flor. LXV, 44. Id. CXXII, A, 8 : Ὅταν δὲ τὰς χάριτας ἡμῖν εἰσφέρῃς.

[5] Cf. infra XIII, 13.

[6] Cf. carmen in Andr. Cret. Append. IV, vs. 7 et sqq. Philes, ed. Wernsd. p. 76 : Τίς γὰρ ἂν δύναιτο μετρεῖν τὰ

Ἢ πάντα βυθὸν, ἢ πτερῶν κύκνου χνόην,
Ἢ καὶ τρίχας λέοντος, εἰ ξυρὸν στέγοι;
Τίς ἄρα, πατριάρχα, τίς σου τὴν φύσιν
* Οὐχ ὥσπερ εἰκὸς ἐκπλαγεὶς ὑπεστάλη;
Τοὺς γὰρ νόμους παρῆλθε τῶν ἐγκωμίων
Ἄληπτος εὑρεθεῖσα τοῖς κοινοῖς λόγοις.
Τί δή ποτ' ἂν εἴρηκεν ἰδών σε Πλάτων,
Καὶ μὴ δυνηθεὶς φυσικοῖς δεῖξαι τρόποις,
Ὦ νοῦ καθαρὲ καὶ ψυχὴ τῶν πραγμάτων;
Ὢ τίς ὁ πατὴρ, ἡ τεκοῦσα δ' αὖ πόθεν;
Ποίας δὲ λευκὸν μητρικῆς θηλῆς γάλα
Τοσοῦτον εἰσήνεγκε τοῖς θνητοῖς τέρας;
Ἐξ οὐρανοῦ πεμφθέντα μικροῦ σε βλέπων
Τὸν δεύτερον νοῦν, τὴν ἰσάγγελον[1] φύσιν,
Οὐκ οἶδ' ὅ, τι δρῶ· πλὴν ἐμαυτὸν φαιδρύνω,
Καὶ ταῖς ἀγαθαῖς ἐλπίσι[2] κουφίζομαι·
Καὶ βούλομαι μὲν τὸν σοφὸν, τὸν ἀγχίνουν,
Τὸ θαῦμα τῆς γῆς, τὸν πολύν σε προστάτην
Τοῖς τεχνικοῖς κρούμασιν ὡς δεῖ σεμνύνειν·
Ἐλέγχομαι δὲ καὶ σιγῶν ὑποστρέφω,
Καὶ τὴν δυσεξάγγελτον[3] οὐ φέρω φρίκην.
Καλύπτεται δ' οὖν ὁ πρὸ τοῦ θράσους φόβος
Τῷ Κελτικῷ τάπητι καὶ τῇ διφθέρᾳ,

πλήθη τῶν ἀστέρων; Τίς δὲ κυμάτων συνεχῶν ἀλλ' ἐπ' ἀλλήλους χύσεις; Pro ἀλλ' edit. proponit ἄν. Sed sine dubio legendum ἀλλεπαλλήλους. *Thesaur. gr.* Paris. ex Basil. citat ἀλλεπαλλήλοις κύμασι, crebris fluctibus. Qui locus huc apprime facit. Cf. Bandin. *Catal. codd. Flor.* t. I, p. 375, v. 49.

[1] Infra LXXXII, 10 : Τὰ σεμνὰ καὶ τρέφοντα τοὺς ἰσαγγέλους. Vit. S. Gregor. ep. Ripsim. n° 150 : Φωτισθέντες καὶ ἰσάγγελοι γενόμενοι. Anon. carm. *De S. Theodoro*, v. 232.

[2] Cf. infra CLXXV, 8.

[3] Append. I, 17 : Βάθος δυσεξάγγελτον ἀγγέλων φύσει.

* Κἂν τὴν πιθηκίζουσαν ὁρμὴν τῶν λόγων[1]
Τοῖς σοῖς βρυχηθμοῖς πρακτικῶς ἀνατρέπῃς·
Τῷ γοῦν ταπεινῷ τῆς ψυχῆς μου γαργάλῳ[2],
Μέγιστε πατριάρχα, συγγνώμην δίδου·
Ἐβάστασας γὰρ τὰς παρ' ἀνθρώποις νόσους,
Ἐζωσμένος δύναμιν, ὃ Γραφὴ[3] λέγει.
Σὸς γὰρ ἐγὼ σὸς, καὶ προδείξω τὸν πόθον,
Ὡς ἂν ἔχῃ πρόφασιν ὁ πλοῦς[4] τῶν λόγων,
Καὶ μὴ θρασυνθὲν κινδυνεύσῃ τὸ σκάφος.
Πλὴν ζῆθι καὶ χρῶ τῇ φιλανθρώπῳ φύσει,
Καὶ φαιδρύνου, καὶ χαῖρε τῶν ἄλλων πλέον·
Καὶ κατακοσμοῦ καὶ κροτοῦ κατακράτος,
Καὶ λαμπρὸν ὑπόδειγμα τοῖς ἄλλοις γίνου·
Καὶ παραμυθοῦ τοὺς ἐν ἀνθρώποις πόνους,
Καὶ βλύζε μοι τὰ ῥεῖθρα[5] τῆς εὐποιΐας·
Κἂν γυμνὸς ὦ, στόλιζε· κἂν πεινῶ, τρέφε.
Ναὶ μέχρι συχνοῦ μὴ παραδράμῃς χρόνου,
Ναὶ[6] δημιουργὲ τῶν ψυχῶν καὶ τῶν χρόνων,
Ὁ τοῦτον ἡμῖν εὐμενῶς δοὺς τὸν μέγαν.

* XI. Εἰς[7] εἰκόνα τοῦ Καλλιέργη ὃς ὢν λελωβημένος ὑγιάσθη παρὰ τῆς Θεοτόκου τῆς Πηγῆς[8].

Τρανῶς ἐνιδὼν τοῖς ἐσόπτροις τῶν τύπων
Τεραστίου θαύμασον εἰκόνα, ξένε.

[1] Ante hunc vers. 81 prius erat al. versus qui fuit erasus.

[2] Cf. supra VI, 5.

[3] S. Matth. VIII, 17.

[4] Supra VI, 32 : Ὦ πλοῦς ἐν λόγοις. Infra XVIII, 173 : Καὶ δὴ πέρας τίθημι τῷ πλῷ τῶν λόγων; CXCIII, 13 : Πρὸς τὸν γαληνὸν ἰθυνεῖ πλοῦν τὸν λόγον.

[5] Cf. cod. Esc. CCXIII, 121.

[6] Ad oram codicis ζήτει. Sane versus unus alterve hic excidit.

[7] Fort. in eumdem aliud carmen quod edidit Wernsd. p. 54, cum hoc lemmate : Εἰς τὸν κακοπαθῆ μοναχὸν λωβὸν τὸν κείμενον ἐν τῇ Πηγῇ.

[8] De hoc monasterio, Wernsd. *l. c.*

Ὁ κείμενος γὰρ καὶ παρεστὼς ἐνθάδε
Βοᾷ σιωπῶν τῆς πανάγνου τὴν χάριν·
Ὃς ἦν μὲν ἡδὺς ὑπὸ τῆς ἡλικίας,
Καὶ πρὸς μάχας γίγαντος ἐσφρίγα τρόπον·
Ἁλοὺς δὲ πικρῷ δυσχεροῦς λώβης πάθει,
Καθάπερ ἐχθροῦ δυσμενοῦς τινος βέλει,
Καὶ γνοὺς ἑαυτὸν ἀδρανῆ πρὸς τὴν μάχην,
Ἐπείπερ οὐκ ἦν ἐμφανὴς ὁ τοξότης,
Ὁρᾷ πρὸς αὐτὴν μυστικῶς τὴν παρθένον,
Καὶ τοὺς ἰατροὺς δυσφοροῦντας φαυλίσας·
Οὐκ ἦν γὰρ οὐδὲν συντελοῦν πρὸς τοὺς πόνους
Πορθοῦντας αὐτῷ τῶν μελῶν τὰς ἀκρίδας[1]·
Ὁπλίζεται μὲν ταῖς ῥοαῖς ταῖς ἐνθάδε·
Χαλκεύεται γὰρ εἰς τὸ πῦρ[2] τῆς καρδίας
Καὶ ῥεῦμα χυτὸν, εἰ Θεὸς μόνον θέλει·
Ἀνθίσταται δὲ τῇ προκύψει τῆς νόσου
Νικῶν τὸν ἐχθρὸν τῇ βολῇ τῆς ἐλπίδος.
Καὶ νῦν παραστὰς εὐπρεπὴς τῷ δεσπότῃ
* Καὶ τῇ στρατηγῷ τῶν ψυχῶν ὑπερμάχῳ
Τὰς ἐμφάσεις δείκνυσι τοῦ τεραστίου.
Ὁ γὰρ τοσοῦτος ὄγκος οὐ δεῖται λόγου·
Δεῖ γοῦν ἐπαινεῖν τῆς γραφῆς τὸν τεχνίτην,
Ὃς πρὸς τὸν υἱὸν ἀκροώμενον τάχα
Λαλοῦσαν αὐτὴν ζωγραφεῖ τὴν παρθένον·
Ἐγὼ μὲν, ὦ παῖ, τῷ παρεστῶτι ξένῳ
Τοῦ κινδύνου λέλυκα τὴν ὑποψίαν·
Σὺ δὲ ψυχικὴν ἀντιδοὺς εὐεξίαν
Τὴν μητρικὴν στήριξον εἰς τοῦτον χάριν.

[1] Philes, ed. Wernsd. p. 56 : Ἐκτέμνεται γὰρ τῶν μελῶν τὰς ἀκρίδας Ἀκμαῖς ὀδυνῶν τμητικῆς λώβης, ξένε. — [2] Cf. supra IV, 11.

XII. Τῷ Ξανθοπούλῳ κυρῷ Νικηφόρῳ.

Τὴν σχοῖνον ἡμῖν ἣν[1] ὁ κηρὸς ἐνδύει,
Χεθεὶς ἐπ' αὐτῆς ἐκ πυρᾶς νενημένης,
Τὴν σχοῖνον ἡμῖν τὴν πολύπλοκον[2] χάριν
Ἡ συνδετικὴ[3] πέμπε σειρὰ τῶν φίλων·
Ὡς ἂν ὁ κηρὸς εἰς τὸ πῦρ τῆς λαμπάδος
Ποιῇ μαρασμὸν[4] δυσχερῶν μοι καὶ σβέσιν·
Ἥλιε, φῶς, ἔλλαμψις, αὐγὴ πρὸς λόγον[5],
Καὶ γὰρ τὰ δεινὰ τῆς γραφῆς βλέποις[6] βάθη,
Καὶ τὸν περιστέλλοντα λευκαίνεις γνόφον,
Τῇ γνωστικῇ κλίμακι πηγνὺς τὰς βάσεις.

* XIII. Αὐθωρὸν[7] ἀποστοματισθέντες πρὸς τὸν αὐτοκράτορα περὶ ἀναστάσεως.

Αὐτοκράτορ μέγιστε, τί τάχα ξένον
Εἰ ζῶντα νεκρὸν καὶ λαλοῦντά με βλέπεις;
Τοῖς γὰρ ταπεινοῖς καὶ φρυγεῖσι λειψάνοις
Ἀποκρύφου πνεύματος ἐῤῥύη δρόσος.
Καὶ φθείρεται μὲν ὁ φθορεὺς ἀντιστρόφως[8],
Ἐγείρεται δὲ τὰ ψυγέντα σαρκία.

[1] Cod. vitiose ὅν.

[2] Cod. Flor. LXXXI, 5: Ἄγρωστις... πολυπλόκους ἔχουσα τὰς παρεκφύσεις. *De animal.* v. 507: Πολυπλόκους τείναντες εἰς θήραν βρόχους Θρᾷκες μὲν ἠρεμοῦσιν. German. Cpolit. cod. Coisl. 278, fol. 170 r°: Ὁρᾷς τὴν τῆς ἀπορίας σειρὰν, ὡς πολύπλοκος, ὡς ἰσχυρὰ, ὡς δυσδιάλυτος. Id. fol. 193 v°: Ἑνὶ λόγῳ τὰς πολυπλόκους σειρὰς τῆς ἀπογνώσεως ἔκκοψον. Martyr. SS. Ceryci et Julittæ, cod. Par. 1447, fol. 293 r°: Ἀναγκάζετέ με βασάνοις πολυπλόκοις ἀφανίσαι ὑμᾶς.

[3] Cf. infra XCV, 5.

[4] Cf. cod. Flor. CCXLVIII, 25.

[5] Ex corr. λόγους.

[6] Fort. βλέπεις.

[7] Cod. Flor. fol. 90, qui addit στίχοι ρξς'. Bandini versus tantum 165 numerat. Cod. Mon. fol. 9.

[8] Cf. cod. Esc. CVIII, 7.

Καὶ σφίγγεται μὲν τῶν μελῶν ἡ χαυνότης,
Ἐντείνεται[1] δὲ τῶν μερῶν ἡ λεπ7ότης,
Ἐκτείνεται δὲ τῶν φλεϐῶν ἡ πυκνότης,
Λιπαίνεται δὲ τῆς δορᾶς ἡ φαυλότης.
Καὶ σῶμα παγὲν τῇ πρὸς ἄρθρα συνθέσει
Χορδὰς νεουργεῖ μουσικῆς παλιμϐίου,
Καὶ πλῆκτρα[2] φωνῆς ὀργανοῦται συντόνου
Τῷ τὴν φύσιν κτίζοντι δευτέρᾳ πλάσει,
Καὶ τέφρα καὶ χοῦς καὶ σποδὸς καὶ σαπρία
Ψυχῆς λογικῆς ἐνδυδίσκεται κράτος.
Χθὲς εἶχεν ἡ γῆ τὴν σπορὰν τῶν λειψάνων,
Καὶ σεισμὸς ὠδίνουσαν αὐτὴν ἐσ7ρόϐει,
Καὶ νῦν ἑορτὴν ἐκτελεῖ γενεθλίων·
Ἀνοίγεται γὰρ ἀντὶ μήτρας πᾶς τάφος,
Νεκροὶ δὲ τοπρὶν τῇ σκιᾷ καθειργμένοι
Πρὸς δεύτερον φῶς εὐδρομοῦσιν ὡς βρέφη·
Ζωὴ δὲ καινὴ σπαργανοῦσα τοὺς τόκους
Ἀφθαρσίας γάλακτι[3] νοσ7ίμῳ τρέφει·
Νεκρὸς γὰρ οὐδεὶς καὶ καθεύδων ἐν τάφῳ,
Ζωηφόρου λάμψαντος ἐκ γῆς ἡλίου.
Ὢ πῶς ὁ νεκρὸς ἐνσαπεὶς τῷ πυθμένι
* Προέρχεται ζῶν καὶ τριχῶν βλάσ7ην[4] φύει,
Καὶ πάλιν ὡς πρὶν ἀκροᾶται καὶ βλέπει!
Καὶ ῥὶς ἐν αὐτῷ καὶ κατάλληλοι γνάθοι,
Καὶ γλῶσσα καινὴ καὶ διάϐροχος φάρυγξ,

[1] Infra CCIII, 49 : Ἐντείνεται δὲ τῶν φρενῶν ἡ λεπ7ότης. Vs. sq. fort. σκεδάννυται. Cf. CXXXIX, 43.

[2] Supra X, 45 : Τὰ πλῆκτρα κινῶν τῆς βοῆς τῶν ὀργάνων.

[3] Infra XLIX, 29 : Θεσπισμάτων γάλα ; LVI, 22 : Θυμηδίας γάλα ; CCVI, 2 : Τὸ πορφυροῦν τοῦ κράτους γάλα. Codex Florent. CXIII, 10 : Χαρίτων γάλα ; CXXIV, 23 : Θαυμάτων γάλα.

[4] *De animal.* 1886 : Τριχῶν βλάσ7ην ξένην.

Καὶ χεὶρ καθαρὰ τῆς τομῆς τῶν δακτύλων,
Καὶ στέρνα, καὶ γόνατα, καὶ ϖοδῶν βάσις,
Καὶ νοῦς ὁδηγὸς τοῦ κατ' αἴσθησιν βίου!
Σταυροῦ γὰρ ἰσχὺς τὸν Σατὰν καταστρέφει,
Καὶ σύνθετος ῥοῦς τὴν φθορὰν ἀποπλύνει,
Πλευρᾶς δι' ἡμᾶς ἐκρυεὶς νενυγμένης.
Ἐμπτύσματι[1] δὲ κοσμικὸς θνήσκει δράκων
Εἰκῇ τὸν ἰὸν τῇ βολῇ ϖαραπτύων[2].
Οἶνος δὲ νεκρὸς καὶ χολῆς μοι ϖικρότης
Τῆς ἡδονῆς ἀνεῖλε τὴν ἀπεψίαν.
Σπόγγος δὲ μοχλοὺς ἰσχυροὺς ϖρὶν συντρίβει,
Καὶ χαλκέας κάλαμος ἀνοίγει ϖτύχας·
Ἥλοις δὲ χειρῶν καὶ ϖοδῶν ἀνευθύνων
Τὰς εὐθύνας ῥήγνυμι τῆς ἁμαρτίας·
Ἀθύρματος δὲ ϖορφυρὶς ὑφασμένη
Ἔκρυψε ϖᾶν ἄθυρμα κοινῆς αἰσχύνης,
Καὶ τῶν ἀκανθῶν, Αὐσονάρχα, τῷ στέφει
Παθῶν βασιλὶς ἡ φύσις γνωρίζεται.
Ποῦ γοῦν τὰ δεινά; ϖοῦ τὸ τοῦ φθόνου θράσος;
Ποῦ στυγνότης; ϖοῦ ῥεῖθρα συχνὰ δακρύων;
Ποῦ καρδίας ἄλγημα; ϖοῦ φθορεὺς ϖόνος;
Παρῆλθεν ἡ νύξ, ἀλλ' ἐπῆλθε φῶς μέγα·
Καὶ φαιδρότης ἄῤῥητος ἐξήστραψέ μοι.
Νῦν ἔστιν ἰδεῖν ϖανταχοῦ γῆς αἰθρίαν·
Καὶ γὰρ ὁ χειμὼν[3] εἰς ϖαρακμὴν ἐῤῥύη.

[1] Actt. SS. Sept. t. VIII, p. 341 : Ἀπὸ τῆς ἐκουδενώσεως (leg. ἐξουδ.) τῶν ἐμπτυσμάτων. Cf. cod. Par. 2511, f. 83 r°. Forma ἐμπτυσμός in cod. Coislin. 94, fol. 238 v°; cod. Par. 371 A, fol. 14 r°, et cod. Par. 407, fol. 77 v°.

[2] Cod. Vat. XIII, 14 : Ὑγροὺς δὲ χυμοὺς ἐκ λιμοῦ ϖαραπτύει. Id. *De animal.* vs. 415 : Τὸν φθόγγον ἁπλοῦν καὶ βραχὺν ϖαραπτύει.

[3] Supra X, 34 : Εἶδον μετὰ χειμῶνα λαμπρὰν αἰθρίαν.

Νῦν, ὦ βασιλεῦ, καὶ τὸ τῆς ὥρας ἔαρ
Τὴν πνευματικὴν ζωγραφεῖ ταύτην χάριν·
Τὸν γὰρ μαρασμὸν τῶν φυτῶν ἀναψύχει
Κινοῦν τὸ θερμὸν εἰς γονὰς καὶ προσφύσεις,
Καὶ σπέρμα σαπὲν ταῖς νοτίσι τοῦ ψύχους
Αὖθις νέαν ὕπαρξιν ἐκ γῆς λαμβάνει.
Καὶ πολλὰ δ' ἂν εὕροι τις ἐν ζῴοις γένη
Τρανοῦντα κρυπτοῖς τὴν ἀνάστασιν λόγοις,
Ὡς ἂν τὸ πιστὸν ἀσφαλέστερον μένῃ.
Βοᾷ χελιδὼν, ἀλκυὼν ᾄδει πλέον,
Φοῖνίξ τε καὶ σὴς ἐκ φθορᾶς ἀνηγμένα,
Καὶ προσφάτους πτέρυγας ἠμφιεσμένα.
Ἥλιε, καὶ θάλπεις με καὶ νύττεις λέγειν
Τὸν εὐτελῆ τέττιγα τῆς σῆς ἑστίας.
Νῦν πάντα καινά· καὶ σιγᾷ μὲν ὁ Πλάτων,
Σκυτεὺς[1] δὲ λαλεῖ καὶ πρὸς αἰθέρα τρέχει·
Καὶ Πέτρος ὀφθεὶς ἐξελαύνει τὰς νόσους,
Καὶ τῷ καθ' αὑτὸν ἁπλοϊκῷ[2] δικτύῳ
Τὴν τοῦ γένους ἄβυσσον ἐγκλείσας ἔχει.
Χριστὸς γὰρ αὐτὸς ὁ βραβεὺς τῶν θαυμάτων
Τὴν τῶν σοφιστῶν ἐξελέγχει διπλόην[3]·
Ὃς τίκτεται μὲν ἐξ ἀμέμπτου παρθένου

[1] Paulum intellige qui pelles tabernaculorum consuebat. S. Cyrill. Alex. *De Trinitate*, p. 3, ed. Mai : Τὸν σκυτοτόμον ἰχνηλατῶν.

[2] Adverb. ἁπλοϊκῶς ap. Eust. *Opusc.* p. 272. Vit. S. Cypriani, codex Paris. 1512, fol. 8 v° : Ὧδε δὲ τοῦ λόγου γενόμενος, ἁπλ. βούλομαι πάλιν καὶ σαφῶς ποιήσασθαι τὴν διήγησιν. Xanthopul. *Synax.* cod. Par. 1585, fol. 325 r° : Οἱ δὲ, ὡς ἁπλ. ἐξαπατηθέντες, στάσιν κατὰ τοῦ ἀρχιερέως ἐγείρουσιν. Jo. Staurac. in S. Demetrium, cod. Coislin. 146, fol. 22 v° : Ἐπεὶ δὲ ἡ δύναμις τῶν θαυμάτων καὶ τὸ πλῆθος ἐκ περιουσίας ὑπερνικᾷ, ἐπιτροχαστέον ἁπλ. τοῦ μεγάλου τὰ θαύματα. Cf. Theod. Lascar. cod. Par. 1193, fol. 8 r°.

[3] Infra LIII, 6 : Καὶ διπλόη ῥήματος οὐκ ἔνεστί σοι.

Τὴν μέμψιν ἡμῖν τῆς γονῆς ὑπεξάγων·
Καλεῖ δὲ Περσῶν εἰς ἐπίγνωσιν μάγους,
Ὡς ἂν διδαχθῇ ϖᾶσα τὸν κτίστην κτίσις.
Σφαγαῖς δὲ κοσμεῖ τῶν βρεφῶν τοὺς αὐχένας,
Ὑφ' ὧν ὁ Σατὰν συγκοπεὶς ἀπεπνίγη.
Αἱρεῖ δὲ τὴν Αἴγυπτον ὠθῶν τὴν ϖλάνην
Ἐν τῇ δι' ἡμᾶς τῆς φυγῆς ὑποκρίσει,
Καὶ δείκνυσι ϖῶς εὐπρεπῶς ἄν τις φύγοι
Τὸν τοῦ σκότους τύραννον, εἰ ϖάντως δέοι.
Λέπρας δὲ ϖᾶν αἴσχιστον ἐκτρίβει ϖάθος,
Ὡς ἂν καθαρθῶ τῆς ἐμῆς ἁμαρτίας·
Κυκώμενον δὲ τῇ στροφῇ τῶν ϖνευμάτων
Τὸ ῥεῖθρον ἱστῶν κοσμικὴν λύει ζάλην[1].
Ὃς δεσποτικῶς ἐγκελεύεται τρέχειν
Καὶ τὴν κλίνην ἄραντι τῷ ϖαρειμένῳ·
Τοῖς γὰρ ϖαραπτώμασιν ἐκλελυμένην
Τὴν φύσιν ἡμῶν οὐ ϖαρεῖδεν ὁ ϖλάσας.
Ὃς αἵματος ῥοῦν ἐμπεδοῖ τῷ κρασπέδῳ,
Κλοπὴν[2] γυναικὸς εὐσεβοῦς μὴ φαυλίσας.
Χηρᾷ δὲ χειρὶ σωστικὴν δοὺς ἰκμάδα
Πρὸς νῆψιν ἡμᾶς ϖρακτικὴν ἀπευθύνει·
Ἄρτοις δὲ ϖέντε δαψιλῶς[3] ὄχλους τρέφει,
Ζῶν ἄρτος αὐτὸς εὑρεθεὶς ψυχοτρόφος.
Ὃς καὶ φύσιν ὕδατος εἰς οἶνον τρέπει,
Φανεὶς δυνατὸς ἐξαμείβειν τὰς φύσεις·
Πηλῷ δὲ τυφλὸν ὀμματοῖ καὶ δακτύλῳ,
Σοφῶς νεουργῶν δυσπραγοῦσαν τὴν ϖλάσιν·
Στηρίζεται δὲ καὶ τρέχει καθ' ὑδάτων

[1] Infra xcviii, 2. — [2] Cf. S. Matth. ix, 20, et S. Luc. viii, 43. — [3] Cf. cod. Flor. xx, 4.

Πηγνὺς τὸ ῥευσ7ὸν τῆς ἐμῆς διαρτίας·
Ἁπλῶς δὲ συντριβεῖσαν ἡμῶν τὴν φύσιν
Ἀναπλάσας ἔδειξεν εὐπρεπεσ7έραν·
Ἐνταῦθα πορνῶν σωφρονίζεται τρόπος,
Νεκρὸς δὲ μυδῶν τετραήμερος τρέχει
Τὰ νεκρικὰ σπάργανα ῥηγνὺς εὐτόνως·
Σοφίζεται δὲ τῶν βρεφῶν ἡ καρδία,
Νικῶντος εὐθὺς τὴν φθορὰν τοῦ δεσπότου·
Πειράζεται δὲ καὶ νικᾷ τὸν αὐθάδη
Πεινῶν δι' ἡμᾶς ὁ τροφεὺς τῶν ἐμψύχων·
Ἀρᾷ δὲ συκῆς πυρπολεῖ ζῶντας κλάδους,
Ὡς ἂν φύγω τὸ δεῖγμα τᾶς ἀκαρπίας·
Χρεῶν δὲ πολλῶν ἐκκοπήν μοι δεικνύει
Τάλαντον ἁπλοῦν ἐκδοθὲν πλὴν εὐθύνης.
Καὶ παρθένοι σκιρτῶσι φαιδραὶ τὸν βίον,
Καὶ παρθένοι θρηνοῦσι μωραὶ τὸν τρόπον,
Παρόντος ἐγγὺς τοῦ καλοῦντος νυμφίου·
Πίνει δὲ τὸ ζῶν ἡ Σαμαρεῖτις ὕδωρ
Εὑροῦσα πηγὴν μυσ7ικῆς ἐπομβρίας.
Ἀνὴρ δὲ πικροῖς ἐμπεσὼν ὁδοσ7άταις
Τῆς ψυχοκερδοῦς[1] ἀξιοῦται φροντίδος.
Λῃσ7ὴς δὲ τὸν πρέποντα καιρὸν ἁρπάσας[2]
Ἐδὲμ θυρωρὸς καὶ πολίτης γίνεται.
Τὸ γοῦν μετασχεῖν τῶν τοσούτων θαυμάτων
Τῷ δημιουργῷ τὴν ὑπεύθυνον φύσιν
Ἔνδειξιν, ὦ κράτισ7ε, συγγνώμης ἔχει.

[1] Cod. Esc. CLVIII, 9: Ἡ ψυχοκερδεῖς καὶ θεόγραφοι πλάκες. Id. *De animal.* v. 1653: Ὡς ψυχοκερδῆ τὸν βυθὸν διατρέχειν. Pisid. *Hexaem.* 477: Καὶ ψυχοκερδὴς γίνεται πλουτοκράτης. Lexicis adde πλουτοκράτης.

[2] Cod. Flor. XLIV, 25: Μᾶλλον δὲ τὸν πρέποντα καιρὸν ἁρπάσας.

Πέτρος γὰρ αὐτὸς μαρτυρεῖ πάντων πλέον,
Ὃς νῦν μὲν ἠρνήσατο τὸν διδάσκαλον
* Ληφθεὶς λογισμοῦ συστολῇ μικροψύχου·
Νῦν δὲ τρέχων ἔσπευδεν ἰδεῖν τὸν τάφον·
Καὶ νῦν μὲν αὐτῷ συλλαλεῖ τῷ δεσπότῃ,
Νυνὶ δὲ κλεισθεὶς οὐρανῶν κλεῖς λαμβάνει,
Καὶ θαυματουργεῖ τῇ σκιᾷ τοῦ σώματος.
Ἀλλ' ὦ βασιλεῦ, τῆς ἐμῆς ψυχῆς ἔαρ[1],
Καὶ πνεῦμα καὶ φῶς καὶ τρυφὴ καὶ φαιδρότης,
Ὦ λῆμα[2] καὶ νοῦ καὶ λογικὴ λεπτότης
Ἀσυγκρίτως ἔχουσα πρὸς πᾶσαν φύσιν·
Ὦ τοῦ γένους ἔγερσις ἀψευδεστάτη,
Καὶ τοῦ στέγους ὕπαρξις ἀσφαλεστάτη,
Τί δὴ τὸ λευκὸν καὶ χλιδῶν τῶν μαργάρων,
Εἴπερ φύσις πήγνυσιν αὐτοὺς ὀστρέων,
Πρὸς τὴν διαυγῆ τοῦ προσώπου σου χρόαν,
Ἣν ἡ χάρις ἔδειξε λευκὴν ὡς γάλα;
Τί καὶ τὸ φαιδρὸν ψυχόντων[3] ἀνθράκων
Πρὸς τὴν φυσικὴν τῶν μελῶν σου πορφύραν;
Μὴ τὸν νοητὸν ἠμφιάσω δεσπότην,
* Καὶ ζῇς ἐν αὐτῷ κατὰ Παῦλον τὸν μέγαν,
Ὡς πᾶσαν ἁπλῶς ἐκνικᾶν ὥρας χάριν,
Ἣν χωρὶς εἰς ἕκαστον ἡ φύσις γράφει;
Μὴ τῆς ψυχῆς τὸ κάλλος ἐμφαίνεις ὅσον
Πρὸ τοῦ μολυσμοῦ[4] τῶν παθῶν τῶν ἐξ ὕλης;
Μὴ σαρκὸς ἐν σχήματι νοῦς ὅλος μένων
Τὴν ὄψιν αὐτὴν ζωγραφεῖς τῶν ἀγγέλων;

[1] Cf. cod. Flor. ccxxxii, 1.
[2] Cod. λῆμμα.
[3] Leg. ἀψύχων τῶν.
[4] German. Cpol. cod. Coislin. 278, fol. 219 v°: Ἵνα μολυσμὸς πορνείας ἀποπλυνθῇ προσώπου.

Ἀλλὰ πανηγύριζε, τέρπου, φαιδρύνου·
Καὶ γὰρ ὁ τὰς κλεῖς[1] τῆς φθορᾶς διαθλάσας,
Καὶ πάντα νεκρὸν ἐκ μυχῶν γῆς ἁρπάσας,
Καὶ πάντα καιρὸν ἐξαμείϐων ὡς θέλει,
Καὶ πάντα μετρῶν ὡς ἐπίσταται χρόνον,
Ἐκεῖνος αὐτὸς εἰς πολὺ πλῆθος χρόνων
Ἐν σοὶ πλατυνεῖ πανταχοῦ γῆς τὸ κράτος.

* XIV. Παραμυθητικοὶ πρὸς τὸν αὐτοκράτορα, τῶν Σικελιωτῶν τὴν Θρᾴκην ἐπιδραμόντων.

Τί δή, βασιλεῦ πρὸς Θεοῦ κεχρισμένε,
Πενθεῖς δι' ἡμᾶς ἐν σιγῇ καὶ δακρύεις,
Πυκναῖς σεαυτὸν συστολαῖς ἀποθλίϐων,
Καὶ τοὺς ἀγωγοὺς τῆς ῥιπῆς τῶν ὀμμάτων
* Ἀτμοῖς ψυχικῶν συνθολῶν ἐμϐρασμάτων[2],
Καὶ τὴν φυσικὴν ὑποτήκων ἰκμάδα
Τῇ παραγωγῇ τῆς πυρᾶς τῶν δακρύων;
Τί δή, βασιλεῦ, τῇ στροφῇ τῶν φροντίδων
Καὶ τῇ πνιγηρᾷ τῆς πνοῆς διεξόδῳ[3]
Τὸ χῦμα[4] τῆς σῆς ἀνταναείργεις[5] καρδίας,
Καὶ τὸν πλατυσμὸν τῆς ψυχῆς οὐ δεικνύεις;
Θεοῦ γὰρ οὐ χρὴ συσκιάζειν ἐμφάσεις
Ἐκ τῶν μεταξὺ τοῦ προσώπου συμϐόλων.
Τί δή, κεφαλὴ καὶ ψυχὴ καὶ καρδία,

[1] Figurate. Infra XIV, 440 : Τὰ κλεῖθρα συνθλῶν τῆς φθορᾶς καὶ τὰς πύλας. Germ. Cpol. cod. Coisl. 278, fol. 225 v° : Κἂν αὐτοὶ αἰδοῦς κλεῖθρα τοῖς χείλεσι προσαρμόσαντες σιωπᾶτε.

[2] De hac voce silent lexica.

[3] Infra v. 298 : Πυκνὰς τῆς πνοῆς τὰς ἐξόδους. Gregor. in *Thesauro* : Τῇ διεξόδῳ τοῦ πνεύματος. German. Cpol. cod. Coisl. 278, 222 r° : Συνεθλίϐετο τὸ πνεῦμα περὶ τὰς διεξόδους.

[4] Philes, *In Imperat.* p. 84, ed. W. : Τὸ χῦμα τῆς καρδίας.

[5] Cf. infra XVIII, 66.

Καὶ νοῦ καθαρὲ τοῦ μεγάλου σώματος
(Αἰνίτlομαι γὰρ τὰς Φυλὰς τῶν Αὐσόνων),
Ἐναπομάτlῃ δρασlικῶς καὶ συλλέγεις
Ἁπάσας ἁπλῶς τὰς νομὰς[1] τῶν τραυμάτων;
Κἂν δέρμα, κἂν σὰρξ, κἂν βραχὺς ὄνυξ πάθῃ·
Κἂν θρὶξ περιτlῇ, κἂν ψεκὰς παρεμπέσῃ·
Κἂν Φθεὶρ ἐνοχλῇ, κἂν ὁ μῦς κλέπlῃ ψίχας·
Κἂν σαλπίσῃ κώνωπος ἠρέμα σlόμα·
* Κἂν βοῦς συληθῇ, κἂν ὀρεὺς, κἂν ἀρνίον,
Κἂν ἵππος ἢ σῦς ἐκ νομῆς πολυτρόφου,
Ἢ βότρυς ἢ ῥὰξ ἐκ τοσαύτης ἀμπέλου,
Τῶν ἑσπερινῶν εἰσφθαρέντων ἁρπάγων·
Οὕτω γὰρ οἶδα πρὸς τὸ σὸν μέγα κράτος,
Καὶ τὴν Φυσικὴν τῆς ψυχῆς μοναρχίαν,
Τὴν νῦν καθ' ἡμῶν ἀγανάκτησιν κρίνειν,
Ἣν μᾶλλον ἡμᾶς εὐδοκῶν ἐπισlρέφειν
Ὁ παιδαγωγὸς τῶν ψυχῶν ἐπιτρέφει·
Καὶ δῆλός ἐσlι σωφρονίζων τὴν φύσιν,
Ὡς τέκνα πατὴρ συμπαθὴς ὢν τὴν φύσιν,
Καὶ μάσlιγας μὲν ἐμβριθῶς ἐπιτρίβων,
Πλὴν ὥσlε ῥιπlεῖν εἰς Φθορὰν οὐκ ἐκτρίβων,
Οὐδ' ὥσπερ εἰς ἄλευρον εὐθὺς συντρίβων.
Τοῖς δαίμοσι γὰρ τοῖς κακοῖς κυναρίοις
Τὸν ἄρτον, ὡς εἴρηκεν[2], οὐ βαλεῖν θέλει·
Πλὴν εἰς ἀπειλὰς τὸν θυμὸν παρατρίβων,
Ἕως κατασχὼν καὶ μαλάξας τοῖς Φόβοις
Αὖθις νεουργῶν εὐγενίσῃ[3] τὴν πλάσιν.

[1] Cf. cod. Esc. CLXIII, 16.
[2] S. Matth. XV, 26.
[3] Infra XIV, 328: Εὐγενίζων τὴν πλάσιν. Cod. Esc. CCXIII, 161: Εὐγενίζεις τὴν δίκην. *De elephant.* 226: Εὐγενίζει (cod. Esc. σωφρονίζει) τὸν βίον, ibique

Πῶς οὖν, βασιλεῦ, δυσφορεῖς πάντων πλέον,
Ὅταν ἐπισῖὰς ὁ γλυκὺς παιδοτρίϐης,
* Καὶ γραμματισῖὴς καὶ σοφὸς καὶ τεχνίτης,
Δοκῇ σοϐαρὸς τῷ σκοπεῖν τὸ συμφέρον;
Καὶ σὺ δὲ φανεὶς εὐμαθὴς ἐπισῖάτης
Ἐν συναγωγαῖς τῷ Θεῷ πῖωχοσχόλοις[1],
Ὡς τὴν φύσιν κράτισῖος ἐκ μειρακίου,
Καὶ τῷ καθ' ἡμᾶς ἐμφερὴς διδασκάλῳ
Λαλεῖς, παραινεῖς, μασῖιγοῖς ὅταν δέοι,
Καὶ πάλιν εἰ χρὴ συμπαθῶς ἐπιϐλέπεις·
Καὶ πάντα ποιεῖς, τὸν διδάσκαλον τρέμων,
Ὃς τοῦτον ἰδὼν ἐξ ἀδήλου τὸν φόϐον
Ὀργίζεται μὲν, ἀλλὰ τοῖς νωθεσῖέροις,
Μαλάσσεται δὲ τοῖς προσεκτικωτέροις[2]·
Καὶ σπένδεται μὲν, ἀλλὰ σὴν δήπου χάριν,
Ἀεὶ δὲ παρὼν ἐξετάζει καὶ βλέπει,
Καὶ τὴν ἀγωγὴν τῆς σχολῆς ἐκμανθάνει·
Καὶ νῦν μὲν εἰς πῦρ τὸν θυμὸν παροξύνει
Πιμπρᾶν ἀπειλῶν εἰς ἀνάγκην ἐσχάτην·
Νῦν δὲ σῖομοῖ σίδηρον ἀκόνην φέρων,
* Καὶ σχηματίζει τὴν σφαγὴν πρὸ τῆς βλάϐης·
Νῦν δὲ τροφῆς ἄγευσῖον ἐξάγει κρίσιν,
Εἴργων προελθεῖν τὰς γονὰς τῆς παμφόρου,

Wernsd. qui male dubitat de verbo *εὐγενίζω*. *De animal.* 598 : Καὶ τῶν γυναικῶν εὐγενίζει τὸν τρόπον. Anon. ap. cod. Par. 39, fol. 91 r° : Εὐγενίζεται φύσις. Id. fol. 92 r° : Καὶ τὴν αἴσθησιν κατὰ λόγον εὐγενισθεῖσαν.

[1] Hanc vocem ignorant lexicographi, ut et sequentes : Πῖωχογενής, cod. Par. 396, p. 635. — Πῖωχοκτόνος, S. Max. *Opp.* t. I, p. LXXXVI. — Πῖωχοπρεπής, Theodor. Stud. *Bibl. Patr.* Mai, t. V, p. 12 : Τῆς πῖωχοπρεποῦς ἐνανθρωπήσεως. — Πάμπῖωχος, cod. Par. 3058, fol. 42 v°. — Πολύπῖωχος, S. Ephr. Syr. *Opp.* t. II, p. 352 F : Ἡ π. μήτηρ.

[2] Cf. cod. Flor. CXCVIII, 112.

Ἢ ξηρὰ τοῖς ὕδασι μοσχεύων ξύλα
Γόμφοις περιτίοις προσφυῶς πεπαρμένα,
Μήπως προληφθῇ καὶ θρυβῇ τῇ συντάσει,
Πληγὰς καθ' ἡμῶν δυσχερεῖς ἐπιγράφει.
Καὶ ταῦτα ποιεῖ τοῖς κακοῖς ὠργισμένος·
Εἰ δὲ προσηνεῖς καὶ προκόπτοντας βλέποι,
Καὶ πρὸς τὰ μαθήματα συντονωτέρους,
Ἃ τῇ φύσει προὔθηκεν ἐξειλεγμένα
Σοφὸς πεφυκὼς πανταχῇ σχεδεκδότης[1],
Προκύψας εὐθὺς ἐξ ὀπῆς ἀποκρύφου
Πολλῶν ἀγαθῶν ὁρμαθοὺς[2] ἐπιβρέχει,
Καὶ τεκνοποιεῖ καὶ καλεῖ φιλοφρόνως
Ποθῶν καταψῶν εὐθυμεῖν ἐπιτρέπων,
Καὶ μέχρις αὐτῆς εὐδρομεῖν τῆς ἀγκάλης.
Οὕτω δικάζει τοῖς βροτοῖς ὁ δεσπότης,
Οὕτως ἀναιρεῖ τὰς λαβὰς τῶν τραυμάτων,
Οὕτως ἀνείργει τὰς νομὰς καὶ τὰς φλέβας
Καὶ τὰς ἀφανεῖς τῶν κακῶν ἐπιῤῥύσεις,
Καὶ πάσας ἁπλῶς ἐκδιώκει[3] τὰς νόσους

[1] Hanc vocem ignorant lexica, quibus obiter addam : Γραμματοδότης, Theod. Stud. cod. Coislin. 94, fol. 183 r° : Ὁ γραμματοδότης ἐμὸς υἱὸς ἀγαπητός. — Εἰρηνοδότης, Anon. in Psalm. codex 371 A : Εὐφυῶς δὲ ἄγαν ἀναιρέτην εἰπὼν τῆς ἐχθρᾶς Χριστὸν τὸν αὐτὸν καὶ εἰρηνοδότην ὠνόμασεν. — Θυμηδιοδότης, Theodor. Lascar. apud Mai, *Bibl. Patr.* t. VI, p. 263. — Λογοδότης, Elias Cret. in Jo. Climac. cod. Coislin. 87, fol. 300 v° : Ἀαρὼν ἀρίστου ἐπιτέτυχε λογοδότου καὶ λεξιδρόμου. — Ὀμφοδότης, Theodor. Lascar. *l. l.* p. 261. — Παντοδωροδότης, Actt. SS. Gregorii, ep. Sept. t. VIII, p. 366 E : Τοῦ παντοδωροδότου θεοῦ. *Ibid.* p. 370 D. — Σοφριοδότης legitur ap. Theod. Lascar. *l. l.* p. 263; sed fort. leg. σοφοδότης. — Τεκνοδότης, Anon. astrol. cod. Par. 2506, fol. 58 v°. — Ὑγιοδότης, Theod. Lascar. *l. l.* p. 263.

[2] Cf. cod. Flor. LXV, 8.

[3] Cod. Esc. XLV, 4 : Ἐκβιβάζεις τὴν νόσον. Cod. Flor. CXI, 16 : Κατὰ βραχὺ τοῦ σώματος τὰς νόσους ἐξιστῶσιν. Id. *De animal.* v. 1384 : Κατείργω τὴν νόσον. *Ibid.* 1352 : Ἐξορίζει τὴν νόσον.

Ὀξὺς ἰατρὸς εὑρεθεὶς πρὸς τοὺς πόνους.
Τί γοῦν, βασιλεῦ, τὴν καλὴν ὄντως φύσιν,
Τὸ σῶμα τὸ ζῶν εἰς τὸ θάλπειν τὸ κράτος
Καὶ τοὺς νεοσσοὺς τῆς γονῆς ὑπεξάγειν[1],
Μὴ δαπανηθῇ καὶ ῥυῇ τὸ πᾶν γένος,
Καὶ κατενεχθῇ πρὸς τὸ χεῖρον ἡ κτίσις,
Εἰκῇ ταπεινοῖς καὶ λυπεῖς καὶ συντρίβεις
Κρυπτὸν μαρασμὸν ἐμβαλὼν τῇ καρδίᾳ;
Τί τὴν ἀσυλλόγιστον[2] ἀνθρώποις κρᾶσιν
Καὶ τὴν ἀπαθῆ τῆς ψυχῆς εὐεξίαν
Εἴργεις φυσικῶν ἐμφορεῖσθαι φαρμάκων,
Κἂν μικρὸς ἢ μέγιστος ἢ μέσος πόνος
Πικρῶς ἐνοχλῇ προσρυεὶς παρ' ἐλπίδας;
Πλὴν εἰ σεαυτὸν ἐξετάζοις ἐνθάδε
* Καὶ τοῖς παλαιοῖς Αὐσονάρχαις συγκρίνοις,
Οὓς πεττὸς[3] ἐγνώριζεν οὐκ ἔχων στάσιν,
Καὶ δεῖπνα συχνὰ καὶ χρονίζοντες πότοι,
Καὶ κυμβάλων κρούματα ῥᾳστώνης χάριν,
Ἐφ' ὧν τὸ σεπτὸν ἐπλατύνετο κράτος,
Εὐθὺς γλυκανεῖς τῆς ψυχῆς τὴν πικρίαν,
Καὶ τὴν περιττὴν φλεγμονὴν κατασβέσεις·
Εἰ γὰρ κατ' αὐτοὺς καὶ τὸ πᾶν ἔχειν δίδως,
Τὴν ἀρετὴν ἄμισθον εὑρίσκειν δίδως,
Χρηστόν τι ποιεῖν τῶν κακῶν δυναμένων·
Ὃ πῶς ἂν αὐτὸς κἂν ἐγὼ λέγω κρίνοις,
Ὁ καὶ μεταξὺ τῶν λυπούντων ἀγχίνους;

Boeckh, *Insc.* n° 511, 20 : Νοῦσον ἀπωσάμενος πυροφόρον. *Ibid.* n° 3273, 13 : Νόσον ἐάω.

[1] Infra LXXVII, 1.

[2] Menand. ap. Stob. II, 6 : Ἀσυλλόγιστόν ἐστιν ἡ πονηρία. Adverb. ἀσυλλογίστως ap. Theodor. Stud. p. 178 E.

[3] Vid. Sueton. *August.* cap. LXXI.

Ὁρᾷς, βασιλεῦ, τῶν φυτῶν τοὺς ἐργάτας
Οἳ τὰς ἐν αὐτοῖς ἐξοχὰς καὶ τοὺς κλάδους,
Εἰς δυσπλόκους[1] ἕλικας ἐκτεταμένους,
Τεθηγμένοις τέμνουσιν ἐγχειριδίοις,
Μὴ, τοῖς περιτ7οῖς εἰσρυείσης τῆς δρόσου,
Μείνῃ τὸ σῶμα τῆς φυῆς τεθλιμμένον,
Καὶ καταμικρὸν εὑρεθῇ πεφρυγμένον;
* Τινὲς δέ φασι πυρπολεῖν τὰς ἀμπέλους,
Ὡς ἂν τὸ θερμὸν εἰς τὸ βάθος ἐκτρέχον
Τὰς ῥίζας αὐταῖς εὐφυῶς ἀναψύχῃ,
Καὶ δημιουργῇ τὰς γονὰς τελεσφόρους[2].
Τί γοῦν ἀθυμεῖς καὶ πιέζεις τὴν φύσιν,
Ὅταν ἑκάστῳ τὸ προσῆκον εἰσφέρῃ
Ψυχῶν γεωργὸς εὑρεθεὶς ὁ δεσπότης;
Φέρε, σκοπῶμεν τὴν φορὰν[3] τῶν πραγμάτων
Ἐκ τῶν φυσικῶν αἰτιῶν καὶ λημμάτων,
Πόθεν τὸ βασίλειον ἐκτήσω κράτος.
Εἰ μὲν γὰρ ἐκ γῆς, οὐ σοφῶς ἂν θαυμάσαις
Ὁρῶν τὸ ῥευστὸν καὶ τὸν ἄστατον δρόμον,
Καὶ τὴν περιττὴν τῆς ῥοπῆς ἀταξίαν,
Καὶ τὰς ἀμυδρὰς τῆς σκιᾶς ὑποκρίσεις,
Καὶ τὰς ἀκαλλεῖς τῶν δοκούντων ἐμφάσεις.
Εἰ δ' ὥσπερ εἰκὸς ἐκ θεοῦ πρόσεστί σοι
Τοῦ κατακοσμήσαντος ἣν ἔχεις φύσιν,

[1] Hæc vox deest lexicis. Cod. Escur. xxxviii, 4 : Δυσπλόκους βρόχους. Noster, p. 66, 70, edit. Dübner. : Δυσπλόκους μίτους.

[2] Unde τελεσφόρησις ap. German. Cpol. cod. Coisl. 278, fol. 23 r° : Ἐνέθηκε γὰρ ὁ θεὸς πλαττομένῃ τῇ φύσει τῇ ἡμετέρᾳ σπέρματα τῶν ἀγαθῶν πράξεων, τὴν καλλιεργίαν αὐτῶν καὶ τὴν πρὸς τελεσφόρησιν ἐπιμέλειαν. Idem, fol. 24 r° : Ἀτεκνοῦντα δὲ ὡς μὴ συγχωρουμένου τοῦ καταβαλλομένου σπέρματος ζωογονηθῆναι πρὸς τελεσφόρησιν.

[3] Conf. cod. Flor. xlix, 11.

Τί συλλογίζῃ τὴν κατ' ἄνθρωπον κρίσιν,
Καὶ καθάπερ σύμμαχον οὐκ ἔχων μέγαν,
* Μᾶλλον δὲ καὶ πρόμαχον ἐν τοῖς κινδύνοις,
Πενθεῖς ὁ καλὸς τοὺς κακοὺς καὶ δακρύεις;
Σὺ γὰρ κἂν οὐδὲν εἰσενεγκεῖν ἰσχύσῃς,
Ἀλλ' οἶδεν αὐτὸς ἀκριβῶς τὸ συμφέρον,
Ὃς οὐ λίθον δίδωσιν ἂν ἄρτον θέλῃς[1],
Παρακρατεῖ δὲ τῆς μαχαίρας τὸ σ7όμα,
Τὸ τῆς σφαγῆς ὕποπ7ον εὐτέχνως λύων.
Τίς οὖν, βασιλεῦ, καὶ τὸν ἔμπροσθεν χρόνον
Συνεῖχε δεσμοῖς καὶ σφαγαῖς τοὺς ἐκφύλους
Καὶ πρὶν καθ' ἡμῶν εἰσρυῆναι πολλάκις;
Τίς ῥῆγας εὐθὺς δυσμενεῖς καὶ σατράπας,
Καὶ δημαγωγοὺς ἐθνικῆς πανσπερμίας
Καθεῖλεν εἰς γῆν γαυριῶντας ἀφρόνως;
Τίς τοὺς κακούργους, τοὺς θρασεῖς, τοὺς αὐθάδεις,
Τοὺς λωποδύτας[2], τοὺς φθορεῖς τῶν πραγμάτων,
Τοὺς αὐτοφυεῖς[3] τῷ δοκεῖν πρωτοσ7άτας,
Τοὺς νυκτερινοὺς καὶ σκιώδεις δεσπότας
Εἰς φῶς ἐνεγκὼν ἐξ ὀπῆς καὶ φαυλίσας
* Ἀφῆκε νεκροὺς κἂν δοκῶσιν ἐμπνέειν;
Ὁρᾷς, βασιλεῦ, τὸν τροχὸν[4] τῶν πραγμάτων
Καὶ τὴν ταραχὴν τῆς φορᾶς τῆς ἀσ7άτου
Ἣ πάντα κινεῖ καὶ σ7ροβεῖ καὶ συγχέει,
Καὶ νῦν μὲν ὑψοῦ νῦν δὲ πρὸς βάθος τρέχει,
Καὶ τοῖς ἑλιγμοῖς κλαυσιᾷ τῶν ἀψίδων,
Ὠθοῦντος αὐτὸν ἐμβριθῶς[5] τοῦ πασσάλου,

[1] Matth. VII, 9.
[2] Infra CCXXXVII, 195: Καὶ λωποδῦται καὶ φθορεῖς τῶν πραγμάτων.
[3] Cf. infra CCIII, 27.
[4] Cf. infra LXXXI, 1.
[5] *De animal.* 580.

Ὃν ἡ φύσις ἔπηξεν ἀῤῥήτῳ σΊάσει,
Μὴ συμποδισθῇ τῇ παρὰ φύσιν βάσει,
Καὶ κατενεχθῇ τῆς λαϐῆς τεθραυμένης;
Ἢ πῶς ἔδει Πλάτωνα πετΊεύειν μάτην,
Ἄθυρμα κοινὸν[1] ζωγραφοῦντα τὸν βίον;
Ὃν ἄλλος ἀνὴρ ἐκδραμεῖν ἠπειγμένον
Μείρακα γυμνὸν[2] καὶ τριχῶν ἄνευ γράφει,
Καὶ ληπΊὸν οὐ δίδωσι τοῖς ὀξυδρόμοις[3]·
Οὐδεὶς γὰρ αὐτὸν εὐχερῶς ἂν ἁρπάσοι,
Γλίσχρον τὸ φεύγειν τῆς γραφῆς εἰργασμένης.
Ἄλλος πΊερωτὸν ἐν κυλίνδρῳ δεικνύει
Σωματοποιῶν[4] τῆς φορᾶς τὰς ἐμφάσεις·
* Ἄλλος δὲ καὶ δρέπανον[5] αὐτῷ προσγράφει
Καὶ δημιουργεῖ πάντα τὸν χρόνον θέρος.
Οὐ φείδεται γὰρ τῆς φυῆς τῶν πραγμάτων·
Τέμνει δὲ πάντα καὶ πρὸ τῆς ὥρας τάχα·
Καὶ σΊάχυς αὐτῷ νῦν προκύπΊουσα χλόη·
Καὶ καρπὸς οὐδείς ἐσΊιν ἐκ τῶν δραγμάτων,
Ἃ, καθάπερ φρύγανα συντεθειμένα,
Τὸ προσριπισθὲν δαπανᾷ πῦρ τοῦ χρόνου.
Τούτους, βασιλεῦ, μὴ παρέλθῃς τοὺς τύπους,
Οὓς ἡ φύσις ἔγραψεν ἐκ τῶν πραγμάτων·
Ὁρᾷς γὰρ αὐτοὺς πανταχοῦ γῆς ἠγμένους,
Καὶ πρὸς τὸ δυσέκνιπΊον[6] ἐσκιῤῥωμένους[7]

[1] Ἄθυρμα κοινόν, id est πανήγυριν, cui vitam comparavit Pythagoras, non Plato.

[2] Cf. cod. Esc. LXVII.

[3] Infra v. 254.

[4] Cf. *Philosophum.* p. 136 ed. nostræ. German. Cpol. cod. Coislin. 278, fol. 175 r° : Ἐν δὲ τοῖς προφητικοῖς τούτοις ῥήμασι τῆς κακίας σωματοποιουμένης εὑρίσκεται ὁ διάϐολος γυναῖκας ὑπερβιϐάζων ἀνδρῶν.

[5] Cf. cod. Flor. CCXV, 129.

[6] Cf. infra CCIII, 35.

[7] Cod. ἐσκιρωμένους.

Τοῖς ἀξύλοις πίναξι τῶν δεδογμένων,
Ὡς ἂν τὸ λυποῦν εὐφυῶς περιζέσῃς[1]
Φαιδρὸν σεαυτὸν ζωγραφῶν τῇ καρδίᾳ.
Νῦν ὁ Σκύθης ἄρισΊος ἱπποτοξότης[2],
Νῦν ἄλλος αὐτῷ τὴν βολὴν ἀντισΊέφει·
Νῦν ἔσχε Περσὶς εὐτυχῶς παρ' ἐλπίδας·
* Νῦν ἡ Βαβυλὼν ἐκνικᾷ τὴν Περσίδα·
Νῦν ἔθνος αὐτὴν ἐκδραμὸν κατασΊρέφει·
Νῦν ἄλλος αὐτὸ συμποδίζει σατράπης·
Οὐδεὶς δὲ νικᾷ, τὸ κρατεῖν γὰρ τοῦ χρόνου.
Καὶ νῦν μὲν αὐτὸς ὁ σφριγῶν ὁ γεννάδας
Αἱρεῖ τὸν ἐχθρὸν συμπλακεὶς ἀκινδύνως·
Νῦν δ' ἄλλος αὐτὸν ἀδρανὴς ἄγχει θλίβων.
Οὕτω, βασιλεῦ, καὶ πένης πλουτίζεται,
Καὶ πλουσίου δύναμις οὐχ ὑφίσΊαται·
Λιμὸς δὲ πολλὰς ἐλπίδας ἐργάζεται,
Τρυφὴ δὲ συχνῶν συμφορῶν ὑποψίαν,
Ὅταν ὁ καιρὸς ἐξαμείβῃ τὰς φύσεις,
Ὁ παραγωγεὺς καὶ φθορεὺς τῶν πραγμάτων.
Εἰ γοῦν ὁ ῥευσΊὸς καὶ παλίμβολος βίος
Νῦν τοῦτο, νῦν δ' ἐκεῖνο, νῦν δ' οὐδὲν πλέον
Ἢ πνεῦμα καὶ χνοῦς[3] καὶ σκιὰ[4] πρὸ φωσφόρου,
Μετὰ δὲ μικρὸν ἀγνοούμενος τύπος·
Εἰς γὰρ τὸ μηδὲν ἡ ῥοὴ παρατρέχει.
Τί πρὸς τὸ παρὸν δυσφορεῖς ὡς ἐν σΊάσει,

[1] Fort. περιξέσῃς. Infra v. 245 : Τὰ δεινὰ τῆς ψυχῆς ἀποξέω.

[2] Cf. supra II, 3, et Theod. Prodr. ed. Mai, VIII, 20.

[3] Malim χοῦς. Conf. cod. Flor. II, 43.

[4] Supra IX, 6. Philes, *In Pachymer.* 62, ed. Boiss. Georgid. ap. Boiss. *Anecd. gr.* I, p. 81 : Σκιὰ καὶ σκιᾶς οὐδαμινέστερον τὰ τοῦ βίου πράγματα, πολλῶν γέμοντα κινδύνων. Cf. etiam Stob. 98, 1, 2 et 3.

* Κἀν τοῖς ἀγῶσιν ἀκριϐῶς τοῦτο βλέπω,
Κἀν τοῖς θαλατlεύουσι καὶ τοῖς ἐμπόροις;
Ἡ γὰρ κάτω κίνησις οὐκ ἔχει σlάσιν.
Ἀλλ', ὦ βασιλεῦ, μηδὲ τοῦτο θαυμάσῃς,
Εἰ τὰς ἀγωγὰς ἡ σlροφὴ περιτρέποι,
Καὶ ῥεῖν ἀτεχνῶς ἐκϐιάζοι τὰς φύσεις.
Εἰ γὰρ λάϐῃ κίνησιν ἐν σοὶ τὸ θλίϐον,
Ῥυήσεται δὲ πρὸς τὸ μηδὲν αὐτίκα,
Παγήσεται μὲν τοῦ κακοῦ τοὐναντίον,
Ἔσlαι δὲ τετράγωνος ὁ χρόνος βάσις·
Ὁ δὲ γλυκασμὸς τῆς ψυχῆς καὶ τοῦ κράτους
Μιμήσεται μὲν ἀκριϐῶς τὰς ἐλπίδας,
Αἷς οὐκ ἔχει κίνησιν ἡ πάλαι σlάσις·
Μενεῖ δὲ σαφὴς δαψιλὴς ἐπεισρέων,
Ὡς ἀπὸ λωτοῦ[1] καὶ τρυφῆς τῶν πραγμάτων.
Ἔχω δέ σοι γνώρισμα τὴν ξένην φύσιν,
Ἣν ἔσχεν οὐδεὶς τῶν βεϐασιλευκότων,
Εἰ καὶ Σολομῶν δυσχεραίνοι τὸν λόγον·
* Τῆς χάριτος γὰρ ὁ βραϐεὺς εἷς εὑρέθη.
Πλὴν ἀκροάσθω καὶ δεχέσθω τὸν λόγον,
Καὶ τὴν ἀληθῆ μὴ κακιζέτω κρίσιν.
Εἰ δ' οὖν, τὸ λευκὸν τῶν τριχῶν κράζει[2] σlόμα
Τοῖς τοῦ χρόνου σφίγμασιν[3] ἐμπεφραγμένον·
Φανήσεται γὰρ ἐκ ταφῆς αὖθις γέρων
Αἰδοῦς ἀμοιρῶν τῆς πρεπούσης πρεσϐύταις,
Κἂν ἄλλος αὐτὸν συμπαθέσlερος λόγος
Μείρακα τιμῶν ζωγραφῇ σlεφηφόρον.
Ἔχω μὲν οὖν, κράτισlε, πολλὰ δεικνύειν,

[1] Cod. Flor. 1, 703 : Ἠθῶν δὲ λωτὸν οὐρανόδροσον φύει.

[2] Prius erat κράξει.

[3] Conf. cod. Flor. 1, 153.

Δι' ὧν τὸ λυποῦν ἐν βραχεῖ παρακμάσει·
Πλὴν εἷς λογισμὸς ἀντὶ πάντων ἀρκέσει,
Μήπως ὁ καιρὸς ἐκταθῇ μοι τῶν λόγων.
Ὅταν γὰρ ἴδῃς[1] τὸν σοφὸν, τὸν ἀγχίνουν,
Τὸν πατριάρχην, τὸν θεόπτην, τὸν μέγαν,
Ὃς οἶδε σεισμὸν καὶ θυμὸν γῆς προβλέπειν,
Καὶ πῦρ ἀπειλοῦν καὶ θεὸν παιδοτρίβην,
Εὐθὺς τὰ δεινὰ τῆς ψυχῆς ἀποξέω,
* Καὶ γίνομαι ζῶν εἰς τρεφούσας ἐλπίδας·
Ὡς οὐχὶ συχνὸς παρελεύσεται χρόνος,
Καὶ πάντα καλὰ, βασιλεῦ, ταῦτα φράσεις,
Καινὸν πλατυσμὸν τεκτονεύσας τῷ κράτει·
Ἐξῆς δὲ τί χρὴ καὶ τὰ τῶν ἄλλων γράφειν,
Οἷς τήκεται ζῶν τῆς φθορᾶς τὸ σαρκίον,
Σκληραῖς ἀγωγαῖς ἐμβριθῶς ὑποῤῥέον,
Ὡς ἂν ὁμιλῇ τῆς ψυχῆς ἡ λεπτότης
Τῷ δημιουργῷ τῆς πνοῆς ὀξυδρόμως[2],
Ἐῶσα τὸν χοῦν[3] ὡς βαρύ τι φορτίον
Εἰς τὴν χαμερπῆ καὶ παλίνστροφον[4] κόνιν;
Τὰ γὰρ κατ' αὐτοὺς οὐδ' ἀριθμεῖν ἰσχύω

[1] Fort. ἴδω. Cod. Escur. xxxv, 1 : Τὸν ἀετόν σε τὸν θεόπτην, τὸν μέγαν.

[2] Hoc adverbio carent lexica, quæ solum afferunt ὀξύδρομος. Supra cod. Flor. cxcviii, 4 : Ὀξυδρόμοις πτέρυξιν. Supra v. 168 : Καὶ ληπτὸν οὐ δίδωσι τοῖς ὀξυδρόμοις. Verbum ὀξυδρομέω occurrit ap. Germ. Cpol. cod. Coisl. 278, fol. 182 r° : Ἀλλὰ μὴ μέχρι τοῦ πρώτου καμπτῆρος ὀξυδρομήσαντες στῆτε. Obiter addam lexicis : Ὀξυκινήτως ex Jo. Tzetz. *Ep.* 70 : Βέβηκε δὲ ἐπὶ σφαίρας εὐδρόμου τινὸς μεταῤῥιπτάζων αὐτοῦ τοῖς ποσὶν ἐκείνην ὀξυκινήτως. — Ὀξυπραγής, Constantin. Pantechn. cod. Escur. II, Υ, 10, fol. 84 v° : Ὀξυπραγέσι παλάμαις αἱρεῖ. — Ὀξυπραγία, Theophil. Philos. cod. Par. 2417, fol. 11 v° : Εὐδαιμονίας καὶ ὀξυπραγίας τοῦ στρατοῦ σημαίνει. — Ὀξυπύγων, *ibid.* fol. 70 v° : Καὶ κούφους τὸ ἦθος, λεπτοὺς τὰ σκέλη, ὀξυπύγωνας.

[3] Cf. cod. Flor. cxxx, 23.

[4] Cf. infra cxxxix, 29.

Νικῶντα μικροῦ τὴν κατ' ἄνθρωπον φύσιν·
Ὧν εἴπερ εἷς ἦν εἰς τὸ σὸν θαῤῥῶν σέβας,
Ὃ ποικίλως ἔδειξας ἠκριβωμένον,
Εἰ μηδὲν εἶχε συμμαχοῦν ἄλλο βλέπειν,
Ἔσωσεν ἄν σοι μυριάνθρωπον[1] πόλιν,
Καὶ τοὺς πόνους ἔλυσε χειρῶν ἐκτάσει.
* Πλὴν ἀλλὰ σαυτὸν τοῖς παροῦσιν ἀντίθες
Ἐν τῇ στρατιᾷ τοῦ Θεοῦ τεταγμένον,
Καὶ κατὰ παντὸς δυσμενοῦς ὡπλισμένον,
Οἷα κραταιὸν τοῖς πτεροῖς τῶν ἀγγέλων,
Καὶ ταῖς σταθηραῖς ἀρεταῖς ἐσταλμένον,
Αἳ πᾶν μὲν ἐκτρέπουσιν ἀῤῥήτως βέλος,
Σὲ δὲ γράφειν ἔχουσιν ἐν στεφανίταις,
Τὸν[2] Αὐσονάρχην, τὸν πολὺν, τὸν γεννάδαν,
Τὸν ὑπὲρ ἡμᾶς, τὴν ἀσύγκριτον φύσιν.
Ἀλλ' ὦ φύσει ζῶν καὶ κρατῶν πάντων μόνε,
(Τέλος γὰρ οὐδὲν οὐδὲ γηρῶν σοι χρόνος
Τῷ δημιουργήσαντι καιροὺς καὶ χρόνους,
Ὡς τὸν παρ' ἡμῖν χιλιάριθμον[3] χρόνον
Εἶναι παρὰ σοὶ ψαλμικῶς[4] χθὲς ἡμέραν·)
Σὺ πρῶτα ποιεῖς ἐν ῥιπῇ τοὺς ἀγγέλους
Λειτουργικὰ πνεύματα δεικνὺς πανσόφως[5]·
Οὐκ ἦν γὰρ εἰκὸς εἰς τὸν ὕψιστον θρόνον,
Ὃν ἡ κατὰ νοῦν ὀργανοῖ λεπτουργία[6],
Μὴ καὶ δορυφόρους σε καὶ πρωτοστάτας
* Καὶ δημαγωγοὺς εὐτυχεῖν[7] ὑπερτίμους,

[1] An. in Rhet. Arist. 9 v°. Cod. Par. 1481, 54 v°: Τοῦ Ξέρξου μυριάνθρωπον στρατόπεδον ἐξοπλίσαντος.

[2] Cf. infra vs. 350 et 351.

[3] Vox addenda lexicis.

[4] Psalm. XLIX, 4.

[5] Vid. infra v. 431 et 534. Cod. Vat. XXXIX, 5.

[6] Cf. infra CCV, 10.

[7] Prius erat ἐντυχεῖν.

Ἀκαμάτους κήρυκας, ἀγρύπνους δᾳδας,
Χρησ7ούς, λογικούς, ἰσχυρούς, ὀξυδρόμους,
Ὕλης ἀγεύσ7ους καὶ φθορᾶς ὑπερτέρους,
Καὶ τῶν παρὰ σοὶ μυσ7ικῶν θερπισμάτων
Ἐπιμελητὰς ἀκριβεῖς καὶ συντόνους;
Σὺ τὸν τοσοῦτον ὡς δορὰν τείνεις πόλον[1],
Στικτὸν δὲ ποιεῖς τοῖς χοροῖς τῶν ἀσ7έρων[2],
Τὸν ἥλιον δὲ τακτικῶς διεξάγεις
Ἄρχοντα δεικνὺς ψαλμικῶς[3] τῆς ἡμέρας,
Καθάπερ αὐτὸν τῆς σελήνης τὸν δρόμον
Εἰς ἑσπέρας ὕπαρξιν ὡς βασιλίδος.
Ἶριν δὲ τὴν εὔκυκλον ἀῤῥήτως γράφεις,
Καὶ δημιουργεῖς ἐξ ἐκείνης αἰθρίαν
Βροντῶν, χαλαζῶν, ἀσ7ραπῶν, ὄμβρων, γνόφου,
Ἐγχεῖς δὲ πυκνὰς τῆς πνοῆς τὰς ἐξόδους,
Καὶ πῦρ ὑπὲρ γῆς ἀντανάπ7εις[4] οὐ φλέγον,
Καὶ ῥοῦν κρεμασ7ὸν ἐκ φλεβῶν δίδως ξένων·
* Ἄλλον δὲ ῥοῦν κάτωθεν ἐξάγεις πάλιν
Τὴν γῆν ἐπ' αὐτοῦ τὴν τοσαύτην πηγνύων,
Ὡς εἰς τὸ μηδὲν ἐντεθῆναι τὴν βάσιν,
Εἶναι δὲ σαφῶς ἀντὶ βάθρων καὶ σ7ύλων
Τὸ σὸν μόνον θέσπισμα τῇ κάτω κτίσει.
Σὺ τῶν θαλασσῶν ἐμπλατύνεις τὴν χύσιν
Τῇ συναγωγῇ τῆς ῥοῆς τῆς ἀσχέτου·
Ψάμμῳ δὲ ταύτῃ σωφρονίζεις τὸ θράσος,
Μὴ παρενεχθῇ καὶ καλύψῃ τὴν κτίσιν,
Ὅτε σφριγῶσιν αἱ πνοαὶ κατακράτος.
Σὺ καὶ πετεινὰ καὶ μετ' αὐτὰ θηρία,

[1] Psalm. CIII, 2.

[2] ἀσ7ρων cod. Paris. 2511, male.

[3] Psal. CXXXV, 8 et 9, et CIII, *passim*.

[4] De hac voce silent lexica.

Καὶ τοὺς περιττοὺς τῆς θαλάσσης ἰχθύας,
Καὶ πᾶν ἐπὶ γῆς ἑρπετῶν δίδως γένος·
Σὺ καὶ τὸν Ἀδὰμ ἐκ χοὸς διαπλάσας,
Καὶ ζῶσαν εὐθὺς ὀργανώσας τὴν πλάσιν·
Ὁ καὶ φυτουργὸς τῆς Ἐδὲμ καὶ δεσπότης,
Ἐπεὶ γυναικὸς ἀπάτῃ θηλύνεται·
Καὶ σαίνεται[1] μὲν ἐλπίδι θεώσεως,
Ἡδύνεται δὲ τῷ ξύλῳ τῆς γνώσεως[2]·
Γυμνὸς δὲ παντὸς ἐνδύματος γίνεται,
* Καὶ τῆς τρυφῆς ἐντεῦθεν ἐξορίζεται,
Καὶ τὴν συκίνην ἀμφιέννυται σκέπην[3],
Καὶ κρύπτεται μὲν ἀπὸ σοῦ παραυτίκα·
Ἐλέγχεται δὲ καὶ τρανοῖ τὴν αἰσχύνην,
Καὶ πάλιν εἰς γῆν ἐξ ἀρᾶς ὑποστρέφει
Σοφῶς νεουργεῖς τῆς φθορᾶς ἐξαρπάσας.
Καὶ γὰρ κεραμεὺς ἀρχιτέκτων εὑρέθης
Φθαρεῖσαν αἰσχρῶς εὐγενίζων τὴν πλάσιν·
Πολλῶν δὲ κακῶν εἰσρυέντων ἐν μέσῳ,
Καὶ τοῦ πάθους ὄλεθρον ἐντεθεικότος,
Αὐτὸς τὸν υἱὸν ἀντιφάρμακον δίδως·
Ὃς τίκτεται μὲν ἡμερῶν ἐπ' ἐσχάτων
Εἰς σάρκα παγεὶς ἐξ ἀνάνδρου παρθένου,
Ἣν αὖθις ἁγνὴν καὶ φθορᾶς ὑπερτέραν
Ἔδειξεν ὡς ἦν καὶ πρὸ τοῦ ξένου τόκου·
Τοῦ σοῦ γὰρ ἦν πνεύματος ἡ συνεργία
Τοὺς φυσικοὺς κινοῦντος ἀρρήτως νόμους·
Ἑκὼν δὲ παθὼν καὶ σφαγεὶς ἐπὶ ξύλου
Ζωοῖ τὸν Ἀδὰμ τὸν φθαρέντα τῷ ξύλῳ,
* Καὶ πᾶσαν ἡμῶν ἐξ ἐκείνου τὴν φύσιν·

[1] Cf. cod. Vat. xvi, 9. — [2] V. 319 non habet cod. A. — [3] Genes. iii, 7.

Ἀνίσταται γὰρ ἐκ ταφῆς τριημέρου[1]·
Καὶ πάλιν εἰς σὲ τὸν Θεὸν καὶ πατέρα,
Τὸν ζῶντα καὶ μένοντα καὶ συνημμένον
Τὴν σάρκα λαϐὼν προσφυῶς ἀνατρέχει.
Σὺ τοῦτον αὐτὸν τοιγαροῦν, πάτερ, δέχου·
Καὶ γὰρ ἱλασμὸς εἰς τὸ σώζειν εὑρέθη·
Καὶ τοῦτον ἡμῖν ἐξαπέστειλας τότε,
Καὶ τοῦτον ἡμεῖς εὐτυχοῦμεν δεσπότην,
Ὃς τοῦτον ἡμῖν εἰς βασιλέα χρίει
Τὸν[2] Αὐσονάρχην, τὸν πολὺν, τὸν ἀγχίνουν,
Τὸν ὑπὲρ ἡμᾶς, τὴν φιλάνθρωπον φύσιν.
Κἂν τι λέγειν ἔχοιμεν εἰς τοῦτον μέγα,
Καὶ τοῦτο τῆς σῆς ἔργον ἐστὶν ἰσχύος·
Ἐκ σοῦ γὰρ αὐτῷ τὸ κρατεῖν καὶ τὸ πνέειν·
Ἐκ σοῦ τὸ νικᾶν εὐτυχῶς εἴπερ δίδως·
Ἐκ σοῦ τὸ συζῆν τῇ τρυφῇ[3] τῶν ἐλπίδων·
Ἐκ σοῦ καθαρῶς τὸ πλατύνειν τὸ κράτος·
Ἐκ σοῦ τὸ λαλεῖν καὶ φρονεῖν ἀσυγκρίτως.
* Σὺ λῦσον αὐτῷ συμπαθῶς καὶ τοὺς πόνους·
Σὺ δεῖξον αὐτὸν εὐστεφῆ τοῖς πρακτέοις·
Σὺ πῆξον αὐτὸν εἰς τὰ βάθρα[4] τοῦ κράτους·
Σὺ σφίγξον αὐτῷ τὴν στολὴν καὶ τὸ στέφος·
Σὺ στῆσον αὐτοῦ συμϐαλὼν εὖ τὸν θρόνον.
Ἐχθρὸς δὲ μηδεὶς ἢ σαφὴς ἢ λανθάνων,

[1] Cf. cod. Flor. cxxi, 19. German. Cpol. cod. Coisl. 278, fol. 221 v°: Εἰς ἀπεικόνισμα τῆς τριημέρου τοῦ Σωτῆρος ταφῆς. Theodor. Lasc. cod. Par. 1193, 21 v°: Τριήμερος ἀνάστας.

[2] Conf. supra vs. 271 et 272.

[3] Infra xxvii, 6: Ἐῶ γὰρ αὐτοῖς τὴν τρυφὴν τῶν ἐλπίδων; xxxi, 20: Ὁ δὴ νεμηθὲν τὴν τρυφὴν τῶν ἐλπίδων. Cod. Florent. lxxx, 9: Ἐγὼ δὲ παρεὶς τὴν τρυφὴν τῶν ἐλπίδων.

[4] τὸ βάθρον cod. B. Philes, in carmine *De Officiis*, v. 18: Ὑπόϐαθρα κράτους.

Ἢ δεῦρο παρὼν καὶ δοκῶν εὔνους τέως,
Ἢ γῆς ὁπουδὴ τήν γε σὴν δίκην φύγοι.
Θεὸς γὰρ εἶ σὺ, καὶ τὸ πᾶν πληροῖς μόνος[1],
Θεὸς[2] δυνατὸς, καὶ ψυχῶν βάθη βλέπων,
Θεὸς κραταιὸς, καὶ κριτὴς ὄντως μέγας.
Νῦν[3] δεῖξον ἡμῖν τὴν ἀγαθότητά σου,
Νῦν δεῖξον ἡμῖν τὴν φιλάνθρωπον φύσιν,
Καὶ τὸν πλατυσμὸν τῆς ἀνεξικακίας.
Ἰδοὺ βασιλεὺς εὐκλεὴς πάντα τρόπον,
Καὶ δημαγωγὸς, καὶ σχεδὸν Μωσῆς νέος!
Γενοῦ χορηγὸς τοιγαροῦν τεραστίων·
Δὸς ῥάβδον αὐτῷ μυστικῆς εὐανδρίας·
Δὸς ὅπλον αὐτῷ κοσμικῆς μοναρχίας·
Δὸς χάριν αὐτῷ, κάλεσον τοῦτον φίλον·
* Σκέπασον ὀφθεὶς ὑπὸ πέτραν ἐλπίδος·
Λῦσον τὸν αὐχμὸν[4] τῶν κακῶν καὶ τὸν γνόφον[5]·
Λάλει πρὸς αὐτὸν, μυστικὰς δίδου πλάκας·
Ῥῆξον πάλιν θάλασσαν ἠρυθρωμένην·
Ὁρᾷς γὰρ αὐτὴν ἐκ φλεβῶν κεχυμένην·
Κάλυψον ἐχθροὺς ἐν μυχοῖς γῆς ἐσχάτοις·
Τρέψον κατ' αὐτῶν τῆς ῥοῆς τὰς προσχύσεις·
Ἴθυνον αὐτὸν παγγενῆ σεσωσμένον,
Ὡς ἐν νεφέλῃ τῇ ῥοπῇ σου καὶ στύλῳ·

[1] Post v. 367, in cod. B, id est Paris. 2511, sequitur v. 411 : Σφαγὰς ἀπειλῶν κ.τ.λ.

[2] Hic incipit carmen in codice B, fol. 81 r°, cum hoc titulo : Εἰς τὸν βασιλέα κυρ. Ἀνδρόνικον. Anonymum indicatur in meo *Catal. mss. Biblioth. reg.* Conf. infra v. 412.

[3] V. 370 deest in cod. A.

[4] Cod. Flor. ccxxiv, 15 : Λύεις τὸν αὐχμὸν τῶν καλῶν ἐν τῷ βίῳ, ubi fort. leg. τῶν κακῶν. Id. ccxiii, 296 : Αὐχμῷ τελευτῆς. Cod. Vat. xxv, 8 : Αὐχμοῦ δὲ πυκνοῦ συμφορῶν ξέσιν λύσας.

[5] Cod. Flor. cxxiv, 21 : Ὁ τῶν ἀηδῶν γνόφος.

Τήρησον αὐτὸν ὑπὸ τὴν πτέρυγά σου·
Δόξασον αὐτὸν ψαλμικῶς ἐν ἰσχύϊ·
Σίτισον αὐτὸν χαρμονῆς μάννα βρέχων·
Πότισον αὐτὸν μυστικὴν πέτραν σχίσας·
Κίνησον αὐτῷ τῆς ψυχῆς τὴν πικρίαν
Εἰς νέκταρ ἡδὺ καὶ χαρᾶς πλῆρες πόμα,
Μήπως ὁ καινὸς Ἰσραὴλ σοι γογγύσῃ,
« Ἰδοὺ καθ' ἡμῶν Ἀμαλὴκ ἄλλος τρέχει. »
Σύντριψον αὐτὸν σταυρικοῦ τύπου ξύλῳ·
Τὸν σὸν δὲ νῦν φάνηθι Μωσῆν δοξάσας
* Τὰς τῆς ψυχῆς παλάμας ἐκτετακότα.
Ἔχεις Ἰησοῦν· δυσμενῶν θραῦσιν δίδου,
Ἕως ἂν ἐκλίπωσιν[1], ὁ Γραφὴ λέγει·
Πέμψον πρὸς αὐτὸν ἀγγελάρχην[2] ὁπλίτην,
Ὡς ἂν ἐπιστὰς εὐμαρίζοι τὰς τρίβους,
Καὶ τοὺς καθ' ἡμῶν ἐξ ἀδήλου συντρίβοι.
Ἰδοὺ Γολιάθ, τὸν θρασὺν ὄχλον βλέπεις,
Τὸν αἱμοχαρῆ[3], τὸν σφριγῶντα πρὸς μάχας·
Ὅπλισον ἡμῖν τὸν Δαβὶδ τῇ σφενδόνῃ
Ἣν ἡ κραταιὰ δεξιῶς χείρ σου πλέκει,
Μὴ κατακαυχήσαιτο τοῦ σοῦ ποιμνίου
Θηρὸς πονηροῦ δυσχαλίνωτον[4] στόμα,
Μὴ καὶ Σαοὺλ τύραννος ἀνθρωποκτόνος[5]
Σφαγὰς ἀπειλῶν ἀντελαύνοι τῷ κράτει.
Μνήσθητι[6] τῶν σῶν τήμερον τεραστίων·
Ἐγκαίνισον δὲ τὴν ἀγαθότητά σου

[1] Psalm. XVII, 41.
[2] Fort. ἀγελάρχην.
[3] Conf. supra II, 53.
[4] Conf. infra v. 457.
[5] German. Cpolit. cod. Coisl. 278, fol. 25 r° : Διδάσκων τὰς χεῖράς μου εἰς πόλεμον τὸν κατὰ τοῦ μολύναντος ταύτας ἀνθρωποκτόνου Σατάν.
[6] Post v. 411 in codice B sequitur v. 282 : Μὴ καὶ δορυφόρους κ. τ. λ.

Τῷ νῦν βασιλεῖ τῆς Φυλῆς τῶν Αὐσόνων,
Ὧ τὸ σ7έφος δέδωκας οἷς οἶδας λόγοις.
* Ἔχεις παρ' ἡμῖν Ἀβραὰμ ἄλλον μέγαν,
Ὃς πίσ7ιν αὐχῶν ὑπερηγάπησέ[1] σε,
Καὶ τῇ πολιᾷ τῆς τιμῆς ἔσ7ερξέ σε.
Πλήθυνον αὐτῷ τὴν γονὴν καὶ τὸ κράτος·
Αὔξησον αὐτὸν εἰς ἀριθμὸν ἀσ7έρων·
Δὸς κλῆρον αὐτῷ πανταχοῦ γῆς πᾶν γένος,
Καὶ τοὺς περιτ7οὺς εὐαριθμήτοις[2] νίκα.
Ἔχεις Γεδεὼν εἰς ἀναλάμψεις βίου·
Νικᾶν παρασκεύασον αὐτὸν εὐσ7όχως.
Καὶ σὺ δὲ παρὼν, ὦ Θεοῦ ζῶντος Λόγε,
Καὶ παραγωγεῦ καὶ σπορεῦ τῶν κτισμάτων[3],
Καὶ δημιουργὲ καὶ βραβεῦ τῶν κρειτ7όνων,
Ὁ Χρισ7ὸς, ἡ δύναμις, ἡ μοναρχία,
Τὸ καινοποιὸν καὶ τρισόλβιον κράτος,
Ὁ τῶν λογικῶν ἀρχιτέκτων ὀργάνων,
Ὁ καὶ τὸν αὐτάνακτα πανσόφως χρίσας,
Ἴδε πρὸς αὐτὸν εὐμενῶς πάντων χάριν·
Ἴδε πρὸς αὐτὸν, ἡ Φυσικὴ χρησ7ότης·
* Καὶ γὰρ δι' ἡμᾶς οὐρανοὺς πάλαι κλίνεις,
Καὶ μέχρι σαρκὸς μετριάζεις ὡς θέλεις,
Καὶ μέχρι παθῶν καρτερεῖς ὁ δεσπότης,
Καὶ μέχρι ταφῆς καὶ Φθορᾶς ἀσυνθέτου[4],
Καὶ θαυματουργεῖς καὶ διώκεις τὰς νόσους,

[1] S. Epiphan. *Opp.* t. II, p. 216, et Eustath. *Opusc.* p. 256, 41.

[2] *De animal.* v. 342 : Νικώμενος δὲ μετριάζει σωφρόνως, Καὶ ζῇ σιωπῶν εὐαρίθμητον χρόνον. In versione latina, edit. Didot, pro *pudenter* legend. *prudenter*. Id. v. 1802 : Εὐαρίθμητον βίον «brevem vitam».

[3] Cod. B τῶν πραγμάτων, et supra κτισμάτων.

[4] Anon. cod. Paris. 1277, fol. 230 r°: Ἀσύνθετος πραγματεία.

Καὶ μακροθυμεῖς καὶ σκυλεύεις τοὺς τάφους,
Τὰ κλεῖθρα[1] συνθλῶν τῆς φθορᾶς καὶ τὰς πύλας.
Ἔχεις δυσωποῦντάς σε τοῦ σώζειν χάριν
Καὶ πατριάρχας καὶ προφήτας ἐνθέους,
Οἷς αὐτὸς ἐγνώρισας ἐκ πλείστου χρόνου
Σαυτὸν καθαρῶς ἐν μεθέξει σαρκίου,
Μήπως τὸ νικῶν τὴν κατ' ἄνθρωπον φύσιν
Ἄπιστον ὀφθῇ τῇ κατ' αἴσθησιν κρίσει.
Ἔχεις μαθητὰς εὐκλεεῖς ἀποστόλους,
Ψυχῶν ἁλιεῖς, πρακτικοὺς διδασκάλους,
Εὐαγγελιστὰς κοσμικοὺς πεζοδρόμους[2].
Ἔχεις μετ' αὐτῶν τὴν σφαγὴν τῶν μαρτύρων,
Οἳ τάχα τὸν σὸν ἐκμεμίμηνται τύπον,
* Οἳ σαρκὸς ἠλόγησαν ἀγγέλων τρόπον,
Οἳ τὸν σὸν εἰκόνισαν ἐν ξύλῳ πόνον,
Οἷς σὺ τὸ μὲν πῦρ ἐξαμείβεις εἰς δρόσον,
Τοῦ δὲ κρυμοῦ τὴν πῆξιν εἰς θέρμην τρέπεις,
Θηρῶν χαλινοῖς δυσμενέστατον θράσος,
Ἐχθρῶν ταπεινοῖς δυσχαλίνωτον[3] στόμα,
Ξιφῶν τὰς ἀκμὰς εὐχερῶς ἀντιστρέφεις,
Θυμὸν πονηρῶν[4] εὐμαρῶς ἀπαμβλύνεις,
Καὶ πάντα ποιεῖς ἀντιτάττων τὰς φύσεις
Τοῖς βασανισταῖς εἰς τιμὴν τῶν μαρτύρων.
Τούτους παρ' ἡμῖν εὐσταλεῖς πρέσβεις δέχου·
Βοᾷ γὰρ αὐτῶν ὁ σφαγεὶς λάρυγξ πάλιν
Καὶ ζῶν ἀτεχνῶς προσλαλεῖ σοι τὸ στόμα·
Εἴ που δὲ κεκμήκασιν οἱ στεφανῖται,

[1] Conf. supra XIII, 161, et *Thesaur. Paris.* s. v. Κλείς.

[2] Cf. infra LXXIX, 5.

[3] Supra vers. 409 : Θηρὸς πονηροῦ δυσχαλίνωτον στόμα.

[4] πονηρὸν cod. A.

Πολλῶν ϖαρ' ἡμῖν ἀντεχόντων σφαλμάτων,
Αὐτὸς τὰ σαυτοῦ, σῶτερ, ἀντίθες ϖάθη,
Τὸ δυσμενὲς φίλημα, τὴν καινὴν ϖρᾶσιν,
Τὴν συναγωγὴν, τὴν βοὴν, τὰς λαμπάδας,
Τὴν ἀπαγωγὴν, τὴν μισάνθρωπον κρίσιν,
* Τὸ δυσσεϐὲς ῥάπισμα, τὸν καινὸν φθόνον,
Καὶ τὸ φρίκης ἔμπλυσμα καὶ χλεύης γέμον,
Καὶ τὰς μεταξὺ ϖαιδιὰς τῶν ἀφρόνων.
Ἔχεις ϖαρ' αὐτῶν ὅπλα, μὴ μέλλε ϖλέον·
Κάλαμον ἡ σὴ δεξιὰ χεὶρ λαμϐάνει,
Τί μὴ τὸν ἐσμὸν τῶν κακούντων συντρίϐεις;
Δέος γὰρ οὐδὲν μὴ ῥαγῇ ϖρὸς τὸν τόνον,
Ὅταν σὺ τοὺς θλίϐοντας ἐκτρίϐειν θέλῃς·
Τῇ ϖορφύρᾳ σ7όλιζε τὸν σ7εφηφόρον·
Ἀνθέξεται γὰρ καὶ σκεπάσει τὸ κράτος
Ὑπὲρ[1] σιδηρᾶν εἰς τὸ σώζειν ἀσπίδα·
Μᾶλλον δὲ τοῖς αἵμασι τῶν ἐναντίων
Ὡς βασιλικὴν βάψον αὐτὸν ϖορφύραν·
Ἄμϐλυνον αὐτῷ τῶν ἀκανθῶν τῷ σ7έφει
Τὰ ϖυκνὰ τιτρώσκοντα τῆς λύπης βέλη[2]·
Μᾶλλον δὲ καὶ σ7έφανον ἀντίδος νίκης
Ὠθῶν κατ' ἐχθρῶν τὰς βολίδας τοῦ κράτους·
Ἧλοι ϖαρὰ σοί; βάλλε τοὺς ἀλλοθρόους.
* Λόγχη ϖαρὰ σοί; νύτ7ε τοὺς ἀκαρδίους.
Σταυρὸς ϖαρὰ σοί; σφάτ7ε τοὺς ὁδοσ7άτας.
Ὄξος ϖοτίζῃ τάχα καὶ σπόγγον φέρεις;
Πότισον οὖν διψῶντας αὐτοὺς ἐν τάχει

[1] In cod. A ὑπέρ ex correct., ὥσπερ in B.

[2] Mich. Psellus, cod. Paris. 1182, fol. 226 v° : Τοῖς τῆς ἀθυμίας κατατιτρώσκομαι βέλεσι. Ephræm. Chronic. 2912 : Τρωθεὶς τῆς ἀθυμίας βέλει.

Κιρνῶν μετ' ὀργῆς τὴν Φθορὰν τὴν ἐσχάτην·
Τίτλῳ δὲ νίκης τὸν κρατοῦντα σεμνύνας
Βασιλέα γνώριζε ταῖς ἐθναρχίαις[1]·
Ἐπεὶ δὲ καὶ λίθον[2] σε καλεῖ τις λόγος,
Νῦν θραῦσον ἐχθρῶν τὰς ἀποκρότους μύλας·
Νῦν ὡς δυνατὸς τῷ κρατοῦντι συμμάχει,
Καὶ πλῆτ7ε καὶ σύντριβε πᾶν δύσνουν γένος.
Ὦ πνεῦμα, καὶ σὺ τῶν ἐμῶν σύνες λόγων·
Ἡ σύνεσις γὰρ Φυσικῶς σύνεσ7ί σοι·
Μᾶλλον δὲ παρὸν δεσποτικῶς[3] ἐμπνέεις·
Πλὴν οὐ διαιρῶ τῇ ψυχῇ τὴν οὐσίαν,
Ἀλλ' οὐδὲ τὴν δύναμιν οὐδὲ τὸ κράτος,
Εἰ καὶ μερίζω τοῖς προσώποις τὰ τρία,
Τὸ πᾶν διαιρῶν εὐσεβῶς καὶ συνδέων[4].
Σὺ πνεῦμα βουλῆς, πνεῦμα καινῆς ἰσχύος,
* Πνεῦμα προσηνὲς, πνεῦμα ποικίλως πνέον,
Σοφὸν, χορηγὸν τῶν καλῶν τοῖς ἀξίοις[5],
Πληροῦν, τελειοῦν, ἁγιάζον ἀφθόνως,
Πνεῦμα σ7αθηρὸν, πνεῦμα συντεταγμένον,
Ζωή τε καὶ Φῶς, αὐτοκίνητον[6] σθένος,
Ἀναφὲς, αὐτάγαθον[7], εὐθὲς τὴν Φύσιν,
Χαρισμάτων ἄβυσσε[8], πηγὴ θαυμάτων,
Λαλοῦν, ἐνεργοῦν πανταχοῦ τὸ συμφέρον,
Κινοῦν ὁδηγοῦν συμμαχοῦν τοῖς εὐθέσι,

[1] S. Epiph. *Opp.* t. II, 252.

[2] Id est λίθος ἀκρογωνιαῖος. Fons locutionis est in Isaia, XXVIII, 16.

[3] Supra v. 92 : Δεσποτικῶς ἐγκελεύεται τρέχειν. Vid. cod. Esc. XXI, 2.

[4] In A prius erat συνδέον.

[5] αἰτίοις B. ἀξίοις A ex correct. Infra XVIII, 122 : Σοφῶς χορηγῶν τῶν καλῶν τὴν αἰθρίαν.

[6] Conf. cod. Flor. XLIII, 81.

[7] Vox αὐταγαθότης, codd. Par. 854, fol. 228 v°, et 755, fol. 268 r°.

[8] Cod. Florent. CI, 21 : Χαρισμάτων ἄβυσσε, πηγαῖον κράτος.

Νῦν ἐλθὸν ἐγκαίνιζε τὸν σ7εφηφόρον
Τὴν ϖνευματικὴν ἀναγέννησιν βρύον·
Ἔμπνευσον αὐτοῦ μυσ7ικῶς τῇ καρδίᾳ·
Στήριξον αὐτὸν μὴ σαλευθῇ ταῖς λύπαις·
Δίδαξον αὐτὸν τί ϖοτε ϖράτ7ειν δέον,
Ὅταν ὁ καιρὸς εἰς ϖερίσ7ασιν τρέχῃ·
Κράτυνον αὐτὸν ϖᾶσαν ἐκτρίψαι μάχην·
Εὔφρανον αὐτὸν ὡς ϖαράκλητος μέγας·
Κοίμισον αὐτοῦ τῶν λογισμῶν τὴν ζάλην[1]·
Ἴθυνον αὐτὸν εἰς ἀγαθῶν αἰθρίαν[2],
* Τὸν Βεσελεὴλ[3] τῆς σοφῆς λεπ7ουργίας,
Ὢ ϖνεῖς ἀτεχνῶς καὶ λαλεῖς ὑπὲρ φύσιν,
Καὶ δεσποτικῶς τοῦ κρατεῖν συλλαμβάνῃ.
Ὦ ϖάτερ, υἱὲ, ϖνεῦμα, κοινῇ τὰ τρία,
Μονὰς ἀγαθὴ καὶ τριὰς ὑπερτάτη,
Μονὰς ἀναλλοίωτε[4] καὶ συνημμένη,
Τριὰς ἀνυπέρβλητε καὶ ϖεπηγμένη,
Σὺ ϖάντα καιρὸν ἐξαμείβεις ϖανσόφως[5],
Καὶ ϖάντα κινεῖς ἐν σ7ροφαῖς ἀποκρύφοις·
Χειμῶνα ϖοιεῖς καὶ νεφῶν ϖῆξιν δίδως,
Καὶ συσκιάζεις τῷ γνόφῳ τὸν ἥλιον·
Ἀλλὰ μετ' αὐτὸν ἡδονῆς βρύεις ἔαρ[6],
Καὶ φῶς καθαρὸν ἐμπλατύνεις τῇ κτίσει·
Γυμνὴν δὲ τὴν γῆν εὑρεθεῖσαν τῷ ψύχει

[1] Conf. supra v, 10.

[2] Cf. infra XVIII, 122.

[3] Exod. XXXI, 2-5.

[4] Cod. ἀναλλαίωτε. German. Cpolit. cod. Coisl. 278, fol. 198 v° : Καὶ ἀναλλοιώτως αὐτῇ συμπλακέντα. Anon. cod. Paris. 1277, fol. 174 v° : Ἀτρέπ7ως καὶ ἀσυγχύτως, ἀναλλοιώτως τε καὶ ἀδιασ7άτως.

[5] Vid. supra v. 279.

[6] Infra CLXXI, 10 : Πανηγυρικῆς ἡδονῆς ἔαρ χέας. Infra v. 553 : Ἔαρ γαληνὸν μυσ7ικῆς θυμηδίας. Cod. Esc. XXVI, 109 : Εἰρήνης ἔαρ.

Τοῖς ἱματισμοῖς ὡραΐζεις τῆς χλόης·
Καὶ νῦν μὲν ἡ θάλασσα κινδύνων γέμει,
Νῦν δὲ σταθηρὰν τὴν χύσιν ἐργάζεται·
Καὶ τοῖς πετεινοῖς ἐκρυέντων τῶν πτίλων
Ἄλλην σκέπην δίδωσιν ἡ φύσις πάλιν,
Καὶ θηρσὶν οἷς ἔῤῥευσεν ἡ θρὶξ τῷ κρύει
Νῦν ἄλλο κοσμεῖ τὴν δορὰν κάλλος νέον·
Ποιμὴν δὲ τὴν σύριγγα σιγῶσαν τέως
Ἁρμόζεται νῦν εἰς νεόφθογγον[1] μέλος.
Σὺ ταῦτα ποιεῖς, ἡ τριὰς ἡ τεχνῖτις·
Σὺ τρέψον ἡμῖν συμπαθῶς καὶ τὰς λύπας,
Καὶ δὸς βασιλεῖ τῷ κρατοῦντι κοσμίως
Ἔαρ[2] γαληνὸν μυστικῆς θυμηδίας,
Καὶ τὸν βαρὺν χειμῶνα[3] τῆς ἀθυμίας
Εἰς τὴν κατ' ἐχθρῶν ἐξαπόστειλον ζάλην·
Ὕψωσον αὐτὸν κατὰ τῶν ἐναντίων·
Σὺ πλῆθος αὐτῷ δεξιῶν δίδου χρόνων·
Σύγγνωθι τοῖς πταίουσιν ἐκ ῥαθυμίας,
Σύγγνωθι τῷ πλάσματι τῶν σῶν δακτύλων,
Σύγγνωθι πᾶσιν ἡ φιλάνθρωπος φύσις.
Ἀλλ' ὦ Μαριὰμ ἡ τεκοῦσα τὸν Λόγον,
Σφραγὶς κραταιὰ τῶν ἐμῶν τούτων λόγων;

[1] Hac voce carent lexica, quibus obiter addam : Πυρίφθογγος, *Græc. Orthod.* t. I, p. 252. — Πνευματοφθόγγως, Anon. cod. Par. 2661, fol. 253 v° : Τὸν εὐλογητὸν πνευματοφθόγγως δίδου. — Ἰσοφθογγέω, Jo. Stauracius in S. Demetrium, cod. Coisl. 146, fol. 21 v°: Καὶ τὰς ἔξωθεν ταῖς ἔνδον φέρων ἰσοφθογγούσας τοῖς κατ' ἀμφοῖν διαφόροις ἀνδραγαθήμασιν. — Λιγυροφθογγέω, Meliten. v. 73 : Καὶ πετομένων γύρωθεν καὶ λιγυροφθογγούντων. Id. v. 2802 : Καὶ τῶν ὀρνίθων τὰς φωνὰς τῶν λιγυροφθογγούντων. Id. v. 2511. Λιγύφθογγος habent lexica.

[2] Cf. supra v. 538.

[3] Idem versus in codice Florent. CI, 41.

* Ἡ βασιλικὴ χαρμονὴ καὶ φαιδρότης,
Μόνη δι' ἡμᾶς παρθενεύεις ἐν τόκῳ·
Μόνη γυναικῶν τὸ βροτῶν σώζεις[1] γένος·
Νῦν δὴ προβαλοῦ τῷ Θεῷ πάντα τρόπον,
Καὶ τῶν πρὶν ὑπόμνησον αὐτὸν θαυμάτων,
Ὅπως ἐδέξω τὴν χαρὰν καὶ τὸν λόγον,
Ὅπως ἀνάνδρως καὶ σπορᾶς ἄνευ κύεις,
Ὅπως Ἰωσὴφ δυσφορεῖ πρὸς τὸν τόκον,
Ὅπως ξένῳ γάλακτι τὸν Λόγον τρέφεις.
Ἔτι προβαλοῦ τὴν πλοκὴν τῶν σπαργάνων,
Τῶν ποιμένων τὸ θαῦμα, τοὺς Πέρσας μάγους,
Τὸν καινοφανῆ[2] τοῖς παροῦσιν ἀστέρα,
Τὸν ὕμνον αὐτὸν τοῦ χοροῦ τῶν ἀγγέλων.
Ἔτι προβαλοῦ τὴν φυγὴν καὶ τὸν φόβον,
Ὅταν ἀπεκτείνοντο πικρῶς τὰ βρέφη·
Εἰ ταῦτα μικρὰ καίπερ ὀφθέντα ξένα,
Δὸς ἀντὶ λύτρου τῆς ψυχῆς σου τὴν λύπην
Ἣν εἰκότως ἔπασχες, ἣν ἐκαρτέρεις,
Ὁρῶσα[3] Χριστοῦ τὴν σφαγὴν ἐπὶ ξύλου·
Καὶ λῦσον αὐτῷ τῷ κρατάρχῃ τοὺς πόνους,
Καὶ τὸν μαρασμὸν τῆς ψυχῆς καὶ τὸν γνόφον[4],
Καὶ πῆξον αὐτῷ συμπαθῶς τὰς ἐλπίδας,
Καὶ δεῖξον αὐτῷ χαρμονῆς φῶς ἐν τάχει,
Ἐχθρῶν πονηρῶν ἐκδιώκουσα στίφη
Τῇ συντόνῳ μάστιγι[5] τῶν τεραστίων.
Δεῖ γὰρ καθαρῶς ἐκμαθεῖν ἅπαν γένος,

[1] σώζοις B.

[2] Cod. B Τὸν κενοφανῆ. Conf. infra CCXXXVII, 163.

[3] Vers. 581 et sequentes desunt in codice A.

[4] Cf. supra XIV, 380, et cod. Flor. CXI, 31.

[5] Infra LI, 39 : Εὐσπλαγχνίας μάστιγι. De hac metaphora cf. cod. Flor. CXXXVIII, 2, ibique nota.

Μᾶλλον δὲ τοὺς θλίβοντας αὐτὸν ἐγγύθεν,
Ὡς οὐ μάλα ἤλπισεν ὁ σῖεφηφόρος.

XV. Εἰς[1] τὸν βασιλέα τὸν Καντακουζηνόν.

Ἑρμῆς Ἄρης ἤριζον ἐκ φιλαυτίας,
Τίς ἂν σεαυτὸν ἐμβαλεῖ ταῖς ἀγκάλαις[2].
Ἡ δ' Ἀθηνὰ δραμοῦσα συντόνῳ ζέσει
Ἕλκει σε συσφίγξασα καρδίας μέσον.

XVI. Εἰς δαιμονόλιθον[3] λίθον ἐγκόλπιον, ἔχον τὴν εἰκόνα τοῦ ἠγαπημένου Θεολόγου.

Ὁ βροντόπαις[4] παῖς ἀσῖραπῆς ἀποπνέων
Τὸν δαιμονόχρουν[5] φωσφορεῖ τοῦτον λίθον.

XVII. Εἰς δακτύλιον[6].

Ἐκ γῆς ὁ χρυσὸς, ἐκ χοὸς τὸ σαρκίον·
Ἄμφω δὲ πηλὸς, ἐκ δὲ πηλοῦ τίς χάρις;

[1] Carmina xv, xvi et xvii ex codice Paris. 2511, fol. 84 r°, qui ea exhibet sine auctoris nomine. Sed Philæ sunt adscribenda.

[2] Cod. ἀγγάλαις.

[3] Cf. cod. Esc. cclxxxv.

[4] Cod. Par. cii, 1 : Ὁ βροντόπαις τὸν παῖδα τῷ Χρισῖῷ δίδου. Conf. not. ad lxxiii, 4.

[5] Vox lexicis ignota. Alia quædam nova cum *δαίμων* composita offendi : Δαιμονοληψία, Germ. Cpol. cod. Coisl. 278, fol. 153 v° : Λατρεύσαντες οὖν τοῖς δαιμονίοις ἔπαθον δαιμονοληψίαν. — Δαιμονομαχία, Id. *ibid.* fol. 149 v° : Καὶ πρὸς τὸ θέατρον τῆς δαιμονομαχίας τὸν οἰκεῖον ἐκκλησιάζει λαὸν νησῖείᾳ καὶ προσευχῇ καθωπλισμένον. — Δαιμονόπνευσῖος, Id. *ibid.* fol. 13 r° : Τίνων γὰρ ἄλλων ἐσῖὶν ἡ διδασκαλία αὕτη, ἀλλ' ἢ τῶν πολλάκις δηλωθέντων δαιμονοφορήτων τε καὶ δαιμονοπνεύσῖων Μασσαλιανῶν ἤτοι τῶν Βογομίλων ; — Δαιμονόπλοκος, Theod. Stud. p. 259 C, ed. Venet. : Δ. σειρά. — Δαιμονοποιός, Id. *Epist.* p. 561 A : Ἀποσχέσθαι αὐτὸν τῶν σκοτεινῶν ἐκείνων καὶ δαιμονοποιῶν φθεγμάτων. — Δαιμονιόμορφος, S. Jo. Damascen. codex Paris. 396, p. 631 : Τὰ τῶν Ἑλλήνων χρυσότευκτά τε καὶ δαιμονιόμορφα. — Δαιμονιωδῶς, An. *De S. Apollone*, cod. Paris. 1532, p. 398 : Καὶ ὡς εἶδε τὸ πλῆθος ἐξαίφνης δαιμονιωδῶς κατὰ τὴν χώραν μαινόμενον.

[6] Conf. infra clxviii.

* XVIII. Περὶ τῆς εἰς Κελτοὺς πρεσβείας[1].

Ἐν ἑσπέρᾳ λύσαντες ἐκ Βυζαντίδος,
(Οὐκ ἦν γὰρ ὀκνεῖν τῆς νεὼς ἀνηγμένης
Καὶ τοῦ νότου θήγοντος ἐκπλεῖν εἰς Φάσιν,
Ἀφ' οὗπερ ἐχρῆν συμμαχεῖν πρὸς ἑσπέραν
Κελτοὺς, βασιλεῦ, τῷ σΊρατῷ σου τοξότας,
Τῆς Σικελικῆς ἐνταθείσης ὀφρύος
Ἐκ τῆς καθ' ἡμῶν Περσικῆς ὁμαιχμίας[2],)
Μήπω τὸν ὑγρὸν ἐκτεμόντες αὐχένα[3],
Τοῦ γὰρ σκάφους εὔθηκτος[4] οὐκ ἦν ἡ τρόπις,
Χαλῶμεν εὐθὺς τὸ πΊερὸν τῶν ἱσΊίων[5]
Καὶ τὰς πρὸ μικροῦ[6] συμπλεούσας ἐλπίδας,
Καταίρομεν δὲ πρὸς τὸ τοῦ πόρου σΊόμα,
Ὅτε πρὸς ᾠδὰς ὄρνις ἀνοίγει σΊόμα,
Καὶ κόλπος Ἀκτῆς[7] εὐτελὴς πρὸ τοῦ σκάφους
Πλωτῆρσι δυσπραγοῦσι λιμὴν εὑρέθη·
Πλὴν οὐδὲν ἦν πρόσαρμα τῆς μάζης χάριν,
Καὶ τοῦτο παντὸς δυσχεροῦς ἦγχε πλέον
Τοὺς καὶ πρὸ τοῦ πλοῦ ναυτιῶντας ἐκ λύπης,
* Εἰ δεῦρο μηδὲν ἡ τριβὴ κέρδος φέροι·
Βραχὺς γὰρ ἰχθὺς καὶ λεπὰς καὶ καρκίνος,
Ἂν οὐκ ἔχῃ πρέπουσαν ἐκ λίθων σκέπην,

[1] Cod. Flor. fol. 104 v°. Cod. Mon. fol. 61.

[2] Cf. infra CCIV, 14.

[3] Bosporus, nempe fretum illud quo Propontis cum Ponto Euxino jungitur, αὐχήν est. Vid. Herodot. *Histor.* IV, 85 et 118.

[4] Cf. infra LXI, 42.

[5] Anon. ap. Cramer. *Anecd. Paris.* t. IV, p. 293 : Εἰ πνεύματός σου τὸ πΊερὸν τῶν ἱσΊίων Πλήσας, πρὸς αὐτὸν ἰθύνοις τὸν σὸν θρόνον. Infra vs. 27 : Τὸ πΊερὸν τῆς ὁλκάδος. Conf. LIX, 59.

[6] Cod. προμικροῦ.

[7] Steph. Byz. s. v. Ἀκτή : Καὶ ἄλλη ἐν Βοσπόρῳ.

Μισεῖ τὰς ἀκτὰς ἀκρατῶς δονουμένας,
Μὴ παρασυρῇ ταῖς πνοαῖς ἡ λεπ7ότης·
Ἐπεὶ δὲ παρῆν ἡ τροπὴ τῆς ἑϐδόμης,
Ὡς ἂν ἔχοι κρίσιμον ὁ πλοῦς ἡμέραν,
Λὶψ ἦγε τὴν ναῦν συγκραθεὶς αὖθις νότῳ·
Καὶ τείνεται μὲν τὸ π7ερὸν[1] τῆς ὁλκάδος,
Ἐξάγεται δὲ προσφυὴς ἅπας βρόχος·
Ἐφίσ7αται δὲ τῆς νεὼς ὁ δεσπότης
Ὁμοῦ κυϐερνῶν καὶ σκοπῶν τὸν ἀσ7έρα
Ὕδατι καὶ ῥαφίδι καὶ λίθῳ[2] ξένῃ·
Ἀλλ' ἦγε λοξῶς τὰς λαϐὰς τῆς ὁλκάδος
Τὸ πνεῦμα τῶν σῶν δρασ7ικῶν θεσπισμάτων·
Τοὺς γὰρ Σκύθας ἐνθάδε πεπρεσϐευκότας
Πρὸς τὴν ἑαυτῶν αὖθις ἐχρῆν ἐξάγειν.
Εἰς τὴν Ἀμινσὸν[3] τοιγαροῦν κατηρκόσι,
* Τὴν βάρϐαρον γῆν, τὴν ἀπόσ7ροφον πόλιν,
Τὴν συγχυτικὴν ἐμϐολὴν τῆς Περσίδος,
Φοιτῶσιν ἡμῖν ἐκ νεὼς ἀρτιπλόου[4]
Οἱ τοῦτον αὐτὸν εἰς Καφᾶν[5] ἀφιγμένον
Τὸν Κελτὸν ἀθρήσαντες ἐν χρῷ Χατζίκην[6],
Καὶ τοῖς λόγοις τυποῦντες ἀντὶ ζωγράφων·
Εὐθύμιος δὲ μηδ' ἐν ἀρχῇ δισ7άσας,
Ἀλλ' ὥσπερ εἰκὸς τὰς λαϐὰς ἐναρμόσας
Ἐκ τοῦ προϐουλεύματος εἰς τὰς ἐμφάσεις,
« Ὁ Χατζίκης, εἴρηκεν, (ὢ φήμης φίλης!)
Ὁ Χατζίκης ὁ γίγας ἐκ τῆς εἰκόνος. »

[1] Cf. supra v. 10.

[2] Notandus locus de acu magnetica nautarum.

[3] Ἀμισός apud veteres, in Ponto.

[4] Hac voce augenda lexica.

[5] Olim Theodosia in Chersoneso Taurica. Cf. Bischoff s. v. *Capha*.

[6] De Chatzice qui pro Iberis cum Andronico imper. frustra de fœdere egit, cf. Pachymer. t. II, p. 620, 7 sqq.

Ἐγὼ δὲ πικρῶς τὴν ψυχὴν ἐϐαλλόμην,
Καὶ τὴν σιωπὴν ἦγον ἀντὶ Φαρμάκου,
Πρέσϐις ἀκερδὴς εὑρεθεὶς παρ' ἐλπίδας·
Πλὴν ἀλλ' ἀναπλεῖν εἰς Φάσιν ἠπειγόμην,
Καὶ τὴν Σεϐαστόπολιν[1] ἰδεῖν ἠγχόμην·
Καὶ γὰρ ἐπὶ νοῦν τὸ προσῆκον ἐσκόπουν,
Ὡς ἂν ὁ Κελτὸς ὁ βραϐεὺς τῶν συμμάχων
Εἰς ἔργα χωρῇ πρὸς τὸ σοὶ δεδογμένον.
Ἐπεὶ δὲ παρῆν τῆς νεὼς ὁ δεσπότης,
Καὶ Χατζίκην ἤκουσεν ἐκ τῶν ἐμπόρων,
Τὴν μὲν παλαιὰν εἰς τὸν ὅρμον ἐξάγει,
Τὴν πρόσφατον δὲ συγκομίζει φορτίδα·
Συχνοῦ δὲ μισθοῦ τοὺς ἐπιϐάτας ἄγων
Καταφλυαρεῖ καὶ μεθέλκει τὴν κρίσιν·
Μόγις τὸ βαθὺ τῆς ψυχῆς λύσας νέφος[2],
Θυμὸς γὰρ αὐτῷ συμφυὴς ἐπεσκότει[3],
Τὰς τῶν νεφελῶν ἐσκοπεῖτο συνθέσεις,
Ὅπως νότου πνεύσαντος εἰς Φάσιν λύοι,
Καὶ πάλιν ἡμῖν ἀντανεῖργε[4] τὴν κρίσιν
Πικρῶς τυραννῶν καὶ καθέλκων τὸ σκάφος·
Τριῶν δὲ λοιπὸν ἡμερῶν παρηγμένων,

[1] Dioscurias sive Sebastopolis in Colchide, nunc *Iskuriah*.

[2] Jo. Chrys. *Opp.* I, p. 107 E : Διὰ πάντων πυκνῷ τινι νέφει συσκιάζοντες αὐτῶν τὴν ψυχήν. Pisid. *Hexaem.* 20 : Νέφος λογισμοῦ.

[3] Eustath. *Opusc.* p. 68, 37 : Θυμῷ σκοτούμενοι. Jo. Damasc. *Opp.* t. II, p. 791 C, edit. Venet. : Ἀποθώμεθα λύπης ἁπάσης νέφος ἐπισκοτούσης ἡμῖν τὸν νοῦν. Niceph. *Onirocr.* 19 : Σκότος φροντίδων. Cyrill. Alex. apud Mai. *Bibl. Patr.* t. II, p. 155 : Κατεσκοτισμένην ἔχει τὴν διάνοιαν. Id. inf. p. 160 : Αὐτὸς τὸ θεῖον καὶ νοητὸν φῶς ἐνήστραψε τοῖς ἐσκοτισμένην ἔχουσι τὴν καρδίαν. Hephæstus Bulgar. cod. Par. 1277, fol. 261 v° : Πυρετὸν... Ὃς ἐμὸν πέπωκεν αἷμα, Ὃς ἐμὸν νόον σκοτίζει.

[4] Supra XIV, 10 : Τὸ χῦμα τῆς σῆς ἀντανείργεις καρδίας. *De eleph.* 241 : Καὶ τοὺς ἐν αὐτοῖς ἀντανείργων ὁπλίτας.

Ἄλλους πρὸς ἡμᾶς ἦγεν ὁ πλοῦς ἐμπόρους,
Οἳ Χατζίκην λέγουσιν εἰς Καφᾶν μένειν,
Ταῖς τῶν φίλων σειρῆσι κεκρατημένον,
Ὡς καὶ περιτλὸν τῇ σχολῇ πῆξαι χρόνον,
* Καὶ χάριν αὐτοῖς τὴν βραδυτῆτα κρίνειν·
Κοινὴ κρίσις ἀνῆγε λοιπὸν τὸ σκάφος
Ἐκ τῆς Ἀμινσοῦ πρὸς Καφᾶν καὶ Χατζίκην,
Ὡς ἂν μεταγνοὺς καὶ σΊρατὸν συνεξάγοι·
Νεφῶν δὲ θερμὴ συνδραμοῦσα πυκνότης
Ἀνεῖργεν ἡμῖν τῆς πνοῆς τὰς ἐξόδους,
Καὶ τοῦ πόρου μεσοῦντος ὁ πλοῦς ἐῤῥύη,
Καὶ τῷ σκάφει κίνησις οὐκ ἦν ἐνθάδε.
Τριήμερος δὲ τῆς τριϐῆς ἦν ὁ χρόνος,
Ἐν ᾧ παρελθὼν τὸν Καφᾶν καὶ τοὺς φίλους
Καὶ τὰς περιτλὰς δεξιώσεις Χατζίκης
Ἥκει πρὸς αὐτὴν εὐπλοῶν σου τὴν πόλιν·
Ἡμᾶς δὲ Καφᾶς[1] ἡ Σκυθῶν γῆ λαμϐάνει
Δραμόντας εἰκῇ τὴν ὁδὸν τῶν ἐλπίδων,
Καὶ πάλιν ἡμῖν τὸ σκοπεῖσθαι πρὸς Φᾶσιν·
Οὐκ ἦν γὰρ εἰκὸς δυσΊυχῶς ὑποσΊρέφειν·
ἈνίσΊαται δὲ καὶ νικᾷ Σίμων Σύρος,
Ὃς πάντα φησὶν ἐκπερᾶναι σὺν δίκῃ·
* Ἄλλου δὲ μὴ παρόντος, ὦ νόμοι, σκάφους,
Εἰς Φᾶσιν ἐλθεῖν εὐκλεῶς οὐκ ἴσχυον,
Καὶ δεύτερον πλοῦν[2] καὶ παλίνσΊροφον πόρον
Παρεῖχεν εὐθὺς ὁ κρυμὸς καὶ τὸ ψύχος·
Ἀλλ' ὦ βασιλεῦ, τὸ σΊερεῖσθαι πραγμάτων
Δεινόν τι δεινὸν καὶ φθορᾶς ἐγγὺς τρέχον·
Εἰ γὰρ ἐμαυτὸν εἰς Καφᾶν εἶχον τρέφειν,

[1] Cf. supra not. ad v. 40. — [2] Cf. cod. Esc. ccɪ, 4.

Ἥκισλ' ἂν εἰσήνεγκα δευτέρῳ σκάφει,
Παρὸν θεωρεῖν πρὸς τὸ πῦρ καὶ τοὺς λόγους,
Καὶ τὸ σλεγανὸν τῆς ἐμῆς πήρας τρύφος·
Νυνὶ δὲ τολμῶ καὶ ποθῶ τὴν ὁλκάδα,
Καὶ ζῶν ἀτεχνῶς εὐδρομῶ πρὸς ἀγχόνην·
Ὡς γὰρ ἀναχθὲν ἐσλεγάσθη τὸ σκάφος,
Ἰθύνεται μὲν ἄχρι τοῦ μέσου πόρου·
Νότου δὲ λιβὶ συγκραθέντος ἀθρόον
Ἀντέσχεν οὐδὲν, ἀλλ' ἀκόσμως ἐτράπη·
Ἀνέσχομεν δ' οὖν, καὶ Καφᾶς ὅρμος πάλιν,
Καὶ πάλιν ὁ πλοῦς ἡμερῶν ἦν τετλάρων
* Τρὶς ἓξ ῥυεισῶν τῷ κρατεῖν ὅλως νότον·
Ἀγχοῦ δὲ Πηγῆς Γοτθικῆς εἱλκυσμένοι
Καὶ τῶν Χαραδρῶν ἐξ ἀνάγκης ἡμμένοι,
Σίδηρον ὠθήσαμεν εἰς βάθος μέγαν,
Ὡς ἂν ἐπ' αὐτοῦ μὴ κλονῆται τὸ σκάφος.
Πλὴν ἀλλ' ὁ πυκνόκλωσλος[1] ἐῤῥάγη κάλως,
Ὡς μίτος ἁπλοῦς ἀδρανοῦς ἀραχνίου,
Κωμασάσης λαίλαπος εἰς τὴν ὁλκάδα·
Καὶ πάλιν ἡμεῖς τῆς θαλάσσης ἐν μέσῳ,
Εἰπεῖν δὲ ταυτὸν τῆς φθορᾶς τῆς ἐσχάτης.
Ἀλλ' ὦ γαληνὲ βασιλεῦ τῶν Αὐσόνων,
Δι' οὗ καθαιρεῖ κοσμικὴν πᾶσαν ζάλην
Ὁ σὸς βασιλεὺς ὁ κρατῶν πάντων μόνος,
Σοφῶς χορηγῶν[2] τῶν καλῶν τὴν αἰθρίαν[3],
Ποίοις λόγοις ἄῤῥητον ἐκφράσω ζάλην;
Οὐ γὰρ ἐφικτόν ἐσλιν ἀνθρώπου φύσει
Τοσοῦτον ἐσμὸν συμφορῶν διαγράφειν·

[1] Vox addenda lexicis.
[2] Cf. supra XIV, 509.
[3] Infra CLXXI, 3. Supra XIV, 526 : Ἴθυνον αὐτὸν εἰς ἀγαθῶν αἰθρίαν

Ἐγὼ δὲ καὶ πρὶν τὸν βαρὺν φράζειν σάλον
* Ἰλιγγιῶ καθάπερ ἐκ ναυαγίου·
Παρῆν γὰρ ἡ νὺξ ἐν βαθεῖ τότε γνόφῳ,
Βρονταὶ δὲ πυκναῖς ἀσΊραπαῖς ἐπεκρότουν·
Ὁμοῦ δὲ καὶ χάλαζα καὶ πνοῆς βία,
Καὶ ῥεῦμα γοργὸν ἐκ νεφῶν ὀξυδρόμων,
Καὶ κῦμα συχνὸν ἐκ μυχῶν ἀποκρύφων
Τοῖς κυκλόθεν σίφωσιν ἠρεθισμένον,
Φιλῆν τρέχειν ἔπειθον ἐν χρῷ[1] κινδύνου·
Εἰκὸς δὲ ῥιγοῦν τῷ κρυμῷ τοὺς ναυτίλους,
Καὶ καρδιαλγεῖν καὶ παρεῖσθαι καὶ τρέμειν,
Καὶ μηδοπωσοῦν τοῖς παροῦσιν ἀντέχειν.
Συντρίβεται γοῦν ἡ λαβὴ τῶν ἱσΊίων,
Ἐκρήγνυται δὲ καὶ τὸ λαῖφος αὐτίκα,
Καὶ παραμικρὸν τὸ σκάφος καλύπΊεται
Περιαγωγαῖς ἐκλυθὲν πολυσΊρόφοις·
Θρηνεῖ δὲ πικρῶς τῆς νεὼς ὁ δεσπότης,
Ὠθῶν καθ' ὑγρῶν τὴν σπορὰν τῆς φορτίδος·
Ἐλέγχεται δὲ ναυτικὸς πᾶς τις νόμος·
* Φροντὶς δὲ λοιπὸν οὐ προσῆν ταῖς ἀγκύραις,
Καὶ καταλειφθὲν ἐκλονεῖτο τὸ σκάφος·
ἘφρίτΊομεν δὲ μὴ παραβόλως τρέχον
Εἰς γῆν χαλασθῇ καὶ θρυβῇ πρὸς τοῖς λίθοις·
Καὶ ταῦτα δεινῶν γειτνιώντων βαρβάρων,
Πρὸ τῶν μεταξὺ τῆς φορᾶς ὁρισμάτων.
Ἀλλ' ἦγεν ἡμᾶς ὁ βραβεὺς πάντων μόνος,
Ὁ δημιουργὸς ὁ σκοπῶν τὸ συμφέρον,
Ὁ καὶ θαλασσῶν καὶ νεφῶν ὕδωρ χέας·
Κουφίζεται γὰρ ὁ πρὸς ἡμέραν δρόμος,

[1] Cod. Flor. xcv, 127 : Καὶ τὸ σκάφος σέσωκας ἐν χρῷ κινδύνου.

Καὶ τοῦ γνόφου λυθέντος, ἡδὺ τὸ σκάφος·
Καὶ Ποντοηράκλεια[1] πᾶν ἄλγος λύει
Λιμὴν ἀγαθὸς εὑρεθεῖσα τοῖς ξένοις·
Τοῦ δὲ τρίτου σκάφους με λιπόντος πάλιν,
Τροφὰς γὰρ ἐχρῆν συγκομίζειν τῷ χρόνῳ
Μὴ δαπανηθῇ καὶ λιμῷ τὸ σαρκίον,
Τέταρτον εὑρὼν μετριώτατον σκάφος
Ἐμαυτὸν εἰσήνεγκα ῥιψοκινδύνως[2]
* Τῇ χειμερινῇ τῆς ῥοῆς περιστάσει.
Τούτοις ἐμαυτὸν ἐμβαλὼν τοῖς κινδύνοις
Νῦν ὑπὸ σειρᾷ τῇ χρυσῇ μοι τῶν φόρων,
Οὓς αὐτὸς ἀντέδωκα τῶν κλυδωνίων,
Καὶ τῆς περιττῆς τῶν σκαφῶν ἀταξίας,
Καὶ τῆς ἐπαχθοῦς τοῦ ποτοῦ δυσοδμίας[3],
Καὶ τοῦ θανατᾶν καὶ σκοπεῖν πρὸς ἀγχόνην
Πολλοὺς δανειστὰς ἐν βραχεῖ θησαυρίσας,
Αὐτοκράτορ, πάρειμι καὶ ζῶ καὶ πνέω,
Καὶ τὰς πρὸ μικροῦ συμφορὰς διαγράφω·
Καὶ δὴ πέρας τίθημι τῷ πλῷ[4] τῶν λόγων,
Ὅπη μόγις ἔληξεν ὁ πλοῦς τοῦ σκάφους·
Τὰ γὰρ περιττὰ καὶ τὰς ἐν μέσῳ λύπας
Ἑκὼν σιωπῶ τὰ προσήκοντα φράσας.

* XIX. Εἰς[5] λίθον κρύον ἐν ᾧ ἦν ἐγλυμμένος[6] ὁ δεσπότης Χριστός.

Λίθος χαλασθεὶς εἰς ὑπόκρισιν δρόσου
Καὶ χιονωθεὶς[7] καὶ θεοῦ τύπον φέρων,

[1] Heraclea Pontica, de qua conf. Bischoff.

[2] Mich. Glycas, codex Paris. 228, fol. 21 r° : Καὶ πορρωτάτω στέλλεται πάντῃ ῥιψοκινδύνως.

[3] Infra CXLIX, 108.

[4] Cf. supra X, 88.

[5] In meo *Catalog. codd. Esc.* p. 40.

[6] Conf. Platon. *Pol.* X, 616 D.

[7] Cod. Par. χιονοθεὶς.

Οὐ λίθος ἐσ7ὶν ἀκριβῶς οὐδὲ δρόσος,
Ἀλλ' αἰθριάζων οὐρανοῦ κύκλος τάχα.

XX. Εἰς τὸ αὐτό[1].

Ὕδωρ ὁ λίθος, ἡ χιὼν αὖθις λίθος·
Ὑφίσ7αται γὰρ καὶ δοκεῖ ῥεῖν ἐν μέσῳ·
Καὶ γίνεται ῥοῦς, καὶ ϖαγεὶς λίθος μένει,
Τοῦ δεσποτικοῦ θαυματουργοῦντος τύπου.

* XXI. Εἰς τὸ αὐτό[2].

Τὸν ἐξ ὄρους τμηθέντα ϖροσβλέπων λίθον,
Τὸν ἐξ ὄρους τμηθέντα νῦν σ7έργεις λίθον·
Πλὴν ἀλλὰ τὸν μὲν ἐγκοπεὺς οὐδεὶς, μάκαρ,
Σὲ δὲ σ7ομωθεὶς εὐφυῶς λίθος ξέει.

* XXII. Εἰς τὴν ἐν Βλαχέρναις ἐγλυμμένην θυσίαν τοῦ Ἀβραάμ

Ἢ τοῦτον ἰδὼν[4] εἶπε Χρισ7ὸς τὸν λίθον
Εἶναι δυνατὸν μαρτυρεῖν αὐτὸν λόγῳ,
Ἢ Χρισ7ὸν ὡς ἤκουσεν ἔμπνους εὑρέθη
Λίθος φέρων εὔτεχνον ἐκτόπως ζέσιν.

XXIII. Εἰς τὸ αὐτό.

* Ὁ λίθος ὡς γῆ δένδρα καὶ κτήνη τρέφει,
Τάχα δὲ καὶ ϖνέοντας ἀνθρώπους φύει·
Καὶ μὴν τίς ἐμπέφυκεν ἰκμὰς τοῖς λίθοις,

[1] Cod. Flor. fol. 108 r°. In meo *Catalog. codd. Escur.* p. 40, ubi legebam Ὑφίσ7αταί [γε] καὶ δοκεῖ.

[2] Id est εἰς ἴασπιν χλωρὰν κ. τ. λ. Cod. Flor. fol. 109 v°. Cf. cod. Esc. CVII.

[3] Cod. Florent. fol. 111. Cod. Mon. fol. 14, cum hoc lemmate : **Εἰς τὸν Ἀβραάμ**. Finis aliter : Ζῶντα νεκρὰ θαυμάσεις. Cod. Vatic. fol. 209 v° : Ὧ ἦν ἐγλυμμένη ἡ θυσία τοῦ Ἀβραάμ. Conf. cod. Esc. XCII.

[4] Cod. Mon. εἶδον pro ἰδών.

Ἢ τίς ϖνοῆς δύναμις ἐν τοῖς ἀψύχοις;
Οὐκοῦν τέρας ὁ λίθος οὐκ ὄντως λίθος,
Εἰ καὶ ϖάλιν ἔμεινεν εἰς λίθου φύσιν.

* XXIV. Εἰς τὰς ἐν τοῖς ἀνακτόροις ἀρετάς.

Οὐκ ἦν θεμιτὸν, ἀρετὰς εἴ ϖου γράφοις,
Μὴ καὶ τὸν αὐτάνακτα ϖρὸς ταύταις γράφειν;
Πλὴν ὡς ὑφεσίως ἀρετῆς οὗτος τύπος
Τὰς ἐμφάσεις ϖαρῆλθεν, ὦ χεὶρ ζωγράφου.

XXV. Εἰς[1] εἰκόνα τῆς θεομήτορος.

Ἕσίηκε σύννους ἀκριϐῶς ἡ ϖαρθένος,
Θεὸν βρέφος φέρουσα τῷ ϖροκολπίῳ·
Τοῦ γὰρ τόκου τὸ θαῦμα σιγῶσα βλέπει·
Πλὴν ἔσίι καὶ σὰρξ καὶ νικᾷ τοὺς ἀγγέλους[2].

XXVI. Πρός[3] τινα διασύροντα αὐτὸν ἰδεῖν[4] εἰρηκότα ἐν τῇ Περσίδι γυναῖκας ὠοτόκους ἐξ ἐπῳδῆς.

Ἐγὼ μὲν ἐξήνεγκα τὸν καινὸν τόκον,
Καὶ τοῖς φίλοις ϖροὔθηκα ῥᾳσίώνης χάριν
Ὠῶν φορητὸν ἐκ γονῆς φιλοπίέρου[5]·
Ἐχρῆν γὰρ εὑρεῖν καὶ γυναῖκας ἐν Σκύθαις,
* Αἳ ϖολλάκις τίκτουσιν ὀρνίθων τρόπον,
Ὅταν ὁ Σατὰν ὡς ἀλέκτωρ αὐθάδης
Σοϐῇ κατ' αὐτῶν τὸ ϖίερὸν καὶ τὸν λόφον·
Εὐθὺς γὰρ αὐταῖς ἐνσπαρείσης τῆς λύμης,

[1] Iterum fol. 195 r°. Habet et codex Vatic. fol. 182 r°.

[2] Πλὴν ἔσίι καὶ σὰρξ οὐρανῶν ὑπερτέρα in posteriori transcriptione.

[3] *Physic. et Med. gr.* ed. Ideler, vol. I, p. 284. Codd. Flor. f. 112, et Mon. f. 65.

[4] Cod. Mon. εἰδεῖν.

[5] Hac voce augenda lexica.

Σφαιροῖ ϖρὸς ὠὸν ὀσ7ρακοῦσα τὸν τόκον
Ἢ ϖρὸς τὸ χεῖρον ἕξις ἐκ ϖαροινίας·
Σὺ δ' ὄρνις οὐκ ὢν συγκομίζεις τοὺς τόκους
Εἰς τὴν καλιὰν τῆς ψυχῆς κεκρυμμένους[1],
Καὶ τῷ ϖλατυσμῷ τοῦ ϖ7εροῦ[2] τῆς καρδίας
Φρουρεῖς ϖερισχὼν τοὺς κυλίνδρους τῶν ψόγων·
Καὶ ϖῦρ καθ' ἡμῶν τῇ σχολῇ ταύτῃ ϖνέεις,
Ὡς ἂν ὁ καινὸς τῇ ϖυρᾷ θαλφθεὶς τόκος
Ἀνασ7ομωθῇ ϖρὸς γονήν σοι φιλτάτην·
Καὶ γὰρ νεοσσοὺς τὰς ἐμὰς ὕϐρεις κρίνεις·
Ἐγὼ δέ σοι δέδοικα μὴ τοὐναντίον
Ὄφεις ἐν ὠοῖς ὀργανοῖς ἀντ' ὀρνίθων,
Ὅταν ἐπ' αὐτῶν ἐγχρονίζῃς τῇ ζέσει·
Οἳ κατὰ καιρὸν ἐκδραμόντες ἀθρόοι
Πλήξουσι καὶ ῥήξουσι καὶ φθεροῦσί σε
* Τὰ τῶν ἐχιδνῶν ἐκμιμούμενοι βρέφη.
Πλὴν ἄφες αὐτοὺς ἐκρυῆναι[3] τοὺς τόκους,
Τῆς σῆς καλιᾶς τοὺς μυχοὺς καθαγνίσας·
Οὐ γὰρ ἐπῳάζουσι τοῖς ἀλλοτρίοις
Οὐδ' ὄρνιθες ϖολλάκις, ὦ τᾶν, οὐδ' ὄφεις,
Πρὶν ἂν ὁ καιρὸς τῆς γονῆς ἀναγκάσοι.

XXVII. Πρὸς τὸν αὐτοκράτορα[4].

Ἀλγῶ, βασιλεῦ, καὶ σιγῶν ἔτι σ7έγω
Τῶν ϖραγμάτων ϖόῤῥωθεν εἰργόντων γράφειν,
Ἀλλ' οὖν θανατῶν ἐκϐιάζω τὴν φύσιν·
Καὶ φθέγγομαι μὲν ϖρὸς τὸ σὸν κράτος βλέπων·
Αἰτῶ δὲ ϖυροὺς καὶ χιλὸν φαγεῖν θέλω·

[1] Cod. Par. κεκρυμμένην.
[2] Cf. supra x, 15.
[3] Id. ἐκφυῆναι.
[4] Codd. Flor. 121 v°, et Vat. 174 v°.

Ἐῶ γὰρ αὐτοῖς τὴν τρυφὴν[1] τῶν ἐλπίδων
Τοῖς καὶ τραπεζῶν εὐποροῦσιν εἰς κόρον,
Ἐμοὶ δὲ καὶ τοσοῦτον ἀρκέσει τρύφος,
Ὅσονπερ ἂν δύναιτο μῦν δήπου τρέφειν·
Ἤδη γὰρ ἕκτος οὗτος ἐτρίϐη χρόνος,
Ἀφ' οὗ με λιμὸς δυσπραγοῦντα συντρίϐει·
Πλὴν οὐ μενοῦμεν καὶ τὸν ἕϐδομον χρόνον
* Ὡς ἡμέραν κρίσιμον ἱδροῦντες μάτην·
Μὴ πρὶν ἐπελθεῖν καθαρῶς τὴν ἑϐδόμην
Φιλῆς παρελθὼν ἐξελέγξῃ τὴν κρίσιν·
Ἡ γὰρ φύσις κέκμηκεν ἐξ ἀσιτίας,
Ὦ νοῦ γαληνέ, φαρμακεῦ, σῶτερ πόνων·
Καὶ πρὸς τὸ κατεπεῖγον ἡ τέχνη βλέπει,
Καὶ τῇ λογικῇ πρακτικῶν δεῖ φαρμάκων.
Εἰ γοῦν ἰατρὸν ἐκδιδάσκει τὴν νόσον
Ὑγρόν τι ῥυὲν ἐκ ζεόντων ἐγκάτων,
Καὶ σὺ θεωρῶν τῆς ψυχῆς τὰς ἐκκρίσεις,
Ἃς οἱ πόνοι θλίϐουσιν ἐκ τῶν ὀμμάτων,
Τὴν τῆς νόσου δύναμιν εὐτέχνως λύε·
Σοφὸς γὰρ εἶ, κράτιστε, καὶ πόῤῥω βλέπεις,
Καὶ τῶν ἰατρῶν ἀσφαλέστερος μένεις,
Σφυγμοὺς νοητοὺς καὶ δριμεῖς πόνους κρίνων
Ἐν ταῖς ἐπαφαῖς τῆς φρενὸς τῶν δακτύλων·
Ἀντίδοτον δὲ τοῖς νοσοῦσιν ἐγχέεις,
Ἣν ὀξέως κίρνησιν ἡ σὴ χρηστότης.

* XXVIII. Πρὸς τὸν αὐτόν[2].

Νοσῶ καθαρῶς, ἀγνοῶ δὲ τὴν νόσον·

[1] Cf. supra xiv, 356.

[2] Cod. Vatic. fol. 175 v°. Cod. Flor. 122 v°, qui addit : ὅτε ὡρίσθη ἐάσαι τὸ στιχουργεῖν καὶ μὴ πρός τινα γράφειν.

Τιτρώσκομαι δὲ, καὶ τὸ κέντρον οὐ βλέπω·
Μαραίνομαι δὲ, καὶ τὸ πῦρ ζητῶ πόθεν·
Χειμάζομαι δὲ, καὶ βαρὺς μὲν ὁ κλύδων,
Οὐ μὴν δὲ σαφὴς ἐκ πνοῆς καὶ ῥευμάτων.
Ἥλιε[1] καὶ γῆ, τἄλλα μὲν πάντα σΊέγω·
Καὶ γὰρ ἔχω βάναυσον ἐν λύπαις φύσιν,
Ὅταν ὁ καιρὸς καὶ τὸ πῦρ καὶ τὴν σφύραν
Καὶ τοὺς ὑπουργοὺς τῆς πνοῆς συνεισάγῃ[2]·
Καὶ γίνομαι δύσμορφος[3] ἐξ ἀθυμίας,
Τῆς ἀσβόλης ἔσωθεν ἐκκενουμένης[4]
Ἐπὶ τὸ λευκὸν τῆς δορᾶς καὶ τὰς φλέβας.
Καὶ μὴν ὑπ' ἄλλων ἐλπίδων κουφίζομαι[5]·
Τὰς γὰρ ἀμοιβὰς τῶν πόνων φαντάζομαι·
Νοσεῖν δὲ πικρῶς ἐκ λαβῆς ἀποκρύφου,
Καὶ τοὺς πόνους τρύχοντας ἠρέμα τρέφειν
Οὐ τῶν ἀνεκτῶν οὐδὲ τῶν ἴσων κρίνω·
ΘᾶτἸον γὰρ ἂν ἔλυσεν αὐτὸς τὴν νόσον
* Ἐκ τῶν κατ' αὐτὴν αἰτιῶν ἐγνωσμένην
Ὁ ζῶντα δεικνὺς τὸν Φιλῆν ἐξ ἀψύχου·
Νυνὶ δὲ ληφθεὶς οὐχ ὁρῶ τί τὸ θλίβον.
Ἀλλ', ὦ βασιλεῦ, μὴ τελευτήσας λάθω,
Τὴν τῶν λόγων ἔμπνευσιν ἐγκαίνιζέ μοι·
Χωρὶς[6] γὰρ αὐτῆς οὐδ' ἀναπνεῖν ἰσχύω.

[1] Vs. 6-14 infra reperiuntur CLXXV, 1, ubi legitur Ἐγὼ, βασιλεῦ, pro Ἥλιε καὶ γῆ.

[2] Infra τῶν κακῶν ἐπεισφέρῃ. Conf. *De animal.* vs. 1713.

[3] Infra Φεῦ δυσδιάγνωσἸος θέᾳ. Cod. Vatic. XIV, 37 : ΓασἸὴρ κενὴ δύσμορφος ἐκτεταγμένη (leg. ἐκτετηγμένη). Meliteniota, vers. 543 : Καὶ μέσον ἔχον κεφαλὴν δύσμορφον, ἀνθρωπίνην. Id. vers. 428 : Τὴν τῶν θηρῶν δ' ἐθαύμαζον δυσμορφοτάτην θέαν.

[4] Infra ἐξωθουμένης pro ἐκκενουμένης.

[5] Conf. infra CLXXV, 8.

[6] Hic versus infra CLXXV, 19.

XXIX. Αὐθωρὸν[1] εἰς τὸν Περὶ φθόνου[2] λόγον τοῦ μεγάλου Βασιλείου.

Ἄνδρες, κακῶν κάκισΊον ἀνθρώποις φθόνος·
Δεινὸς γάρ ἐσΊι δυσμενὴς καὶ λανθάνων,
Φθορεὺς ἀγαθῶν καὶ σπορεὺς ὀλεθρίων,
Δειλὸς μαχητὴς καὶ δρομεὺς ὀπισθόπους[3],
Σφριγῶν φονευτὴς, ἀσΊοχῶν δὲ τοξότης,
Τεθηγμένη μάχαιρα, ναρκῶν ὁπλίτης,
Πηρὸς ποδηγὸς, κἂν διάσΊροφον βλέπῃ,
Σύνοικος ἐχθρὸς, καὶ ῥοφῶν πάντα δράκων,
Ὄφις τὸν ὁλκὸν ἐξελίτΊων εἰς φόνον,
Σαῦρος παλαιὸς ὠχριῶν ὡς ἐκ νόσου,
Χαμαιλέων ἄντικρυς ἠλλοιωμένος,
(Ἔχιδνα καὶ γὰρ γίνεται μητροκτόνος[4],
* Ὅταν τὸν ὠδίνοντα πικρῶς ἐσθίῃ,)
Λέαινα καὶ δράκαινα καὶ πῦρ παμφάγον,
Καὶ βασιλίσκος[5] ἐκ φονώσης ἀσπίδος,
Ὀξὺς κεραυνὸς ἐκ νεφῶν ἀποκρύφων·
Ἐγκάρδιος θὴρ, δυσμενὴς ὄντως κύων·
Συνήγορος μὲν τῆς φθορᾶς τοῦ δεσπότου,
Κατήγορος δὲ τῶν καλῶν τοῦ φιλτάτου,

[1] Cod. Flor. fol. 124 v°. Cod. Mon. fol. 70, in quo αὐθωρὸν in fine post Βασιλείου.

[2] S. Basilii sermo *De invidia*, Opp. t. II, p. 91, edit. Garn. Confer Stob. tit. 38 : Περὶ φθόνου.

[3] Cod. Esc. cxvii, 3 : Ὀξὺς ὁ νωθὴς, ὁ δρομεὺς ὀπισθόπους. Meliten. v. 273 : Κυνοβατεῖν καὶ τρέχειν ὀπισθόπους.

[4] Gregor. Nazianz. *Carm.* i, 112 : Ὡς γὰρ ἐχιδναῖός γε γόνος διὰ γασΊέρα ῥήξει Μητρὸς ἀναβρώσκων, ποινὴν πατρὸς οὐλομένοιο. Ad quem locum Cosmas in *Spicil. Roman.* tom. II, p. 355 : Ὁ δὲ χάριν τοῖς γονεῦσι μὴ εἰδὼς ὅμοιός ἐσΊι ταῖς μητροκτόνοις ἐχίδναις. Conf. Dübner, *Delect. Patr. Gr.* p. 271, n. 4.

[5] Cod. vitiose βασιλίδος.

Καὶ ψιθυρισῖὴς πανταχοῦ καιροσκόπος.
Τοῦτον Φυγεῖν σπεύσωμεν ὡς Χρισῖοκτόνον[1].

XXX. Εἰς τὸν αὐτοκράτορα[2].

Τὰ μὲν πάλαι τρύχοντα καὶ νῦν με χρέα,
Καὶ τοὺς ἀκερδεῖς τῶν ἐμῶν ἄθλων δρόμους,
Καὶ τοὺς ἀμισθὶ προσρυέντας κινδύνους,
Καὶ τοῦ λιμοῦ τὸ χρῆμα, καὶ τὴν αἰσχύνην;
Καὶ τοὺς ὅλως κίνησιν οὐ σχόντας πόνους
Ὁρᾷς, βασιλεῦ, συμπαθῶς τῇ καρδίᾳ,
Καὶ ποῦ θεμιτὸν τὸ πρὸς εἰδότα γράφειν;
Τὸ νῦν δὲ παρὸν εὐτελῶς ἔχον Φράσω·
Τὸ γὰρ ἐπεῖγον, κἂν δοκῇ βραχύτατον,
* Πλὴν ἀλλὰ τὴν αἴσθησιν ἀλγύνει πλέον,
Ἀγρὸς Φορητὸς καὶ λιβὰς ὑφασμένη,
Καὶ ῥεῦμα παγὲν εἰς χρυσίζουσαν χλόην,
Καὶ πλέγμα χυτὸν εἰς νομὰς κτηνοτρόφους
Πεινῶντι Φιλῇ τῶν μελῶν κατεῤῥύη.
Καὶ πῶς ἐφικτὸν ἐν κρυμῷ ταῦτα σῖέγειν;
Πλὴν ἥλιος σὺ καὶ τροφεύς μοι, καὶ ζέσις
Πρὸς ἣν ὁ χειμὼν[3] τῶν χρεῶν οὐκ ἀντέχει,
Καὶ[4] θάλπε ῥιγοῦν ἐξ ἀφῆς τὸ σαρκίον,
Ἐρυθροβαφέσι με κοσμῶν ἀμφίοις,
Χρυσῇ[5] γὰρ ἐσθὴς οὐ προσήκει τῷ κρύει,
Μὴ καὶ νοτισθῇ καὶ ῥυῇ παραυτίκα,
Καὶ τὴν ὅλην ἔλλαμψιν ἡ πάχνη σβέσῃ·

[1] Cod. Mon. Χρισῖότοκον. Petr. Laodicen. apud Maium, *Bibl. Patr.* t. VI, p. 544 : Οὐ γὰρ ἂν ἐδέξατο τῆς σωτηρίου κοινωνίας τὸν τύπον ὁ τῆς Χρισῖοκτονίας ὑπηρέτης, id est Judas.

[2] Cod. Flor. fol. 123.

[3] Infra LIX, 36 : Τὸν πολὺν χειμῶνα τῆς ἀκτησίας.

[4] Fort. Ναὶ θάλπε.

[5] Cf. infra XLIV, 7.

Καθάπερ οὐδὲ ϖῖλον οὐδὲ σισύραν
Φέροι τις ἂν ἥδιστα ϖαρόντος θέρους.

XXXI. Εἰς τὸν αὐτὸν, ὅτε γέγονεν ὁ ἐν τοῖς κυνηγεσίοις ἐμπρησμός[1].

Οὕτω, βασιλεῦ, ϖυρπολεῖσθαί με κρίνεις
Τοῖς ἀξύλοις ἄνθραξι[2] τῆς ἀθυμίας,
Ὡς μηδὲ τὸν σὸν ϖατριάρχην τὸν μέγαν
* Εἶναι δυνατὸν τὴν ἐμὴν σβέσαι φλόγα
Τῇ ϖνευματικῇ τῆς σοφῆς γλώττης δρόσῳ.
Εἶδες τὸ ϖῦρ ἐκεῖνο τῆς ἀπληστίας,
Ἢ μᾶλλον εἰπεῖν τῆς ἐμῆς ἁμαρτίας,
Ὃ τὰς καθ' ἡμᾶς οὐ ϖαρῆλθεν ἑστίας,
Σιτούμενον μὲν τὰς τροφὰς καὶ τὸ στέαρ,
Ὑψούμενον δὲ τῇ μετάρσει τῆς ῥύμης
Καὶ τοῖς ἑλιγμοῖς τῆς νομῆς ἐπιτρέχον;
Πῦρ ἦν ἐκεῖνο, ϖῦρ δὲ καὶ τοῦτο φλέγον·
Ἀλλὰ τὸ μὲν ϖῦρ τοῦ κατ' αἴσθησιν βρόμου
Σμικρᾶς ἀφορμῆς ἔργον εὑρέθη μέγα·
Εἶτα μαρανθὲν τῆς τροφῆς ϖεπεμμένης
Καθάπερ οὐκ ὂν ἐσκεδάσθη τῇ σβέσει·
Τὸ ϖῦρ δὲ τὸ φλέγον με τὸν σὸν οἰκέτην
Οὐκ ἔσχε λαβὴν, ἀλλ' ἀνήφθη τοῖς ϖόνοις
Εἰς τὴν ϖνιγηρὰν συστολὴν τῆς καρδίας·
Ὃ δὴ νεμηθὲν[3] τὴν τρυφὴν τῶν ἐλπίδων
Πικρῶς δαπανᾷ καὶ τὸν ἔμφυτον τόνον,
* Καὶ ϖρὸς[4] μαρασμὸν οὐχ ὑφέλκει τὴν φλόγα

[1] Cod. Flor. fol. 123 v°.

[2] Similis metaphora infra CXXII, 22: Τῆς λύπης [τῶν ἀνθράκων;] CCIII, 31: Παθῶν ἄνθραξιν. Append. XXVI, 2: Ἀνθρακιὴν ϖαθέεσσιν ἀνάπτετε. Conf. cod. Esc. LXIV, 4.

[3] Cod. νεμεθέν.

[4] Prius erat τόν pro ϖρός.

Πυκνοῖς λογισμοῖς δρασῖικῶς[1] ὑπερζέσαν.
Πλὴν εἴγε Φιλῆς ἐν πυρὶ ζῇ καὶ πνέει,
Καὶ δημιουργεῖ τοὺς κενοὺς τούτους κρότους,
Ἢ σαλαμάνδρας ἐκμιμούμενος φύσιν,
Ἢ καὶ σιδηροῦς εὑρεθεὶς ἐν σαρκίῳ,
Καὶ τοῦτο σαφῶς εἶδε συμβὰν ὁ χρόνος.
Ἀλλ', ὦ βασιλεῦ, συμπαθὴς εἶ τὴν φύσιν,
Ἡδὺς, προσηνὴς, εὐσῖεφὴς αὐτοκράτωρ,
Χρησῖὸς, γαληνὸς, εὐμενὴς ὑπὲρ φύσιν·
Ἢ γοῦν τὸ πικρὸν τοῦ πυρὸς λῦσον θράσος
Τὴν ἀπὸ τοῦ σῖόματος ἐγχέας δρόσον[2],
Καὶ τὴν ἐν αὐτῷ φλεγμονὴν κατασβέσας,
Ἢ τὴν πυρὰν σκάλευε καὶ φλόγιζέ με
Ὀργῆς ἐναργοῦς ἐμβαλὼν ταύτῃ σῖέαρ·
Ἀδύνατον γὰρ εἰς τὸ πῦρ ζῆν τὴν χλόην·
Ἔγνω δὲ πάντως καὶ τὸ σὸν μέγα κράτος
Ἀνατεθεικὸς εἰς θεὸν τὰς ἐλπίδας,
* Ὡς οὐκ ἀγαθὸν μὴ τυχεῖν τῶν ἐλπίδων.

XXXII. Εἰς ἐγκόλπιον χρυσοῦν ἔχον τὸν μέγαν Δημήτριον.

Τὴν τῶν μύρων θάλασσαν ἐκ Δημητρίου
Ὡς ὠκεανὸς τὸ χρυσοῦν κυκλοῖ φρέαρ·
Δημήτριος δὲ πορφυρανθὴς[3] δεσπότης
Ἐγκόλπιον τὸ δῶρον ὡς κόσμον φέρει.

XXXIII. Εἰς εἰκόνα τῆς θεομήτορος καθαρῷ χρυσίῳ κεκοσμημένην.

Θεὸς μὲν ὁ ζῶν καὶ πατὴρ καὶ δεσπότης

[1] Supra XIV, 17 : Ἐναπομάτῖῃ δρασῖικῶς καὶ συλλέγεις.

[2] Supra v. 5 : Τῇ πνευματικῇ τῆς σοφῆς γλώτῖης δρόσῳ. Infra CCXLI, 19 : Ψιλοῦ τέως ῥήματος ὀμβρίσας δρόσον. Anon. ap. Bandin. *Catal.* t. I, p. 472 A : Πηγὴν νάουσαν ἠθικῶν δρόσον λόγων Ἐνταῦθ' ἐφεύροις. Cod. Escur. CC, 29 : Μαθημάτων δρόσος.

[3] Cf. infra CX, 4.

Δῶρόν σε, μητράνανδρε[1], κοινὸν δεικνύει·
Ἐμὸς δὲ πατὴρ πατρικὸν κλῆρον φέρων
Δίδωσί μοι τὸ χρῆμα τῆς σῆς εἰκόνος,
Πρώτην ἀτεχνῶς καὶ τελευταίαν χάριν.
Καὶ νῦν ἔχω σΊήριγμα καὶ βάθρον βίου
Τὸν ἀκρογωνιαῖον[2] ὃν φέρεις λίθον,
Ἐν ᾧ πεποιθὼς οὐ κλονοῦμαι ταῖς λύπαις·
Στηρίζομαι δὲ τῆς ψυχῆς ταῖς ἀγκύραις[3]
Θάλασσαν[4] εὑρὼν σωσΊικῶν σε θαυμάτων,
Ἅμα δὲ καὶ κράτισΊον ἐν βίῳ σκάφος,
Δι' οὗ κατ' ἐχθρῶν εὐδρομῶ πολυτρόπων
Τὰ τῆς μάχης κύματα γαλήνην κρίνων.
* Πηξάμενος γοῦν τὸ χρυσοῦν σοι θριγγίον,
Ἄλλον γὰρ οὐκ ἔδει σε λαμβάνειν φόρον,
Τὴν πλουτοποιὸν[5] τὴν ὑπέρτιμον σκέπην,
Αἰτῶ ψυχῆς κάθαρσιν ἀντιλαμβάνειν,
Καὶ λύτρον αὐτῆς τὸν χρυσὸν τὸν ἐνθάδε,
Ὡς ἂν περικλείσῃς με, σεμνὴ παρθένε,
Μετὰ τελευτὴν, τῆς Ἐδὲμ τῷ θριγγίῳ.
Κομνηνὸς Ἀνδρόνικος[6] Ἀσὰν πατρόθεν,
Ἀδελφιδοῦς ἄνακτος Αὐσόνων γένους,

[1] Id est mater sine viro facta. Supra cod. Escur. XXVI, 60 : Τῇ μητρανάνδρῳ κόρῃ.

[2] Id. quod ἀκρόγωνον. Cf. Boisson. *An. gr.* t. II, p. 113.

[3] Cod. ἀγγύραις. Infra LXI, 28 : Τὰς τῶν λογισμῶν ἀγκύρας.

[4] Cod. Esc. CLXIX, 22 : Καὶ θαυμάτων πέλαγος ἀφθόνως ῥέον. Anon. *Not. mss.* t. VIII, p. 250 : Σταγὼν ἀμυδρὰ, καὶ ῥανὶς βραχυτάτη Πολλοῦ πελάγους κατατολμᾷ θαυμάτων. Anon. ap. Cramer. *Anecd. Paris.* t. IV, p. 327 : Μόνον με νικᾷ σὸν πέλαγος θαυμάτων. Noster, *In Jo. Chrysost.* p. 308, ed. Wernsd. : ΤερασΊίων θάλασσαν ἡδίσΊην χέει.

[5] Tarasius Cpol. cod. Coislin. 146, fol. 284 r° : Σὺ τοῦ Ἰὼβ ἡ ἐν πειρασμοῖς ὑπομονητικὴ ἀνακεφαλαίωσις, καὶ τῶν ὑπαρχόντων αὐτῷ διπλῆ διάδοσις καὶ πλουτοποιὸς ὕπαρξις.

[6] Cf. cod. Flor. CXIV, 30.

Παλαιολόγος ταῦτά σοι τῇ παρθένῳ
Μετὰ δέους εἴρηκε δεικνὺς τὴν σχέσιν.

* XXXIV. Εἰς εἰκόνα τῆς Θεοτόκου.

Ζωῆς σὺ καὶ τράπεζα καὶ κῆπος, κόρη·
Τῷ γὰρ ξύλῳ ζωοῖς με τῆς σῆς εἰκόνος
Θνήσκειν κατακριθεῖσαν[1] ἡδονῆς ξύλῳ.

XXXV. Εἰς τὸν ἅγιον Ὑάκινθον[2].

Εἰ Χρισ7ὸς ἀκρόγωνος εὑρέθη λίθος,
Τμηθεὶς Δανιὴλ[3] ὡς προεῖδεν ἐξ ὄρους,
Ἄλλον τὸν ὑάκινθον ἄθρει μοι λίθον,
Ὡς ἐξ ὄρους τμηθέντα τοῦ πρώτου λίθου
Τοῖς μαρτυρικοῖς ἐγκοπεῦσιν ἐνθάδε.
Φοινίσσεται δ' οὖν τῶν φλεβῶν τῇ πορφύρᾳ,
Καὶ γίνεται πῦρ εἰς τὸ δένδρον[4] τῆς πλάνης,
Καὶ λίθος ἐσ7ὶ καὶ διώκει πνεύματα·
Τὴν γὰρ νοητὴν οὐ παρῆλθε σφενδόνην[5],
Δι' ἧς καθαιρεῖ καὶ Δαβὶδ τοὺς αὐθάδεις.
Πλὴν οἶδα καὶ ζῶν ἀντιφάρμακον πόνων·
Χρισ7ὸν γὰρ αὐτὸν ἔσχεν εἰκονισμένον
* Γλυφεὶς καθ' αὐτὸν μυσ7ικῇ τινι ζέσει.
Τοῦτον, θεατὰ, μυσ7ικῶς καὶ σὺ βλέπων
Χρισ7ὸν τὸν ἀκρόγωνον εὐλόγει λίθον.

[1] Xenoph. *Hier.* VII, 10 : Ὁ δὲ τύραννος, ὡς ὑπὸ πάντων ἀνθρώπων κατακεκριμένος δι' ἀδικίαν ἀποθνήσκειν.

[2] De S. Hyacintho, conf. Fabricius, *Biblioth. gr.* vol. X, p. 235 ed. Harl.

[3] Dan. II, 34 et 35.

[4] Infra CVII, 13 : Τὰ δένδρα τῆς εὐτεχνίας. Noster, *In monach. leprosum*, 60 : Ἔνθα τρυγᾷ τὰ δένδρα τῆς ἀφθαρσίας. Versu præcedenti, id est 59, pro εἰς τὴν ἁπαλὴν in cod. Par. ex correct. legitur εἰς γῆν ἁπαλήν. Conf. cod. Flor. CLXXV, 12.

[5] Conf. cod. Flor. XLIII, 45.

XXXVI. Περὶ γυπῶν ἔφοδος[1].

Προγνωσ7ικὴν[2] ἔχουσι καὶ γῦπες φύσιν,
Οὓς μίξεως[3] ϖλὴν καὶ σπορᾶς λόγος κύειν,
Σπῶντας ϖνοῆς ὄλισθον ἐν τοῖς ἐγκάτοις,
Ὅταν κατ' ἀνδρῶν τακτικῶς ὡπλισμένων
Ἄλλους ὁ τῆς ἔριδος ὁπλίζῃ χρόνος,
Σφριγῶντος[4] αὐτοῖς τοῦ κατ' ἀλλήλων[5] θράσους.
Ἴσασι γὰρ δὴ τὴν ἑκατέρων τύχην,
Καὶ τοὺς νικητὰς ϖρὸ σφαγῆς[6] ἢ τραυμάτων,
Ὥσπερ ϖάλιν[7] ἴσασι τοὺς θανουμένους·
Καὶ τοῦτο σαφὲς ἔκ τινων γνωρισμάτων,
Οἷς εὐσ7όχως δίδωσιν ἡ ϖεῖρα κρίνειν.

* XXXVII. Εἰς[8] εἰκόνα τοῦ Χρισ7οῦ τοῦ κραταιοῦ.

Ἰδοὺ βασιλεὺς ἰσχυρὸς ϖαντοκράτωρ,
* Ἐξουσιασ7ὴς, εὐμενὴς, θεὸς μέγας·
Ὃς τὴν βασιλεύουσαν ἁπασῶν ϖόλιν
Δεικνὺς καθαρὰν δυσμενῶν ϖολυτρόπων,
«Ἐγὼ νικῶ, θαρσεῖτε, φησὶν, ἡ ϖόλις·»
Τὴν γὰρ ἑαυτοῦ μὴ καταισχύνων ϖόλιν,
Ἐκ δεξιῶν ἐσ7ῶσαν ὡς βασιλίδα,
Κωνσ7αντίνῳ δίδωσι τὴν νίκην ϖάλιν.

[1] In codd. Florent. fol. 36, et Mon. fol. 53. Edidit Ideler, *Physic. Minor.* vol. I, pag. 285 : Ἔφοδος ϖερὶ γυπῶν. Denuo edidit v. cl. Dübner, p. 68, cum eodem titulo, sed sine ἔφοδος. Cf. *De animal.* cap. III, Περὶ γυπός.

[2] *De animal.* v. 115 : Πλὴν μαντικὴν ἔχουσιν οἱ γῦπες φύσιν.

[3] Ibid. v. 121 : Θῆλυς δὲ ϖᾶς γὺψ, καὶ σπορᾶς ἄνευ κύει.

[4] Idel. et Dübn. σφυγμῶντος.

[5] Idel. καταλλήλων vitiose.

[6] Idel. ϖρὸς σφαγῆς.

[7] Idel. ϖόλιν.

[8] Cod. Florent. fol. 196. Cod. Mon. fol. 85.

XXXVIII. Εἰς[1] τὴν ἐν τῷ ἀσωμάτῳ τῆς Λαύρας[2] φιάλην.

Φρενῶν ὄφις ἄντικρυς, ἢ τέχνης λέων
Ὁ φύσιν εὑρὼν ζῶσαν ἐκ λίθου τάχα·
Εἰ μὴ γὰρ ὑπῆν τῆς γλυφῆς ἡ γλισχρότης,
Ἕρποντας ἄν τις εἶδε τοὺς ὄφεις τέως.
Δοκοῦσιν οὖν ζῆν καὶ κινεῖσθαι μὲν θέλειν,
Ὅμως πλοεῖσθαι καὶ νεκρὰν πῆξιν φέρειν,
Μήπως ὀλισθήσωσιν ὑπὸ τοῦ τρέχειν.
Οἱ γὰρ θρασεῖς λέοντες ἑστῶτες κάτω
Κεχήνασι νῦν εἰς βορὰν ἠπειγμένοι.

XXXIX. Εἰς[3] ἐζωγραφημένον ἐν τῇ γῇ λέοντα.

Λέων ἐπὶ γῆς πνευστιῶν γεγραμμένος
Δοκεῖ σιωπῶν προσλαλεῖν τῷ ζωγράφῳ.
Ἂν εἶχον οἱ λέοντες ἐξ ἴσου γράφειν,
Πολλοὺς ἂν εἰς γῆν εἶδες ἄνδρας ἐν τύπῳ.

XL. Πρὸς τὸν αὐτοκράτορα[4].

Ὦ νοῦ βασιλεῦ καὶ ψυχὴ στεφηφόρε,
Καὶ κοσμαγωγὲ[5] καὶ κρατίστη καρδία,
Καὶ τοὺς λόγους κρύπτουσα τοῖς ἔργοις φύσις,
Ὡς ἀστέρας ἥλιος ἐν μεσημβρίᾳ·
Δεῖ γάρ σε καλεῖν προσφυῶς ἐκ τοῦ τρόπου,

[1] Cod. Flor. fol. 36, et Vat. 182 v°.

[2] S. Lauræ monasterium in monte Atho conditum.

[3] Cod. Flor. fol. 36 v°, et Vat. 183 r°. Conf. *Fabul.* Æsop. n° 169.

[4] Codd. Vat. fol. 170 r°, Flor. 209 v°, in quo Bandin. versus numerat centum. Ex cod. Paris. 91 invenies, vel 101, si decastichon sequens adnumeres.

[5] Theodor. Ducas Lascaris, cod. Par. 3048, 10 r° : Ὁ μὲν ὡς εἰκὼν ὢν τοῦ κοσμαγωγοῦ. German. Cpol. cod. Coisl. 278, fol. 5 v° : Καὶ τοῖς χαλινοῖς τῆς κοσμαγωγοῦ προνοίας καὶ φιλαγάθου.

* Κἂν ἐξ ὕλης εὔρυθμος ὠργανωμένος
Τῆς τοῦ κράτους σύριγγος[1] Ὀρφεὺς εὑρέθης,
Νευραῖς[2] λογικαῖς γνωστικῆς μουσουργίας
Τὰ τῇ φύσει χρήσιμα φορμίζων μέλη,
Δι' ὧν ὁ κοινὸς εὐγενίζεται κρότος,
Οὐδὲν δυσηχὲς[3] οὐδ' ἀσύμφωνον φέρων,
Ἔτι σιγήσω καὶ συνέξω τὸ στόμα,
Καὶ λίθον ἁδρὸν ἐγκαθείρξω ταῖς γνάθοις,
Ὡς ἂν ἔχοι πώρωσιν ἡ φύσις λίθου
Πρὸς τοὺς κρύφα τρύχοντας ἀῤῥήτους πόνους;
Ἢ πάντα κινεῖν εὐποροῦντος τοῦ χρόνου
Καὶ τὴν σιωπὴν ἐξαμείβειν εἰς λόγον,
Τοῦ νοῦ πλατυνῶ τὸ στενὸν καὶ τὸ στόμα,
Καὶ τὰς ἐμαυτοῦ συμφορὰς ἐξελκύσω[4],
Καθάπερ ἀτμὸν ἐξ ὀπῆς καθειργμένον,
Ἢ πυρὸς ἐκθρώσκοντα καπνὸν ἀθρόον,
Τῆς πρὶν πνιγηρᾶς ἐκταθείσης ἐξόδου;
* Καὶ μὴν τὸ σιγᾶν εὐπρεπὲς τοῖς ἐν λύπαις,
Ὃ καὶ Πλάτων[5] εἴρηκε Σωκράτους χάριν,
Ὑπὲρ τελευτῆς ἐμψυχώσας τὸν λόγον·
Συστέλλεται γὰρ ἀκριβῶς ἡ καρδία
Τοῖς συντόνοις ἅμμασι τῆς ἔνδον λύπης,
Καὶ συνάγει τὰ νεῦρα καὶ σφίγγει πλέον·
Κἀκεῖθεν εὐθὺς ἐμπεδεῖται τὸ στόμα,
Καὶ, καθάπερ τάλαντον ἐν βαλαντίῳ,
Τὸ φθέγμα λοιπὸν τῇ ψυχῇ καθειργνύει.
Πῶς οὖν δυνατὸν ἐν σιγῇ φράζειν πόνους,

[1] Inf. XLVI, 8 : Τῇ σύρ. τῆς εὐσπλαγχνίας. Et LVI, 19 : Τῇ τῶν λόγων σύρ.
[2] Cod. vitiose νεβραῖς.
[3] Conf. infra LVIII, 78.
[4] Cod. ἐξεκύσω.
[5] De Platone Noster solet mentiri.

Ἢ καρδίας μώλωπας[1] ἀῤῥήτως λύειν,
Ὦ τῆς ἐν ἡμῖν φαρμακεῦ καχεξίας;
Τὸν γὰρ παλαιὸν ἐκνικῶν Ἱπποκράτην
Αὐτοῦ Γαληνοῦ τεχνικώτερος μένεις,
Ὃς εὖ γε ποιῶν ἀντιτάττει ταῖς νόσοις
Τὰς εὑρετικὰς συγγραφὰς τῶν φαρμάκων,
Καὶ ζῶσι νεκρὸς εὑρεθεὶς εὐεργέτης,
Τὸ ῥευστὸν οὐκ ἔδεισε τοῦ χρόνου σθένος.
* Πλὴν εἴπερ οὐδὲν ἀγνοεῖς τῶν πραγμάτων
Οὐ σαφὲς, οὐ δύσληπτον, οὐδὲ λανθάνον,
Ἥλιος ὢν ἄντικρυς οὐρανοδρόμος,
Γίγας γραφικὸς εἰς ῥοπὰς ὑποπτέρους,
Παντὸς τὸ σιγᾶν ἀσφαλέστερον λόγου·
Εἴ που δέ τι λέγοιμεν ἐξ ἀθυμίας,
Καὶ τοῦτο τῆς σῆς εὐμενοῦς γνώμης χάριν.
Ἀλλ' ὦ βασιλεῦ, τοῦ σοφοῦ κόσμε κράτους,
Καὶ φύσις εὐμήχανε πρὸς τὸ συμφέρον,
Ὅταν ὁ καιρὸς ἀσθενῇ τῶν ἐλπίδων,
Σὺ πάντα κινῶν ὡς τρόχους ἀγχιστρόφους
Τὴν τὰς φύσεις τρέπουσαν ἐμφαίνεις φύσιν
Ὥσπερ κατόπτρῳ τῇ κατ' ἄνθρωπον φύσει,
Πόλεις ὀχυροῖς, δυσμενεῖς περιτρέπεις,
Ὕψοῖς ταπεινοὺς, τοῦτο δεῖ φράζειν μόνον,
Ἢ καὶ τὸ μεῖζον, ὡς πνοὴν δίδως λίθοις,
Νεκροὺς δὲ λαλεῖν ἐκβιάζεις ἀψύχους,
Καὶ δημιουργεῖς ἀνδριάντας ἐμψύχους·
* Σοφοὺς δὲ ποιεῖς ἐν βραχεῖ τοὺς ἀγρότας,
Ἠθῶν δὲ κοσμεῖς εὐχερῶς ἀκοσμίαν·

[1] S. Ephr. Opp. t. III, p. 540 B: Προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπες τῆς ψυχῆς μου ἐκ τῶν πολλῶν μου κακῶν.

Δεῖ γάρ σε κινεῖν ϖανταχῇ καὶ τὰς φύσεις·
Ἐγὼ δέ σοι τίς; θαῦμα καὶ ϖῶς ἐμπνέω.
Νεκρὸς γάρ εἰμι κἂν ψυχὴν ἴσως φέρω,
Τέρας σιωπῶν καὶ λαλῶν αὖθις τέρας,
Οἰκτρὸς, ταπεινὸς, δυσλυχὴς ϖάντων ϖλέον,
Μορφῆς μόλις γνώρισμα τῆς ϖαλαιτέρας.
Τίς γὰρ βασιλεὺς[1] τοὺς ἐμοὺς ἔχει τόπος,
Ἢ ζῶντας, ἢ θνήσκοντας, ἢ ϖαρηγμένους,
Ἢ δυσπραγοῦντας ἐξ ἀνάγκης ἀσχέτου;
Ποῦ φθέγμα μητρὸς, ϖοῦ δὲ συζύγου χάρις;
Ποῦ βλέμμα ϖατρὸς, τὸ γλυκάζον ὡς μέλι;
Ποῦ φιλτάτου ψέλλισμα[2]; ϖοῦ δῆμος[3] φίλων;
Ἐῶ τὰ λοιπὰ μὴ σlενώσω τὸν βίον·
Ὁ γὰρ ϖλατυσμὸς ἐν σlενῷ μοι τῶν λόγων,
Ἄγχοντος ἤδη τὴν ψυχὴν τοῦ κινδύνου.
Εἰ μὴ δὲ τὴν σὴν καθορᾶν εἶχον θέαν,
* Καὶ τῶν ὑπὲρ νοῦν ἀκροᾶσθαι σῶν λόγων,
Γῆν ἂν ὑπῆλθον ἐν ψυχῇ ζῶν μετρίᾳ·
Πλὴν εἴπερ ἐν σοὶ ϖανταχῇ τὰ βελτίω
(Κοιμίζεται γὰρ συμφορῶν μέγας κλύδων[4],
Συσlέλλεται δὲ δυσχερὴς ἅπας ϖόνος,
Ἐξάγεται δὲ χαλεπὴ νόσος λύπης,
Εἰσάγεται δὲ ζωτικοῦ τέρψις τόνου),
Μή μοι ϖαρίδῃς τῆς ψυχῆς τὴν ϖικρίαν,
Κοινὸς γλυκασμὸς εὑρεθεὶς τοῖς ἐν λύπαις.
Ὁ γοῦν ϖαρελθὼν ἐννεάμηνος χρόνος

[1] Leg. Τίς γὰρ, βασιλεῦ, τοὺς ἐμ.

[2] Conf. infra ccxviii, 9.

[3] Improprie de multitudine. Gregor. Naz. *Opp.* t. I, p. 848 C: Ἵνα μὴ δῆμον θεῶν εἰσαγάγωμεν.

[4] Versus 80 et 81 infra cciii, 40, ubi legitur ἀμβλύνεται pro κοιμίζεται. Anon. *Catal.* Bandin. t. II, col. 470: Εἰ καταποντίζει με συμφορῶν κλύδων. Cf. cod. Flor. xcv, 122.

Ἔχει τι πάντως καὶ τεκεῖν εἴπερ θέλεις·
Κενὸν γὰρ ἡμῖν ὄγκον οὐκ ἂν ἐξάγοις,
Ὁ καὶ πρὸ καιροῦ τῆς γονῆς τελεσφόρος,
Ὃς πάντα νικῶν ἐκνικᾷς καὶ τοὺς λόγους.

XLI. Πρὸς τὸν αὐτοκράτορα.

Στάχυς μὲν ἡμῖν εὐτρεπεῖς δὴ πρὸς θέρος,
Ἀλλ' οὐχὶ καὶ παῖς εὐσταλὴς πρὸς τὸν πόνον·
Οὐκοῦν δεδοικὼς τὸν λιμὸν τὸν παμφάγον
* Ποθῶ τὸν ἀγρὸν καὶ τὸ πῦρ τῆς ἡμέρας,
Καὶ τὴν ἀναψύχουσαν ἑσπέρας δρόσον·
Ἴσως μελανθεὶς ἐν τροπαῖς ὑπαιθρίοις
Αἰγυπτιακῶν εὐπορήσω δραγμάτων,
Ἃ Νεῖλος αὐτὸς ἡδέως χαρίζεται.
Σὺ δ', ὦ γεωργὲ γνωστικῆς μοναρχίας,
Τὸν οἰκέτην δεῖξόν με ῥικνὸν[1] ἀγρότης.

XLII. Πρὸς τὸν αὐτοκράτορα, ὅτε ἐζήτει ὑπογραφῆναι τὸ διὰ τὸν υἱὸν αὐτοῦ πρόσταγμα.

Ὡς εἰς ποταμὸν τὴν ἀγαθότητά σου
Ῥιφὲν παρ' ἡμῶν, Αὐσονάρχα, τὸ βρέφος
Τῶν δωρεῶν τὰ ῥεῖθρα[2] καλῶς ἂν φέροι·
Τοὺς γὰρ νόθους ὁ Ῥῆνος εἷλκεν εἰς βάθος,
Τοὺς ἐννόμως ἔχοντας ἀνέχων τόκους·
Πλὴν εἰς τὸ σὸν πέλαγος ἀθρῆσαν πάλιν,
Ὃ καρδίας ἄβυσσος ἀφθόνως[3] χέει,
Ζητεῖ κατελθεῖν εἰς τὸ φῶς τοῦ πυθμένος,

[1] Cod. ῥυκνόν.

[2] Supra x, 8 : Τὰ ῥεῖθρα τῶν χαρισμάτων. Codex Vaticanus, xi, 3 : Τὰ ῥεῖθρα τῆς σῆς γνωστικῆς ἐπομβρίας.

[3] Cod. Esc. clxii, 4 : Πηγῆς ἐκρεούσης ἀφθόνως.

Καὶ βασιλικῆς κόχλον εὑρεῖν πορφύρας·
Οὐ γὰρ ἔχει κλύδωνος ἡ χύσις γνόφον·
* Ἀλλὰ παπαὶ, κατῆλθεν ἰδοὺ τὸ βρέφος,
Κεχρισμένον σ7έατι πατρώων λόγων.
Χαρισμάτων θάλασσα[1], τὸν κόχλον δίδου·
Μὴ μέλλε μηδὲν ἡ κρατίσ7η χρησ7ότης.
Ἀμήχανον γὰρ ἐγχρονίζον εἰς βάθος
Μὴ τῇ παρολκῇ δυσφορῆσαι τὸ βρέφος.

XLIII. Εἰς τὸ αὐτό[2].

Ἔτι παρ' ἡμῖν κλαυθμυρίζον τὸ βρέφος
Θηλὴν ἀπαιτεῖ θρεπ7ικῶν προσ7αγμάτων·
Εἰκὸς γὰρ αὐτὸ πορφυροῦν φαγεῖν γάλα
Τοῖς σοῖς ἀμελχθὲν, Αὐσονάρχα, δακτύλοις.

XLIV. Πρὸς τὸν αὐτοκράτορα[3].

Αὐτοκράτορ μέγισ7ε, χιτῶνος χάριν
Βοᾶν ὁ χειμὼν ἐκβιάζει με πλέον·
Τοῖς γὰρ π7ερωτοῖς τὴν σιγὴν σ7έργει Πλάτων[4]
Καὶ κτήνεσιν οἷς ἐσ7ὶν ἡ θρὶξ αὐτόθεν,
Οὐ τοῖς λογικοῖς εἰ πιέζοι τὸ ψύχος.
Αὐτοκράτορ μέγισ7ε, πῶς οἴσω πλέον;
Οὐ δεῖ χρυσῆν[5] ἐσθῆτα χειμῶνος φέρειν·
* Ἀνείργεται γὰρ τῶν φλεβῶν ἡ θερμότης
Ἐκ τῆς ἐπαφῆς πρὸς τὸ πῦρ[6] τῆς καρδίας·
Ποιεῖ δὲ νεκρὸν ὁ κρυμὸς τὸ σαρκίον,

[1] Conf. cod. Flor. xxxi, 1.

[2] Cod. Florent. fol. 89 et 195, ubi lemma : Εἰς τὸν αὐτοκράτορα κ. τ. λ. Habet et cod. Vat. fol. 174 v°. Cf. carmen præcedens.

[3] Cod. Flor. fol. 195.

[4] Talem locum Platonis non novi.

[5] Supra xxx, 20 : Χρυσῆ γὰρ ἐσθὴς οὐ προσήκει τῷ κρύει.

[6] Conf. supra iv, 11.

Καὶ ϖνεῦμα γοργὸν τῶν φλεϐῶν κατατρέχον
Κλονεῖ τὸν εἱρμὸν τῶν μελῶν καὶ συντρίϐει,
Καὶ τὰς τρίχας ἵσ7ησι ϖυκνοῦν τοὺς ϖόρους·
Ἀτμὸς δὲ ϖαχὺς ἐκδραμεῖν οὐκ ἰσχύων
Πρὸς μὲν τὸν ἐγκέφαλον ὡς νέφος τρέχει,
Τοῦ φλέγματος δὲ τοὺς ἀγωγοὺς ἐκλύων
Κορυζοποιεῖ[1] τῆς ῥινὸς τὰς ἰκμάδας.
Αὐτοκράτορ μέγισ7ε, ϖολλά μοι χρέα.
Τί δεῖ[2] με λοιπὸν τὸ χρυσοῦν ἄχθος φέρειν,
Ὃ μακρὸν ἐξήνεγκε τὸν γέλωτά μοι;
Νῦν ἔσ7ι χειμὼν καὶ σ7ολῆς δεῖ μοι ϖλέον
Ἐρυθροϐαφοῦς[3] ὡς τὸ ϖῦρ τῶν ἀνθράκων·
Τὰς δὲ χρυσαυγεῖς[4] τῆς λιϐάδος ἐμφάσεις
Ἔαρος ἂν φέροιμεν εἰς μεσημϐρίαν,
* Πλὴν οὐδὲ τηνικαῦτα μὴ σϐέσῃ δρόσος
Τὰς χλωροειδεῖς[5] εἰσρυεῖσα λαμπάδας·
Ὅταν δὲ ϖῦρ ἄντικρυς ἡλίου φλέγον
Ἄνωθεν εἰς γῆν τὰς νοτίδας ἁρπάσῃ,
Αὐτοκράτορ μέγισ7ε, δεινὸν τὸ ϑλίϐον.
Στεφηφόρε κράτισ7ε, ϖικρὸν τὸ τρύχον·
Ἐῶ γὰρ εἰπεῖν τοῦ λιμοῦ τὴν ἀγχόνην[6]
Καὶ τὰς ὀφειλὰς, καὶ τὸν ἄῤῥητον ϖόνον·

[1] Hac voce augenda lexica.

[2] Cod. δῆ.

[3] Supra xxx, 19 : Ἐρυθροϐαφέσι με κοσμῶν ἀμφίοις. Et v, 6 : Ἐρυθροϐαφῆ τῇ σφαγῇ τῶν βαρϐάρων. Cod. Escur. ccLxxxi, 1 : Ἐρυθροϐαφὴς ἐκ σφαγῆς ὁ σὸς φάρυγξ, Ἐρυθροϐαφὲς καὶ τὸ τῆς σπάθης σ7όμα. Cod. Florent. ccviii, 76, et ccxiii, 240 : Ἐρυθροϐαφεῖ συμφορᾷ σπαραγμάτων. Add. Noster, *De plantis*, vs. 291 et 355. *De animal.* 611. Theod. Ducas Lascaris, codex Parisin. 3048, fol. 80 v° : Καλύπ7ρα γὰρ ἐξ ἐρίων ἐρυθροϐαφεῖ.

[4] Cf. infra lxxxv, 2.

[5] Cf. infra lxii, 53.

[6] Cod. Vat. xc, 1 : Ὁ τοῦ λιμοῦ χθὲς ἐξελὼν τὴν ἀγχόνην.

Εἰ μὴ γὰρ ἐξήμαρτον ἁπάντων πλέον
Τῶν δεσποτικῶν ἐντολῶν μὴ φροντίσας,
Ἥκιστ' ἂν ἀλγῶν ὡς ὁρᾷς ἐδυσφόρουν·
Οὐ σύ με λοιπὸν, ἀλλ' ἐγὼ, στεφηφόρε,
Λυπῶν ἐμαυτὸν οὐκ ἐπαυσάμην ἔτι.
Αὐτοκράτορ[1], τολμῶντι συγγίνωσκέ μοι.

XLV. Εἰς ἐγκόλπιον σταυρὸν χρυσοῦν μετὰ λίθων.

Σταυροῦ πεπηγὸς ὑπερέντιμον[2] ξύλον,
Ὡς εἰς Γαβαθᾶ[3] τὸν χρυσοῦν ἔνδον τόπον,
Ὃς οὐ ταπεινοῖς ἐγκατεστρώθη[4] λίθοις,
* Τὸν παράδεισον τοῦτον εἰργάσατό μοι·
Ὃς ἐμφυτευθεὶς τοῖς ἐμοῖς στέρνοις βρύει.
Ληστὴς δὲ παρὼν εὐμενὴς πρὸς ταῖς πύλαις,

[1] Hunc versum habes infra XLVIII, 17.

[2] Hanc vocem ignorant lexica, quibus addam : Ἀλληλότιμος, Theod. Stud. cod. Paris. 891, fol. 28 v°. — Πανυπέρτιμος, sic vocatur Psellus in cod. Paris. 1277, fol. 196 r°, in titulo opusculi *De septem synodis*. — Συμπάντιμος, Chrysippus Hierosol. in S. Joann. Præcurs. cod. Paris. 513, fol. 111 r° : Ἡ τῶν κυριοτήτων συμπάντιμος δοξολογία.

[3] Infra CLXXXVIII, 4. Vid. Stephan. Byzant. s. v. Γαβάθη.

[4] Hac voce augenda lexica, quibus accedant : Ἐγκάθισις, Theod. Stud. cod. Coisl. 94, fol. 241 v° : Τί γὰρ ὠφέλησε τῷ ἀναπεπαυμένῳ Δανιὴλ ἡ ἐγκάθισις. — Ἐγκατάμιξις, Anon. in Aristotel. cod. Coisl. 384, fol. 60 v° : Ἔδει καὶ τοὺς ἄλλους ποταμοὺς ἁλμυροὺς εἶναι διὰ τὴν ἐκείνης (θαλάσσης) πρὸς αὐτοὺς ἐγκατάμιξιν. Et mox : Διὰ τὴν ἐγκατάμιξιν τῆς καπνώδους ἀναθυμιάσεως. — Ἐγκαταποντόω, Anon. in Psalm. cod. Paris. 371 A, fol. 94 r° : Τοῖς δὲ τοῦ Ἰορδάνου ῥείθροις ἐγκαταποντουμένη. — Ἐγκαταρκτέον, Tzetz. apud Cramer. *Anecd. Oxon.* t. III, pag. 334. Καταρκτέον ex eodem habes in vol. præced. p. 367, *not.* — Ἐγκατάσχετος, Id. *Epist.* 72 : Ἀλλὰ τελῶν ἐγκατάσχετός τε καὶ ἔμφρουρος πάντως. — Ἐγκαταταρταρόω, Anon. in Psalm. cod. Paris. 371 A, fol. 94 r° : Ἡ σχισμοῖς καὶ πυθμέσι γῆς περισσοῖς ἐγκαταρταρούσης (leg. ἐγκαταταρταρούσης) καὶ ἐμποντούσης. — Ἐγκαταφρουρέω, Theodor. Prodrom. codex Paris. 2075, fol. 414 v° : Φρουραῖς ἀφύκτοις ἐγκατεφρούρησά σε. — Ἐγκαταχώννυμι, Ephræm. v. 59.

Καὶ Πέτρος αὐτὸς ὁ σφαλεὶς καὶ δακρύσας,
Ἀντὶ Χερουβὶμ καὶ Σεραφὶμ πυρφόρων,
Τὴν εἴσοδον πείθουσι θαῤῥεῖν με πλέον.
Ἀλλὰ γενοίμην Ἀβραὰμ κόλπων μέσον
Ἐγκόλπιον νῦν τὸν παράδεισον φέρων,
Ἔνθα τρυφὴ καὶ φῶτα καὶ Θεοῦ θρόνος.

* XLVI. Τῷ[1] πατριάρχῃ κυρῷ Νίφωνι.

Χριστοῦ σὺ ποιμὴν, καὶ Φιλῆς σὸν ἀρνίον,
Ὦ τάχα θηλῆς καὶ ποτοῦ δεῖ καὶ χλόης,
Καὶ καταγωγῆς καὶ σκοποῦ καὶ σφενδόνης·
Καὶ γὰρ ὁ λιμὸς, ὡς θρασὺς θὴρ ἐν ζόφῳ,
Σφριγᾷ μεμηνὼς καὶ φαγεῖν ζητεῖ κρέα.
Τί γοῦν κατ' αὐτοῦ, ποιμνιάρχα[2], μὴ τρέχων
Ῥιπτεῖς ἀτεχνῶς ἐμβριθοῦς γλώσσης λίθους;
Τί μὴ δὲ τῇ σύριγγι[3] τῆς εὐσπλαγχνίας
Περιλαλεῖς τὸν ἄρνα τὸν σκαίροντά σοι,
Καὶ πρὸς ποταμοὺς καὶ νομὰς διεξάγεις;
Τί μὴ δὲ σηκὸν ὀργανώσας ἐλπίδων

[1] Cod. Flor. fol. 87, et cod. Mon. fol. 53.

[2] Vox addenda *Thesauro*, qui tantum habet Ποιμνιαρχέω. Infra XCIII, 14 : Χριστὸς μεθιστᾷ ποιμνιάρχης ὢν μέγας. Id. CCXXXVIII, 1 : Χριστοῦ μιμητὰ ποιμνιάρχα τοῦ πρᾳόυ. Addam et alia ejusmodi composita : Αἰωνάρχης, Ἰδεάρχης et Στιγμάρχης, Theodor. Lascar. apud Mai. *Bibl. Patr.* t. VI, p. 261. — Ἡμισυάρχης, Anon. cod. Par. 2421, p. 71, 2ª p. sæpius. — Καππαδοκάρχης, Christoph. Patric. *Menolog.* cod. Par. 1578, p. 18 : Παρὰ τοῦ Καππαδοκάρχου λαμβάνεται. — Πρωτοκανονάρχης, Cabasilas Dyrrhach. cod. Coisl. 278, fol. 230 v° : Ὁ πρ. καὶ χαρτουλάριοι τῆς μεγάλης σακέλλης καὶ τοῦ σκευοφυλακίου. — Πτηνάρχης, German. Cpol. cod. Coisl. 278, fol. 212 v° : Ἀλλὰ καὶ φύσιν ἔχειν φασὶ τὸν ἀετὸν, τῶν κατ' αὐτὸν γεννημάτων κριτὴν καθίζειν τὸν ἥλιον καὶ πρὸς διάκρισιν παριστᾶν τὸν πτηνάρχην τῷ ἀστεράρχῃ τὰ ἔκγονα. Occasione data, lexicis adde et Θεάναρχος, Theod. Stud. cod. Par. Suppl. 287, p. 61 : Τὸν θεάναρχον υἱόν.

[3] Cf. supra XL, 7.

Ἀνασοϐεῖς τὸν κλῶπα λυτῖῶντα φθόνον;
Ἥλιε φαιδρὲ τοῖς ῥιγοῦσιν ἐκ λύπης,
Τί δεῖ με ποιεῖν; τὴν μὲν ἀκτῖνα βλέπειν;
Οὔπω δὲ τὴν θάλπουσαν εὑρίσκειν ζέσιν,
Ἢ μάλα διψῆν δαψιλοῦς κρήνης μέσον,
* Ἢ μηδὲ λεπῖῶν ἀξιοῦσθαι δραγμάτων,
Ὅταν ὁ καρπὸς ἁδρύνῃ τὸν ἄσῖαχυν;
Οὐκ ἔσῖιν εἰς φῶς οὐδενὶ σκότος βλέπειν,
Οὐκ ἔσῖι λειμὼν εἰς πνοὰς δυσοδμίας[1],
Οὐκ ἔσῖι φυτὸν μὴ τρεφούσης ἰκμάδος.
Τί δήποτε δρᾷς ὁ γλυκύς μοι φωσφόρος;
Τίς ἄρα τῆς σῆς ἐκδρομῆς ἀπεκρύϐη;
Μᾶλλον δὲ τίς ἥδισῖον οὐκ ἔπνευσέ σε;

XLVII. Εἰς τὰ τοῦ αὐτοκράτορος κούκουρα[2].

Ἕλος φυτευθὲν εἰς φαρέτραν ὀσῖίνην
Ἐπὶ χρυσαυγοῦς καὶ συνεσῖώσης δρόσου
Τῶν ἐμψύχων ἤθροισε μικροῦ τὰς φύσεις
Εἰς τὰς ἐναργεῖς τῆς νομῆς ὑπεκφύσεις[3]·
Πλὴν ἠρεμεῖ τὰ πάντα καὶ σιγᾷ τάχα·
Καὶ γὰρ ὑπ' αἰδοῦς τῇ γλυφῇ συνεσῖάλη,
Μήπως ἔχοι θόρυϐον ὁ σῖεφηφόρος,
Ὧ τῶν βελῶν ἥδισῖον ὁ ψόφος μόνον
Εἰ κατὰ θηρῶν τὴν βολὴν ἀπευθύνοι
* Κυνηγετικαῖς[4] ἐκδρομαῖς ἀντιτρέχων·
Ἄλλης γὰρ ἡτοίμασε φαρέτρας βέλη

[1] Infra CXLIX, 108.

[2] Cod. Flor. fol. 87 v°. Conf. Ducangium in *Glossar. med. græc.* s. v. Κούκουρον.

[3] Vox addenda lexicis. Codex Escur. CCXI, 13: Ὅπου βάτοι πνίγουσι τὰς ὑπεκφύσεις.

[4] Conf. supra II, 6.

Θεὸς κατ' ἐχθρῶν τῷ Δαβὶδ τῷ δευτέρῳ·
Ἆρ' οὖν συνελθεῖν τοὺς χοροὺς τῶν ἐμψύχων
Ὀρφεὺς ὁ δεινὸς εἰς τὸ θέλγειν τὰς φύσεις
Τῷ τῆς λύρας κρούματι παρεσκεύασεν,
Ἢ βασιλεὺς ἔπεισε καὶ τὸν Ὀρφέα
Παρόντα καὶ σιγῶντα καὶ πεπηγότα
Μελῶν φυσικῶν ἀκροᾶσθαι συντόνως;
Οὕτω γὰρ ἂν ἴδοι τις αὐτὸν ἐνθάδε.
Πλὴν τίς ἐνεχθεὶς ἐγκοπεὺς τοῖς ὀσΊέοις
Λειμῶνα ποιεῖ καὶ νομὰς κτηνοτρόφους [1],
Καὶ πᾶν ἐπ' αὐτῇ συγκαλεῖ ζώων γένος,
Λέοντας, ἐλέφαντας, ἀνθρώπους, κύνας,
Νεβροὺς, λαγωοὺς, ἀετοὺς, νηρηΐδας,
Κύκνους, πιθήκους, καὶ φυτῶν ζώντων κλάδους,
Ὡς ἂν ἔχοι τὰ ζῶα καὶ καταδύσεις
* Καὶ χηραμοὺς καὶ λόχμας ἀφθονωτέρας,
Καὶ μὴ θρασυνθῇ τῇ κατ' ἀλλήλων μάχῃ;
Πραξίτελες, Δαίδαλε, καὶ σὺ Φειδία,
Τὰ λαμπρὰ καυχήματα τῶν ἑρμογλύφων [2],
Οἴχεσθε καὶ κρύπΊεσθε τῶν ἔργων χάριν·
Δαβὶδ γὰρ ὑμᾶς ἐκνικῶσιν αἱ ξέσεις,
Ὡς αὐτομαθοῦς [3] εἰς τὰ κῶλα τεχνίτου·
Χαλκὸς δὲ καὶ σίδηρος ἢ λίθου φύσις [4]
Τῷ βασιλεῖ φαρέτραν οὐκ ἂν εἰσφέροι·
Τὸ γὰρ ἐπαχθὲς ἡ φύσις βδελύτΊεται.

[1] Supra XXX, 13 : Εἰς νομὰς κτηνοτρόφους. Vid. quoque II, 6, et LXII, 52. Cod. Escur. CXCI, 20; et Leo Gramm. pag. 8.

[2] Theodoret. *Græc. affect.* p. 20, ed. Gaisford. : Εἰ δὲ δὴ ἑρμογλύφος ἦν, καὶ μᾶλλον· καθάριος γὰρ ἡ τέχνη, καὶ οὐ πρὸς ὀνείδους (*al.* ὀνειδισμόν).

[3] Cf. cod. Flor. CXXXI, 127.

[4] Cod. φύσεις.

XLVIII. Πρὸς τὸν αὐτοκράτορα[1].

Τοὺς μὲν παλαιοὺς τῆς ἐμῆς ψυχῆς πόνους,
Οὓς μέχρι τοῦ νῦν ἐνδιδύσκομαι χρόνου,
Στεφηφόρε κράτιστε, σιγῶ καὶ στέγω·
Κάμηλος ὢν ἄντικρυς εἰ κάμνειν δίδως,
Ἀλλ' οὐκ ἐν ὀργῇ δυσφορῶν[2] πρὸς τὴν τύχην·
Καὶ γὰρ φέρειν ἔμαθον εὐνοίας χάριν·
Εἰμὶ δὲ γυμνὸς καὶ λαλεῖν βιάζομαι·
* Τὴν γοῦν ψυχικὴν ἐντινάξας κερκίδα[3]
Τοῖς χρυσέοις νήμασι τῆς εὐσπλαγχνίας,
Χιτῶσι καινοῖς εἰ δοκεῖ στόλιζέ με·
Ἡ γὰρ ζέσις φλέγει με τῆς ἀθυμίας[4].
Εἰ δ' οὖν, ὁ πεινῶν καὶ ψιλὸς καὶ γυμνόπους[5]
Ἀρκοῦν ἔχει τὸ φίλτρον, ἐῤῥέτω σκέπη·
Ναὶ πίστις, ὡς φῶς καὶ πνοή μοι καὶ σκέπη
Καὶ σίκερα καὶ βρῶμα, καλλώπιζέ με·
Καὶ γὰρ ὁ χιτὼν ἐν βραχεῖ ῥεύσει χρόνῳ.
Αὐτοκράτορ, τολμῶντι συγγίνωσκέ μοι[6].

XLIX. Πρὸς[7] τὸν αὐτὸν αὐτοκράτορα, ὅτε ἐζήτει προμήθειαν ὑπὲρ τοῦ υἱοῦ αὐτοῦ.

Ἐν τοῖς ἐλιγμοῖς δυσφοροῦν τῶν σπαργάνων

[1] Infra iterum fol. 226 r°. Cod. Flor. fol. 88. Bandini versus 16 tantum numerat. Fort. ultimus deest ut in posteriori transcriptione Parisiensi.

[2] Supra I, 10 : Οὐ χαλεπανεῖ δυσφορῶν πρὸς τὴν δόσιν. *De animalibus*, vs. 1655 : Καὶ πᾶς ἁλιεὺς δυσφορῇ πρὸς τὴν ζάλην.

[3] Infra CXXIII, 12 : Καὶ δημιουργεῖς τῆς ψυχῆς τὴν κερκίδα. S. Gregor. Naz. *Opp.* tom. II, p. 14 A : Τῆς ἰσχύος κερκίδα φέρειν.

[4] Hic versus deest in posteriori transcriptione. Conf. infra CLXXXIV, 18.

[5] Conf. cod. Flor. CCVIII, 59.

[6] Hunc versum non habet prior transcriptio. Conf. supra XLIV, 38.

[7] Cod. Flor. fol. 88 v°.

Εἰς πάντα καιρὸν, Αὐσονάρχα, τὸ βρέφος
Τοὺς κλαυθμυρισμοὺς[1] ὀργανοῖ κεκλασμένους·
Ἐγκόπτεται γὰρ τῆς πνοῆς ἡ πυκνότης
Τῇ τῶν ἁπαλῶν συστολῇ[2] παρισθμίων·
Καὶ πῦρ[3] θυμικὸν τὴν ψυχὴν διατρέχον
Γοργῶς δαπανᾷ τῆς βοῆς[4] τὰς ἰκμάδας.
Ὑπόκρισις δὲ μητρικῶν ψελλισμάτων,
Καὶ φθέγμα, καὶ πόππυσμα, καὶ χειρῶν δρόμος,
† Ὅτε κρεμαστὸν ἐντινάσσει τὸ βρέφος,
Δοκεῖ θορυβεῖν ὡς κενὸς πάντα κτύπος·
Κἂν ᾖ τις ἐγγὺς καὶ κραδαίνῃ τὴν κλίνην,
Ὅτε στενωθὲν τῇ στροφῇ τῶν σφιγμάτων
Ἐν ὑπτίῳ σχήματι καθεύδειν θέλει
Καὶ δεινοπαθεῖ καὶ σφαδάζει τὸ βρέφος,
Οὐκ ἔστιν οὐδ' ἐνταῦθα τάχα τι πλέον·
Ὅπου γὰρ αἰτεῖ δαψιλέστερον στέαρ,
Ὃ δὴ συνεστὼς ἐκ διαίτης ἀφθόνου
Καὶ τὴν ἐν ὑγρότητι λιπαῖνον ζέσιν,
Καὶ τὰς περιττὰς ἐκπιέζον ἰκμάδας,
Εἰς εὐπρεπῆ σύμπηξιν ἀρθροῖ τὴν πλάσιν.
Δὸς οὖν, βασιλεῦ, ταῖς ἐμαῖς παιδοτρόφοις
Χλιδῆς πορισμὸν, ὥστε συστῆσαι γάλα,
Ὃ παγὲν ἐξέλυσεν ἡ θριδακίνη·
Καὶ γὰρ συναλγεῖς καὶ σκοπεῖς τὸ συμφέρον·
Θηλὴν δὲ ποιεῖς ἐξ ἀμήτορος τόκου,
* Καὶ ταῖς ἀμολγαῖς ἐκτρέφεις τὰ νήπια,
Θεσπισμάτων ἥδιστον ἐκβλύζων γάλα[5].

[1] Conf. cod. Flor. LXXIX, 64.
[2] Infra CCXVIII, 12 : Τὴν συστολὴν φεύγουσα τῶν παρισθμίων.
[3] Cf. supra IV, 11.
[4] Cf. infra LV, 88.
[5] Conf. supra XIII, 24.

L. Πρὸς[1] τὸν αὐτοκράτορα, ὅτε ἐζήτει τὸ ϖρόσῖαγμα τῆς ϖερὶ τὴν Μήδειαν οἰκονομίας αὐτοῦ.

Τὴν μὲν ϖάλαι Μήδειαν, Αὐσονοκράτορ,
Γυναῖκα δεινὴν Φαρμακὸν γραῦν τεχνίτιν,
Καὶ τῶν ἰατρῶν εὑρεθεῖσαν βελτίω,
Φασὶ νεουργεῖν ἐκ τομῆς τοὺς ϖρεσϐύτας·
Ἐγὼ δὲ μὴ σχὼν τὴν ὁμώνυμον ϖόλιν,
Τῶν ϖρίν τε καὶ νῦν Φαρμακεύτριαν[2] ϖόνων,
Καίτοι ϖροληφθεὶς τῷ ξυρῷ[3] τῶν Φροντίδων
Ἐξ ἀνδρὸς ἀκμάζοντος εὑρέθην γέρων,
Πλὴν ἀλλ' ἀναπλάσαις με καὶ δείξαις νέον,
Τὸ ϖορφυροῦν Φάρμακον εὐτέχνως χέας·
Ὁ γὰρ ϖρομηθεὺς καὶ τροφεὺς τῶν ἐμψύχων,
Καὶ σὸς βασιλεὺς καὶ Θεὸς καὶ δεσπότης,
Οὗ τὴν Φύσιν ἄπειρον εἰκότως κρίνεις,
Ἄπειρε τὴν Φρόνησιν ὡς ὑπὲρ Φύσιν,
Ὅταν ὁ Θεσμὸς τῶν καθ' Ἕλληνας λόγων
* Κενόν τι ϖοιῇ συσῖαλείσῃ τῇ κτίσει,
Τὴν ἰδίαν ϖρόνοιαν ἐγνώρισέ σοι,
Δι' ἧς κυϐερνῶν ἐξ ἀδήλου τὰς Φύσεις,
Καὶ μέχρις αὐτῶν εὐδοκῶν τῶν ϖερδίκων,
Κήρυκα τῆς χάριτος εἰργάσατό σε,
Πνέοντα ϖῦρ ἄντικρυς ἀνθράκων δίχα.
Ὡς οἰκέτης σὸς ταῦτα τολμήσας ἔφην.

LI. Ὄνειρος[4] ὅτε βασιλεὺς βαρέως ἔσχε ϖερὶ αὐτὸν συκοφαντηθέντα[5].

Ἕλους μεταξύ τινος ἐσῖὼς ἱππότης,

[1] Cod. Flor. fol. 89. Bandini versus 26 numerat.

[2] Cf. infra LX, 28.

[3] Cf. cod. Flor. XXXV, 31.

[4] Cod. Flor. fol. 100. Cod. M. fol. 1.

[5] Cod. Par. συκοφανθέντα.

Τὸ κτῆνος ὀκνοῦν τὴν διάβροχον τρίβον,
Ἐπεὶ καθ' ἡμῶν καὶ βραχὺς ἦρτο γνόφος,
Καθάπερ ἀτμὸς ἐκδοθεὶς τῆς ἰκμάδος,
Πτερνῶν σιδηραῖς ἐξοχαῖς ἠκιζόμην·
Οὕτω δέ μου κάμνοντος ὢ τᾶν εἰς μάτην,
Ἔμπνουν γὰρ ὂν τὸ κτῆνος εὑρέθη λίθος
Τοὺς ἐκτιναγμοὺς[1] καρτεροῦν τῶν μαστίγων,
Ποθὲν προελθὼν ὁ γλυκὺς αὐτοκράτωρ,
Καί τινα σειρὰν δακτυλόπλοκον[2] φέρων
* Ἐνῆκε δεινὴν συσταλέντι μοι φρίκην·
Πίπτει μὲν οὖν τὸ κτῆνος ἐκπλαγὲν τάχα·
Ἐγὼ δ' ἐπ' αὐτῷ συσχεθεὶς ἐπνευστίων·
Εἶτα βασιλεὺς ἐκδραμὼν ὥς τις λέων,
Καί τινα θυμὸν τῇ βοῇ παρεγχέας,
Ὡς καὶ βρυχηθμοῖς ἐκταράξαι με πλέον,
Τὸ πλέγμα ῥιπτεῖ κατὰ τοῦ κτήνους μόνον·
Τὸ δ' εὐθὺς ἦν ὄχημα καὶ κτῆνος πάλιν
Ἀνασοβηθὲν τῇ βολῇ τῇ συντόνῳ·
Ἱππεὺς δὲ κἀγὼ καὶ δρομεὺς παρ' ἐλπίδα
Τῆς οὐ πρὸ μακροῦ συμφορᾶς ἀποτρέχων.
Ὁ γοῦν ὄνειρος οὗτος· αὐτὸς δὲ σκόπει,
Καὶ γνῶθι τί ποτ' ἐστὶ καὶ λύσιν δίδου,
Καὶ παραμυθοῦ δυσπραγοῦντα τὸν φίλον.
Ἕλος μὲν οὗτος, εἶπεν, ὁ βραχὺς βίος·
Ἄνθος γὰρ εὐμάραντον[3] ἀγροῦ καὶ χλόην

[1] Confer cod. Flor. xxx, 26, et xcv, 56. Id. *De animal.* 145 : Τοῖς ἐκτιναγμοῖς τῶν ποδῶν τοῖς εὐστόχοις. German. Cpol. cod. Coisl. 278, fol. 215 v°: Μὴ βαστάζετε ἐν τῇ ὁδῷ μὴ πήραν ἐδεσματοφόρον (adde lexic.), μὴ χρυσὸν μηδὲ ἄργυρον, ἐν τῷ αὐτὰ τῷ τῆς διανοίας κόλπῳ φέρειν καὶ περιστρέφειν, ἀλλ' ὡς ἐνόδιά τινα βάρη ἐκτινακτέον. Qua voce carent lexica.

[2] Vid. infra LVI, 92.

[3] Psalm. CII, 14. Conf. supra IX, 1.

Ψάλλων Δαβὶδ κέκληκε τὴν βροτῶν φύσιν·
* Ἔχει δὲ καὶ λιβάδας ἱδρώτων ἴσως,
Εἰ δεῦρο μοχθεῖν ἐξ Ἀδὰμ κατεκρίθης·
Φθόνου δέ τις ἔνεστι τῷ βίῳ γνόφος,
Ὑφ' οὗ τὰ δεινὰ κρύπτεται βουλεύματα·
Ὄχημα δὲ ζῶν αἱ πρὸς ὄγκον ἐλπίδες,
Δι' ὧν ὁ παικτὸς εὐμαρίζεται δρόμος·
Ὀχούμενος γοῦν τῇ ῥύμῃ τῶν ἐλπίδων
Πίπτεις μεταξὺ καὶ πλοῇ καὶ συντρίβῃ·
Ἦν γάρ τις, ὦ τᾶν, ἐμποδὼν ἁμαρτία,
Πλὴν αὐτὸς ὁ κράτιστος ἐξήγειρέ σε,
Καὶ φαιδρὸν αὖ τέθεικεν ἐκ τῶν ἐλπίδων,
Εὐσπλαγχνίας μάστιγι[1] τὸ πλῶμα τρέπων
Εἰς πραγμάτων κίνησιν ὀλβιωτέρων.
Τὸ γοῦν ἀθυμεῖν ὡς δρομεὺς ἀφεὶς μέγας,
Τὸ συμπαθὲς θαύμαζε τοῦ στεφηφόρου.

LII. Εἰς[2] *εἰκόνα τοῦ ἁγίου Ὀνουφρίου.*

Γυμνὸς μὲν Ἀδὰμ, ἀλλ' ὑπ' αἰδοῦς ἐκρύβη·
Γυμνὸς δὲ καὶ σὺ, πάτερ, ἀλλ' οὐκ αἰσχύνῃ·
* Ταῖς γὰρ φυσικαῖς ἡδοναῖς οὐκ ἐκλάπης.
Ἐγὼ δὲ γυμνὸς εὑρεθεὶς πρὸς αἰσχύνην
(Ἡ σὰρξ γὰρ ἡ σύνοικος ἠπάτησέ με),
Κυκλῶ σε φαιδρῶς τῇ στολῇ τῇ συνθέτῳ.
Τάχα με τὴν σὴν αὖθις ἐνδύσει σκέπην
Ὁ Βασίλειος[3] οὗτος ἑστὼς ἐνθάδε·
Καὶ γὰρ ἀγαθὴν εὐτυχήσω τὴν τρύγην,
Φυτηκομῶν[4] τὸν κῆπον ἐκ χρυσαργύρου[5].

[1] Conf. supra XIV, 587.
[2] Cod. Flor. 89 v°. Cf. infra LIII et LIV. Vid. Fabr. *Bibl. gr.* X, p. 300.
[3] Infra LIII, 9.
[4] Infra LVI, 50.
[5] Infra LIV, 8.

LIII. Εἰς τὸ αὐτό[1].

Ὀνούφριε ζῶν ἀκριβῶς κἀν τοῖς τύποις,
Ἡ γὰρ χάρις πόῤῥωθεν ἐσκήνωσέ σοι,
Τὴν χρυσοειδῆ προσφορὰν ταύτην δέχου,
Καὶ τὰς ἀμοιβὰς ὡς ἐπηγγείλω δίδου·
Αὐθαίρετος γάρ ἐστιν ἡ σὴ γυμνότης,
Καὶ διπλόη ῥήματος οὐκ ἔνεστι σοι·
Κἂν εἰς τὸν ἐσμὸν[2] τῶν ἐμῶν κακῶν βλέποις,
Ἴσως δυσωπήσει σε καὶ γεγραμμένος
Ὁ Βασίλειος[3] οὗτος ἐστὼς ἐγγύθεν·
Ἀλλὰ σιωπᾷ τοῦτο τῆς τέχνης πάθος.

* LIV. Εἰς τὸ αὐτό[4].

Εἰ προσφορᾶς δή τινος ἢ μνήμης χάριν
Πολλῶν δίδως λύτρωσιν ἀμπλακημάτων,
Ὅσην ἐμοὶ παρέσχες εὐελπιστίαν,
Ὀνούφριε ζῶν τῆς ἐμῆς ψυχῆς μέσον,
Κἂν ἐν τύπῳ γράφω σε γυμνὸν τὸν μέγαν,
Ἀλλ' οὖν ἔχεις τὸν κόσμον ἐκ χρυσαργύρου·
Νέον δὲ Βασίλειον ἐν χρῷ δεικνύων
Ἀεὶ παρ' ἀμφοῖν προσδοκῶ τὰ βελτίω[5].

LV. Πρὸς[6] τὸν αὐτοκράτορα, ὅτε ὑπό τινων ἐσυκοφαντήθη.

Ἐβουλόμην ἔγωγε τοῦ λέγειν χάριν

[1] Cod. Flor. fol. 89 v°.

[2] Eadem metaphora apud Porphyr. *De abst.* II, p. 97, 27. Conf. supra I, 11 : Τὸν ἐσμὸν τῶν καλῶν. Cod. Gr. Paris. 1500, fol. 19 v° : Ἐ. θαυμάτων. Cod. Paris. 1481, fol. 1 v° : Ἐ. χαρισμάτων. Cod. Par. 1554 A, fol. 25 r° : Ἐ. ἀνθρώπων. Cod. 1534, f. 68 r° : Ἐ. ἀρετῶν. Theod. Lascar. cod. Par. suppl. f. 92 v°. Et cod. Paris. 1512, fol. 220 v°.

[3] Supra LII, 8.

[4] Cod. Flor. fol. 89 v°.

[5] Supra LII, 10.

[6] Cod. M. f. 2. In cod. Flor. f. 101.

Ἥλιον εὑρεῖν καὶ προκείμενον θάκον
(Οὕτω γὰρ ἂν εἴποι τις ἀνὴρ ἀγρότης)
Καὶ σαββατισμὸν [1], Αὐσονάρχα, πραγμάτων,
Ἢ σ7έρνα χαλκᾶ καὶ δεκάγλωτ7ον [2] σ7όμα·
Καὶ πάντα καιρὸν εὐτυχεῖν ἂν ηὐχόμην,
Εἰ μᾶλλον ἐξῆν ὀργανοῦσθαι τοὺς λόγους,
Ἀπὸ σκοπιᾶς ἐκ νεφῶν ἐπηρμένης,
Ὡς πᾶσαν αὐτῶν ἀκροᾶσθαι τὴν κτίσιν·
* Πλὴν ἥλιος σὺ καὶ προβάλλεις τὴν ζέσιν,
Ἐξ ἧς ὁ ῥυθμὸς τῆς ἐμῆς μουσουργίας·
Ἐγὼ δὲ τὸν νοῦν ἡσυχῇ καθιδρύσας
Εἰς τὴν χρυσῆν κρηπῖδα τῶν πρὶν ἐλπίδων
Τοὺς σοὺς, βασιλεῦ, τεχνικῶς πλέξω κρότους,
Κἂν ἀκροατὴς εὑρεθῇς τούτοις μόνος·
Ὁ νοῦς ὁ πυκνὸς, ἡ διόπ7ρα [3] τῶν λόγων,
Ἐνταῦθα πᾶς ὁ κόσμος, ἢ καί τι πλέον,
Εἰ πρὸς σὲ τὴν σύγκρισιν ἡ κτίσις ἔχοι·
Εἰ γὰρ ἐπὶ γῆς οὐρανοῦ τύπον φέρων
Τὴν βασιλικὴν ἐπλατύνθης καρδίαν,
Ἣ σφίγγεται μὲν τῇ δρακὶ τοῦ δεσπότου,
Φαιδρύνεται δὲ τῇ πρὸς ἡμᾶς αἰθρίᾳ
Τοὺς ἀσ7έρας [4] πλουτοῦσα τῶν χαρισμάτων·
Πῶς οὐκ ἀτεχνῶς οὐρανοῦ σὺ βελτίων,
Ὅταν ὁρᾷ καὶ τοῦτον ἀνθρώπων χάριν
Ταθέντα Δαβὶδ [5] ὡς διάβροχον δέρος,

[1] Infra LX, 22 : Τῷ σαββατισμῷ τῆς ἐμῆς ἁμαρτίας.

[2] Hom. *Il.* B, 489 : Εἴ μοι δέκα μὲν γλῶσσαι, δέκα δὲ σ7όματ' εἶεν. Ex Georg. Pisid. *Thesaur.* citat δεκάγλωτ7ον σ7όμα.

[3] Infra CCVII, 5 : Τὸ σχῆμα λαβὼν τῆς διόπ7ρας τῶν λόγων. Cod. Esc. XCI, 12 : Διόπ7ραν ἐλπίδων.

[4] Cod. Esc. CLXXXI, 1 : Χαρισμάτων ἀσ7ρασιν οὐρανὲ βρύων.

[5] Psalm. CIII, 3 : Ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέῤῥιν.

Αὐτῆς δὲ τῆς γῆς ἀσφαλέστερος μένων
* Πρὸς τὰς ἐπαχθεῖς τῆς ψυχῆς σου φροντίδας,
Καρποὺς γεωργεῖς εὐτυχοῦς κραταρχίας,
Ἐξ ὧν ὁ κόσμος ἀφθόνως πλουτίζεται·
Καὶ συναγαγὼν τὰς ῥοὰς τῶν πραγμάτων
Εἰς τὰς ἀφανεῖς τῶν φρενῶν σου πυθμένας
Νοημάτων ἄπειρος εὑρέθης χύσις [1],
Ἣ στῦφον οὐδὲν οὐδ' ἀλυκὸν ἐῤῥύη·
Θεόδροσοι [2] γὰρ ἐκπετάννυνται φλέβες·
Τὸ σόν γε μὴν πέλαγος οὐκ οἶδε ζάλην·
Κοιμίζεται δὲ γνωστικὸν φέρον στέαρ,
Ὅταν ὁ θυμὸς τῆς ψυχῆς ὑπεκβράσῃ [3],
Κἂν ἐκ πονηρῶν, Αὐσονάρχα, πραγμάτων
Ῥυεὶς ὁ χειμὼν τῆς ἐμῆς ἁμαρτίας
Κυκᾶν σε τὸν ῥοῦν ἐκβιάζοι τῶν λόγων.
Ἄκουε λοιπὸν ὁ γλυκὺς αὐτοκράτωρ·
Ἐμοί τις ἀνὴρ δυσμενὴς πλείστου χρόνου
Καθεὶς ἑαυτὸν εἰς ἰλὺν ἀπιστίας,
Κἀκεῖθεν εὐθὺς ἐξιὼν οὐκ οἶδ' ὅπως
* (Ἐχρῆν [4] αὐτῷ συμπνιγῆναι τὸν δόλον,
Ὡς ἂν τὸ κοινὸν σωφρονέστερον μένοι
Τοῖς ἐκτιναγμοῖς τοῖς κενοῖς τοῦ βορβόρου·
Τὸ γὰρ ἀκαλλὲς τῇ ψυχῇ προσετρίβη),
Ῥανίδας ἡμῖν ἀπρεπεῖς ἐπιβρέχει·
Βούλοιτο γὰρ ἂν ὡς μισάνθρωπος κύων
Καὶ τοὺς καθαροὺς ἐνδακεῖν τοῦ κινδύνου·
Πλὴν, ὦ δικαστὰ μυστικῆς κακουργίας,
Καλεῖς μὲν ἡμᾶς εὐμενῶς πρὸς τὴν δίκην·

[1] Cod. Fl. LXXXII, 9 : Λογικὴν χύσιν.
[2] Cf. cod. Esc. CLXXXIV, 1.
[3] Cf. cod. Flor. CCXIII, 149.
[4] Leg. Ἐχρῆν γὰρ αὐτῷ.

Ἐπεὶ δὲ παρῆν δυσφοροῦν καὶ τὸ κνέφας,
Ὑφ' οὗ σκεπασθεὶς ὁ βροτόσχημος[1] δράκων
Σπειρηδὸν ἠρέθιζε τοῦ νοῦ τὸν δόλον,
Τὸ ψεῦδος εὐθὺς ἐξελαύνεις ὡς γνόφον,
Τὴν τῶν λόγων ἄῤῥητον αὐγὴν ἐγχέας·
Οὐκ ἦν γὰρ εἰκὸς τοὺς πλακέντας σοι κρότους,
Οὓς τῷ βίῳ προὔθηκα τοῦ γένους χάριν,
Τῶν συκοφαντῶν ἐκδοθῆναι τῷ φθόνῳ.
Ὦ πάντα μυχὸν καρδιῶν διατρέχων,
* Καὶ πᾶν ἀσαφὲς εὐφυῶς διαβλέπων!
Ὦ νοῦ πτερωτὲ καὶ Θεοῦ μέχρι φθάνων,
Καὶ πνεῦμα γοργὸν εἰς ῥοπὰς ἀποκρύφους!
Ὦ θαῦμα κοινὸν, ὦ μετὰ δίκην Σόλων,
Ἢ ζῶν στοχαστὰ Σολομῶν πρὸ τῆς δίκης,
Οὐκ ἐκ φυσικῶν οὐδὲ κοινῶν πραγμάτων
Σοῦ τὴν κρατίστην φύσιν ἐχρῆν με κρίνειν,
Ἀλλ' εἴπερ ἐξῆν ἀπὸ τῶν ὑπὲρ φύσιν·
Οὕτω γὰρ ἂν ἥρμοττε καὶ τὸ συγκρίνειν·
Ἐπεὶ δὲ κοινὸς ἐξ ἀνάγκης ὁ κρότος,
Ὕβριν ἐμοὶ τὸ πρᾶγμα σαφῶς ἂν ἔχοι
Μὴ τοῦτο παρὸν ἐγκαλεῖ μοι τὸ βρέτας·
Ἀλλ' εἴπερ εἰκὸς, ἐγκαλυπτέσθω τρέμον,
Εἰ σὺ, βασιλεῦ, συμπαθὴς ὢν τὴν φύσιν,

[1] Vox non invenitur in lexicis. Alias omnino, opinor, novas cum *βροτὸς* compositas addam : Βροτομήτωρ, Theodor. Prodr. *Not. mss.* t. VII, p. 255 : *Γαίης βροτομήτορος.* — Βροτοπρεπῶς, Anon. *De Jerusal.* v. 102, ap. Morel. *Exposit. Them.* p. 5. — Βροτοσύνη, Anon. cod. Par. 2616, s. v. Πίσυνος : Κερδοσύνη, *δρηστοσύνη, παλαισμοσύνη, καὶ πλακτοσύνη, τοξοσύνη, βροτοσύνη.* — Βροτοσώστης, Theodor. Prodr. cod. Paris. 396, p. 704 : *Χριστός μου βροτοσώστης.* — Βροτοφόνος, Meliten. v. 599 : *Καὶ χοιροπίθηκός τις ἦν, θηρίον βροτοφόρον* (leg. *βροτοφόνον*). — Φωτοβροτοχυσία, Theodor. Lascar. cod. Paris. 1193, fol. 68 v° : *Ἐκ τῆς ἄνωθεν φωτοβροτοχυσίας τῆς ἀρετῆς φωτιζόμενοι.*

Ἐμοὶ δικασΊὴς εὐμενέσΊατος γίνῃ·
Καινὸν γὰρ οὐδὲν εἰ τὸ φῶς λέγειν σκότος
Τῶν συκοφαντῶν ἐθρασύνθη τὸ σΊόμα.
Ἀλλ' ὦ ξένον ϖῦρ συρφετὸν ψεύδους φλέγον,
* Καὶ φῶς ϖονηρῶν ἐκδιῶκον ἑσπέραν,
Ἄρχοις ϖεριὼν καὶ δικάζοις εὐσΊόχως
Εἰς μακρὸν εἰς ἄπειρον εἰς ϖλεῖσΊον βίον,
Ὡς ἂν ὁ δεινὸς ἐξελέγχηται φθόνος,
Τοὺς σοὺς δὲ ϖισΊοὺς ἀκριϐῶς ἐκμανθάνοις,
Οἷς ἀέρος μᾶλλόν σε ϖαρέχεις ϖνέειν
Ἐκ τοῦ γλυκασμοῦ τῆς βοῆς καὶ τῆς θέας,
Ὧν ἄτερ αὐτὸς οὐδ' ἀναπνεῖν ἰσχύω·
Νῦν γὰρ θανατῶ ϖνευσΊιῶν ὡς ἐκ ϖνίγους,
Καὶ λειποθυμῶ ϖρὸς τὸ σὸν ϖνεῦμα βλέπων·
Εἰ μὴ δὲ τὴν κρίσιμον ἡμέραν δίδως,
Ἀναιρετικὴν τῆς κενῆς ἀῤῥωσΊίας,
Ὁ τῆς τελευτῆς οὐ βραδυνεῖ μοι χρόνος·
Πλὴν εἴγε μή σε τὴν ἀσύγκριτον φύσιν,
Τῶν Αὐσοναρχῶν τῶν σοφῶν τὸν βελτίω,
Κἀν τοῖς λόγοις τέθηπα κἀν τῇ καρδίᾳ,
Καὶ ϖάντα τῆς σῆς ἡδονῆς ἧτΊω κρίνων
Ἐγκωμιασῖὴς ὡς ἐφικτὸν εὑρέθην,
* Τὸ τῆς γεέννης ϖῦρ με κυκλῶσαν φλέγοι.

LVI. Τῷ ϖατριάρχῃ κυρῷ Νίφωνι, ὅτε ἐπέϐη τοῦ θρόνου τῆς ἐκκλησίας[1].

Ὦ φῶς διασπῶν τῆς ψυχῆς μου τὸ σκότος[2],

[1] Id est anno 1315. Conf. *Art de vérifier les dates*, patriarches de Constantinople.

[2] Idem versus infra v. 100. Cod. Esc. CXCI, 36 : Τὸ φῶς τὸ νικῶν τῆς ψυχῆς μου τὸ σκότος.

Ὡς φωσφόρος νέφος τι λεπ7ὸν ἐν θέρει,
Πόθεν προελθὸν εἰς ἀπόῤῥητον χύσιν
Πανηγυρικὴν ὀργανοῖς μεσημβρίαν;
Ὦ πῦρ ἀναφθὲν ἐξ ἀδήλων ἀνθράκων,
Καθὼς ὁ Δαβὶδ ζωγραφεῖ τοὺς ἀγγέλους
Εἰς ἀέρα χρωσθέντας ὀξυδορκίας,
Ποῖός σε λαβὼν εἰς πυράγραν[1] ἐλπίδων
Χαλκεὺς ἀγαθὸς ἐκ νεφῶν ἐπιβρέχει,
Ὡς ἂν ὀδυνῶν συρφετὸν πάντα φλέγῃς;
Ὦ πνεῦμα κινοῦν τὴν ἐμὴν γλῶτ7αν πάλιν,
Ἣ συνδιαπλεῖ τοῖς λαλοῦσιν ἱσ7ίοις,
Καθάπερ ὁλκὰς εἰς τὰ ῥεῖθρα[2] τῶν λόγων!
Ὦ τῶν ἐπὶ γῆς πατριῶν ἐπισ7άτα,
Καὶ τῶν λογικῶν ἀγελάρχα ποιμνίων,
Ὃς οἶδας ἡμᾶς πρὸς νομὰς διεξάγειν
Εἰς πάντα καιρὸν εὐθαλεῖς καὶ νοσ7ίμους,
* Καί τινα ῥυθμὸν πρακτικῆς μουσουργίας
Τῇ τῶν λόγων σύριγγι[3] πυκνῶς ἐγχέειν,
Πῶς ἀντὶ θηλῆς εὐτυχῶν τὴν καρδίαν,
Ἧς τοὺς πόρους ἤνοιξας ἀῤῥήτῳ ζέσει,
Θυμηδίας ἥδισ7ον ἀμέλγεις γάλα,
Ὡς ἂν ὁ τυρὸς εὑρεθῇ τῶν πραγμάτων
Παγεὶς μεταξὺ τῆς πυρᾶς τῶν ἐλπίδων;
Νῦν ὡς χελιδὼν τῇ βοῇ τῶν δογμάτων,
Περιλαλῶν τὸ βῆμα τῆς ἐκκλησίας,

[1] Figurate. Supra VI, 16 : Τῇ πυράγρᾳ τοῦ κράτους. Id. cod. Vat. XI, 20 : Τῇ πυράγρᾳ τῆς δίκης. Codex Escur. CCVI, 8 : Ἐκ πυράγρας ἀργύρου. Pisid. *Hexaem.* 1896 : Χάλκευσον αὐτοῖς ἠκονισμένα (al. ἠκονημένα) ξίφη, Τὸ πῦρ νοητῆς ἐκ πυράγρας ἁρπάσας, Τὸ τοῦ Θεοῦ (fort. add. σοι) πνεῦμα πρὸς φυσῶν ἔχων. Leg. ex cod. Paris. 854, προσφυσοῦν.

[2] Conf. cod. Flor. CI, 18.

[3] Supra XL, 7.

Σωτηρίας ἅπασι δεικνύεις ἔαρ[1]·
Οἰχήσεται γὰρ ὁ κρυμὸς τῶν σχισμάτων
Ἐξηλιωθεὶς τῇ καθ' ἡμᾶς αἰθρίᾳ.
Νῦν ὡς γεωργὸς ἐκ σπορᾶς διδαγμάτων,
Σκιρτῶν ἐφ' ἡμῖν ἀρετῶν δρέψῃ σΊάχυν[2].
Καὶ γὰρ πιανεῖς τῇ βροχῇ τῶν δακρύων
Ὡς αὔλακας γῆς τὰς ψυχὰς τοῦ ποιμνίου·
Ποίων ἀκανθῶν ἐμπεφύτευκας ῥόδον
Τοῖς ἐκ λύπης δήπουθεν ὠχριακόσιν,
* Αὐτὸς καθαρῶς πυρπολήσας τὰς βάτους,
Ὑφ' ὧν ὁ κοινὸς ἀμπελὼν[3] τῶν πραγμάτων
Εἰρηνικῶν ἔρημος ἦν ἂν βοτρύων,
Εἰ μὴ βασιλεὺς τῆς φυῆς πεφυρμένης
Εὑρὼν τὸ χερσοῦν τῆς λαβῆς ἀνέσπασεν!
Ἐξ ἑσπέρας φῶς εἶδε καινὸν ἡ κτίσις,
Καὶ σωσΊικὸν ζέφυρον ἐκ τρικυμίας,
Καὶ ῥοῦν ἀγαθὸν ἐξ ἀμέτρων δακρύων·
Εἰ μὴ δὲ τὴν γῆν εὐφυῶς παρεκράτεις,
Μήπως νομισθῇ δυσμενὴς ἐκ τοῦ κλόνου,
Σκιρτήμασιν ἂν τὴν χαρὰν ἐπεκρότει.
Ὦ πῶς νεαρὸν ἐκ παλαιοῦ δεικνύεις
Τὸν εὐγενῆ λειμῶνα τοῦ σοῦ δεσπότου!
Τοῖς γὰρ κατασΊήμασι τῆς εὐταξίας
Φυτηκομεῖς[4] τὰ δένδρα τῆς ἐκκλησίας,

[1] Ephræm. *Chronic.* 383 : Γελᾷ δ' ἔαρ ἥσυχον ὀρθοδοξίας. Id. 486 : Ἔαρ γαληνὸν, ὀρθοδοξίας φάος.

[2] Figurate. Supra VI, 8 : Ὁ σΊάχυς τῶν ἐλπίδων. Infra LIX, 49 : Χάριτος σΊάχυν. Codex Florent. VI, 1 : Στάχυς καλῶν.

[3] Infra CVI, 1 : Ὁ τῶν φυσικῶν ἀμπελῶν χαρισμάτων. Cod. Flor. XX, 3 : Τὸν ἀμπελῶνα τῆς ἐκκλησίας. Pisid. *Hexaem.* 1726 : Τὸν ἀμπελῶνα τῶν σοφῶν σου κτισμάτων.

[4] Supra LII, 10 : Φυτηκομῶν τὸν κῆπον ἐκ χρυσαργύρου.

Οἷος μελισσῶν ἐκραγεὶς ποθὲν βίᾳ
Τῶν σῶν ἀγαθῶν ὑποβομβεῖ τὰς πόας,
Τὸ πρακτικὸν σίμβλον σε τῶν λόγων ἔχων,
Καὶ δημιουργῶν ἡδονῆς μέλι[1] ξένης.
Χῆραι κροτεῖτε χεῖρας ὀρφανοῖς ἅμα,
Καὶ παρθένοι τέρπεσθε καὶ χορεύετε·
Ἐφίσταται γὰρ τῆς Θεοῦ δόξης χάριν
Κοινὸς προμηθεὺς καὶ πατὴρ καὶ προστάτης,
Καὶ νυμφαγωγὸς καὶ βραβεὺς τῶν ἐν βίῳ.
Οὐ δεῖ με πεινῆν, ὁ τροφεὺς γὰρ ἐγγύθεν·
Οὐ χρή με διψῆν, ὁ κρατὴρ γὰρ ἐνθάδε·
Ἀλλ' οὐδὲ ῥιγοῦν, εὐτρεπὴς γὰρ ἡ σκέπη.
Ποίας νόσου φάρμακον οὐκ ἄν τις λάβοι,
Παρὼν, θεωρῶν, συλλαλῶν σοι, δέσποτα,
Μὴ τῆς Ἀερμὼν[2] ψαλμικῶς χρῄζω δρόσου,
Τῆς σῆς λαλιᾶς ἐκροφῶν τὰς ἰκμάδας!
Ἐξ οὐρανῶν σε δῶρον ἡ γῆ λαμβάνει,
Καθάπερ ἢ φῶς ἐξ ἑωσφόρου ζέον,
Ἢ δραστικὴν δύναμιν ὀρθρίας δρόσου,
Ἐξ ὧν ὁ καρπὸς ὀργανοῦται τῆς χλόης·
Καὶ Μῶμος αὐτὸς εἰ παρὼν ἔβλεψέ σε,
Ἄμεμπτε πατριάρχα τῆς οἰκουμένης,
Οὐκ ἔσχεν οὐδὲν εἰς λαβὴν ἄν σοι ψόγου.
Ἀλλ', ὦ Γαληνὲ μυστικῆς καχεξίας,
Καὶ γὰρ ἐνεγκεῖν τὰς ἐμὰς ἦλθες νόσους,
Χριστοῦ μιμητὴς ἀκριβὴς δεδειγμένος,
Γενοῦ μεθ' ἡμῶν, καὶ πεσεῖται πᾶς πόνος·
Τὴν γὰρ ἐν ἀκμῇ συντριβὴν τῶν ὀστέων

[1] Codex Escurialensis, CCXLVIII, 3: Ἀφεὶς πρὸς ὑγρὸν ἡδονῆς χαίνειν μέλι. Ἡδονῆς τρυγᾷς μέλι. Et mox CCXLIX, 1:

[2] Psalm. CXXXII, 3.

Πῶς ἂν ἔτι δύναιτο σὰρξ ἔμπνους Φέρειν;
Ναὶ σῖῆσον ἡμῖν τὴν Φορὰν τῶν δακρύων,
Καὶ τοὺς ὀδυρμοὺς τῆς ψυχῆς τοὺς ἐκτόπους·
Νῦν ὡς ὁ Μωσῆς ὑποδὺς θεῖον γνόφον
Βασιλικῆς μοι λάβε συγγνώμης πλάκας·
Ἀεὶ γὰρ αὐτῷ μυστικῶς ἐντυγχάνεις,
Ὡς δημαγωγὸς Ἰσραὴλ τοῦ δευτέρου·
Ποιμαντικὴν δὲ ῥάβδον εἰς χεῖρας Φέρων
Τὴν ἁλμυράν μοι τέμνε τῶν παθῶν χύσιν·
Χρὴ γὰρ διελθεῖν τὸν βαρὺν πλοῦν ἀβρόχως[1],
* Ἂν ὑπὲρ ἡμῶν θαυματουργεῖν ἰσχύης·
Ἐγὼ δὲ τερφθεὶς ἐκ Φυγῆς ἀκινδύνου
Τῷ τῆς ψυχῆς μέλψω σε μικροῦ τυμπάνῳ,
Χοροῦ συνισῖῶν δακτυλόπλοκον[2] μέλος·
Δεῖξον δὲ τὴν γῆν ἣν ἐπηγγείλατό μοι
Θεοῦ[3] βασιλεὺς ὡς τρυφῆς δώσειν τόπον·

[1] Cod. Vatic. xxxviii, 8 : Κρεμασθὲν ἀβρόχως ἐφ' ὑδάτων. German. Cpolit. cod. Coislin. 278, fol. 188 r° : Καὶ ἐς Κυνόσαργες οἴχεσθαι ἀβρόχως. Vita S. Joannicii, cod. Paris. 1481, fol. 36 r° : Ἐπιβαίνει τε ἀβρόχως τῷ ὕδατι, καὶ εἰς τὴν ἀντιπέρας ἤπειρον διαβαίνει. Niceph. Callist. Xanthop. codex Paris. 1585, fol. 311 v° : Ἐλισσαῖός ποτε ὁ προφήτης τῇ μηλωτῇ Ἡλιοὺ τὸν Ἰορδάνην ἀβρόχως ἐπέρασεν.

[2] Hac voce augenda lexica. Supra li, 10 : Σειρὰν δακτυλόπλοκον. Alias voces cum δάκτυλος compositas et novas omnino adjungam : Δακτυλαπῖέω, Theod. Stud. codex Paris. 891, fol. 111 v° : Ἔργον σοι ἐσῖὶ τῷ δράκοντι χειραφεῖν καὶ δακτυλαπῖεῖν. — Δακτυλοδείκτημα, Jo. Tzetz. cod. Paris. 2644 : Παρὸ δ. καὶ Τρώων πάντων ὕβρις. — Δακτυλοδεικτῶς, Christophor. *Menolog.* cod. Paris. 1578, p. 348 : Δεικνύουσα τοῖς Φίλοις δακτυλοδεικτῶς καὶ μύσους ὡς ἐργάτην. — Δακτυλοειδῶς, Greg. Nyss. cod. Par. 1199, fol. 199 r°. — Δακτυλοθεσία, Theodor. Trimith. de Jo. Chrys. ap. Mai, *Patr. Nov. Bibl.* t. VI, p. 270 : Οὐδ' ἡ μαγικὴ πλάνη τῇ δακτυλοθεσίᾳ τοῦ Θεοῦ ἀντιπράτῖῃ. — Δακτυλοκρατέω, codex Paris. 2239, fol. 148 r°. — Δακτυλομετρέω, Anon. in Aristot. cod. Paris. 1832, fol. 268 v° : Καὶ ταῦτα εἶναι τὰ δακτυλομετρούμενα.

[3] Fort. leg. θεός.

Θρέψον δὲ καὶ μέλιτι καὶ γάλακτί με·
Τὴν ἄφθονον γὰρ τοῦ Θεοῦ πλουτεῖς χάριν,
Διεξαγωγεῦ[1] καὶ τροφεῦ καὶ προστάτα.
Πλὴν ζῆθι μακρὸν καὶ τρισόλβιον βίον,
Ὡς ἂν τὸ κοινὸν συμπαθῶς διεξάγοις,
Ὦ φῶς διασπῶν τῆς ψυχῆς μου τὸ σκότος[2].

LVII. Πρὸς τὸν θαυμάσιον ἐκεῖνον πρωτοστράτορα τὸν Γλαβᾶν[3], ὅτε ἀπὸ τῆς Πόλεως ἐξήρχετο ἐπὶ τὴν Ἀδριανούπολιν διαπόντιος.

Τί δῆτα ποιεῖς; καὶ τὸ φῶς ἐμοὶ σκότος,
Κἂν οὐκ ἐφικτὸν συμβαλεῖν τἀναντία.
Τί τοῦτο καὶ πῶς; οὐδὲ γὰρ ἔχω κρίνειν,
Ἐξασθενούσης τῇ λύπῃ τῆς φύσεως.
Τίς πραγμάτων θάλψει με ῥιγοῦντα ζέσει,
Σοῦ τοῦ λογικοῦ καὶ στρατάρχου φωσφόρου
* Εἰς δίφρον ὀξὺν ἐκδρομῆς ἡρπαγμένου;
Τίς ἄρα χειμὼν εἰσρυεὶς πρὸ τοῦ κρύους
Δεινὴν καθ' ἡμῶν τὴν φρίκην ἐργάζεται;
Πῶς τῶν λογισμῶν καρτερήσω τὴν ζάλην[4]
Μὴ τῆς γαληνῆς εὐπορῶν σῆς αἰθρίας;
Τίς πῦρ μαρανεῖ συμφορῶν ἀποκρύφων
Πολυτρόπου χάριτος ἐγχέας δρόσον[5];
Τίς ἕλκος οἰδοῦν ἀμβλυνεῖ στεναγμάτων
Εὐσπλαγχνίας ἔμπλαστρον ἐνθεὶς τῷ ξένῳ;
Τίς τὸν πνιγηρὸν τῆς ἐμῆς πνοῆς πόρον
Εὐεργεσιῶν ἐκτενεῖ χειρουργίᾳ[6];

[1] Cf. cod. Flor. CCXII, 1.
[2] Idem versus supra v, 1.
[3] Cf. Lebeau, *Hist. du Bas-Empire*, vol. XI, p. 68.
[4] Cf. supra v, 10.
[5] Cod. Esc. CCXI, 6 : Λιπαίνεται δὲ τῇ δρόσῳ τῆς χάριτος.
[6] Cf. cod. Flor. XLIII, 27.

Τίς σῆψιν εὑρὼν εἰς νομὴν ὀλεθρίαν
Ξυρῷ τὸ λυποῦν μυστικῷ περιζέσει[1];
Τίς ὅρμος ἡμῖν δυσπλοοῦσιν ἐν βίῳ;
Πῶς ὄψεται φῶς ὁ στερηθεὶς ὀμμάτων;
Πῶς φθέγξεται ζῶν ὁ ψυχῆς δίχα πνέων;
Ὢ πῶς μεριμνῶν ἐμβαλών μοι φορτίδα
Πλωτὴν σεαυτῷ τεκτονεύεις πορθμίδα[2];
Πλὴν χαῖρέ μοι, φῶς καὶ πνοὴ καὶ καρδία,
Καὶ νοῦ στρατηγὲ καὶ Θεοῦ στεφανίτα,
Καὶ τοὺς δυτικοὺς ὑπεναντίους νίκα,
Πρηστῆρσιν[3] εὐθὺς γνωστικοῖς ὑπερζέσας·
Ἐπεὶ κατ' αὐτῶν καὶ τὸν ἔμπροσθεν χρόνον
Ἀνῆπτες ὀργῆς δραστικοὺς πυρεκβόλους[4],
Ἱδρῶσιν ἡμᾶς τακτικοῖς ἀναψύχων.
Ὢ νύκτες ἡμῖν ἡμερῶν βελτίονες!
Ἡσθήσομαι γὰρ τῇ καθ' ὕπνους ἐμφάσει
Παρόντα μικροῦ καὶ λαλοῦντά σε βλέπων,
Εἴ πως ὁ νοῦς χρώματα κιρνῶν πραγμάτων
Σκιὰς ἀμυδρὰς ὀργανοῖ φαντασμάτων.
Ὦ σκάφος, ὦ ζέφυρος, ὦ πλοῦς αἰθρίας,
Ὑφ' ὧν προπεμφθεὶς ἐξελεύσῃ πρὸς δύσιν!
Ὦ κυμάτων χάριτες, ὦ πλῆρες βάθος,
Οἷον λόγων ὄψεσθε καὶ φρενῶν βάθος!
Οἱ λιμένες τὸν ὅρμον εἰσδέχεσθέ μου
Καὶ τοῖς ἑαυτῶν δεξιοῦσθε προσφόροις.

[1] Leg. περιξέσει.

[2] Cf. cod. Esc. cxci, 62 et 63.

[3] Cod. πρηστῆσιν, et ex correctione πρηστῆρσιν.

[4] Conf. Append. x, 97. Neophytus presbyt. in Jo. Chrysost. cod. Par. 1189, fol. 153 r° : Τί συνάψειε σπινθὴρ πυρεκβόλιος (fort. πυρεκβόλος). Unde πυρεκβόλησις, ap. German. Cpol. cod. Coisl. 278, fol. 218 v° : Οὐδὲ τῆς αἰθερίου κατὰ τῶν ἀνθρώπων πυρεκβολήσεως. Quæ vox *Thesauro* addenda.

Ἀκταὶ δέ μοι τέρπεσθε καὶ πάντες πάγοι·
Καιρὸς γὰρ ἀθρεῖν εἰς λινόπτερον[1] σκάφος
Τὸν τὰς φύσεις θέλγοντα καὶ τῶν ἀψύχων·
Ἐβουλόμην ἔγωγε καὶ πίτυς μένειν,
Ὡς ἂν καθ' ὑγρῶν τῇ τριήρει συντρέχων
Κἀγὼ τοσοῦτον ὄλβον ἐγγύθεν βλέπω.
Ὅταν δὲ τὴν ἤπειρον ἱππότης τρίβοι,
Νάπαι τε καὶ φάραγγες εὐφραίνεσθέ μοι·
Ἐγὼ δὲ πικρῶς ἀπολειφθεὶς δακρύω,
Καὶ ζῶν τραγῳδῶ τῆς ψυχῆς μου τοὺς πόνους.
Οἱ δυσμενεῖς πλήττεσθε καὶ πρὸ τοῦ ξίφους,
Ἐπεὶ βασιλεὺς τὸν στρατάρχην τὸν μέγαν
Ῥιπτεῖ καθ' ὑμῶν ὡς ὑπόπτερον[2] βέλος·
Ἡ δὲ στρατιὰ καὶ πρὸ τῆς μάχης νίκα
Σοφοῦ στρατηγοῦ δεξιᾷ πεφραγμένη·
Προκλητικὸν[3] σάλπιγγος εὐήχου στόμα,
Παιᾶσι πυκνοῖς τὸν στρατὸν περικρότει·
Καὶ σκῆπτρον ἀνδρὸς ἐκνικᾶν εἰθισμένου
Δεῖξον κομισθὲν εὐτυχῶς τοῖς ὁπλίταις
Πρὸ τῶν σκύλων[4] τὸν πέπλον ἠνεμωμένον.
Φάλαρα μὴ κτυπεῖτε, σιγᾶτε στίφη·
Οὐ γὰρ θορυβεῖν, ἀλλὰ συντεταγμένως[5]

[1] Vox nota ex Æschyli *Prom.* 468.

[2] Theod. Hyrtac. *Ep.* 87, p. 43 : Πτερωτὰ βέλη. Conf. Pisid. *Hexaem.* 1894.

[3] Vox nova προκλήτωρ invenitur ap. Tzetz. *Epist.* 3, p. 4 : Οὐ γὰρ ὑπὸ κήρυκός τινος ἢ προκλήτορος δεῖ τοὺς φιλοῦντας πρὸς τοὺς φίλους εἰσέρχεσθαι.

[4] Hæc quidem non sibi constant. Hic lacunam esse et præteritos aliquot versus persuasum habeo.

[5] Hoc adverbio, quo carent lexica, utuntur S. Epiphan. *Opp.* t. II, p. 130, et Leontius, ap. Mai, *Spicil. Rom.* t. X, p. 28 secundæ partis. Magnam turbam ejusmodi adverbiorum, omnino lexicographis indictorum, congregavi : Βεβλαμμένως, Meletius, *De homine*, p. 88, 19. — Βεβυσμένως, πεπραγμένως, Cyrill. Lexic. Mss. — Γεγαννυμένως, Cosmas, in *Spicil. Rom.* t. II, p. 223.

Χωρεῖν κατ' ἐχθρῶν ὁ σΊρατάρχης Ֆεσπίσας
Αὐτὸς τὰ δεινὰ συλλέγει βουλεύματα,
Ὡς ἂν ὑπ' αὐτῷ τῶν Φρενῶν τῷ δικτύῳ
Τοὺς δυσμενεῖς ϖόῤῥωθεν ἐγκλείσας λάθοι,
Καὶ μή τις αὐτῶν τὴν βολὴν διεκΦύγοι
Λαϐὼν ἴσως αἴσθησιν ἀρθέντος κτύπου.
Νῖκαι ϖροπομποὶ δεῦτε Φαιδρύνεσθέ μοι,
Γίγαντα λαμπρὸν εὐτυχοῦσαι νυμΦίον
Πρὸς ἑσπερινὰς εὐδρομοῦντα ϖασΊάδας.

Δεδιδαγμένως, Tzetz. in *Il.* T, 28. — Δεδοξασμένως, Jacob. Monach. cod. Par. 1208, fol. 216 r° : Ἄπιθι δεδοξασμένως ἡ δόξα τῆς ἀνθρωπότητος. — Ἐγκεκριμένως, Theod. Stud. p. 724 E. — Ἐνσῖερνισμένως (leg. ἐνεσῖ.), Theodor. Stud. p. 529 C. — Ἐξῳκισμένως, Cyrill. Alex. t. IV, p. 460 A. — Ἐρηρεισμένως, Theod. Stud. p. 707 C. — Ἐῤῥᾳθυμημένως, Elias Cret. in Jo. Clim. cod. Coisl. 87, fol. 144 v° : Καὶ μάλισῖα οἱ κατὰ ταύτην τὴν ὥραν ἐῤῥ. διάγοντες. — Εὐδιειλημμένως, Ptolem. *De judic.*; sed fort. leg. εὖ διειλ. — ἘΦεπομένως, S. Maxim. *Cap. theol.* v, 79. — Ηὐτοματισμένως, Procli *Opp.* t. V, p. 78. — Κατακεχαρισμένως, *Cat. in Ep. ad Ephes.* p. 112 ed. Cramer. — Κατεσκιασμένως, Cyrill. Al. *Opp.* t. I, p. 265 C; t. III, p. 539 A; S. Procl. Cpol. p. 649. — ΚατεσΊοχασμένως, Maxim. in Gregor. Theol. p. 32. — Κατηρτισμένως, Theod. Stud. p. 655 C. — Λελαμπρυσμένως, Germ. Cpol. cod. Coisl. 278, 109 r° : Κοσμίως δὲ καὶ λελαμπρυσμένως καὶ τοῦ καλοῦντος ἀξίως. — Περιεζωσμένως, Isid. Pel. I, 9. — ΠεΦαντασμένως, Diadochus Photic. cod. Paris. 362, fol. 166 r° : ΠεΦαντασμένως διυπνίζει τὸ σῶμα. Elias Cret. in Jo. Climac. codex Coislin. 87, fol. 228 v° : Καὶ τὸ μὴ ϖεΦ. τὸ μὴ καλὸν ὡς καλὸν ἐργάζεσθαι. — Προδιωρισμένως, S. Maxim. in Greg. Theol. p. 17. — Προσεχομένως, Soranus, pag. 2. Ἐχομένως afferunt lexica. — Συνεσπαρμένως, Procl. in Tim. pag. 46. Notum ἐσπαρμένως ex Hesychio. — Συνηγμένως (fort. συνημμένως), Martyr. SS. Probi, Tarachi et Andronici, cod. Par. 1512, fol. 89 v° : Ἀμελλητὶ καὶ συνηγμένως ϖάντα εἰπών. — Συντεταμένως, Steph. Philos. in Hippocrat. in *Spicileg. Rom.* t. V, p. 154. Philemon Abbas, codex Par. 1372, fol. 173 v° : Λέγων Κύριε ἐλέησον, συντεταμένως οὕτως. — Τεθαῤῥημένως, Eustath. in Jo. Damasc. in *Spicileg. Rom.* t. V, p. 302 : Τὸ ϖάνυ ἀσῖείως λεχθὲν καὶ τεθ. ἐπὶ σωτῆρος ΧρισΊοῦ. — Τεθεραπευμένως, id. *ibid.* p. 223 : Ἀλλὰ τεθεραπευμένως λαχούσας λαλεῖν. — Τετρανωμένως, Leont. *Spicil. Rom.* t. X, 127. — Ὑποκεκριμένως, Sisinnius Cpol. cod. Par. 501, fol. 78 r° : Θωπευτικῶς ϖως καὶ ὑποκεκριμένως.

Τίς, ὦ στρατηγὲ, καὶ Γλαβᾶν κέκληκέ σε;
Σημαίνεται γὰρ ἡ κεφαλὴ[1] τῇ φράσει,
Καθ' ἣν ἀτεχνῶς τὸ φρονεῖν ἄν τις φέροι·
Ὡς καὶ στεφανίτην σε τυγχάνειν φύσει,
Καὶ ζῆν παρ' αὐταῖς εὐπραγοῦντα ταῖς νίκαις.
* Τίς οὖν ἀποχρῶν μηχανῆς ἐμοὶ πόρος
Ἔνοπλον ἀλκὴν ἀνθελέσθαι τῶν λόγων,
Καὶ παρομαρτεῖν καὶ τὸ σὸν κάλλος βλέπειν,
Ὃ χαρίτων ἔγραψε πυκνὴ λεπτότης;
Ἀλλ', ὦ στρατιᾶς ἀνδρικῆς ἐπιστάτα,
Σὺ μὲν κατ' ἐχθρῶν ἐξιὼν πρὸς ἑσπέραν
Αἵμασι τὴν σὴν τμητικὴν βάπτε σπάθην,
Καὶ γράφε σαυτὸν ἐκ φρενῶν ἀριστέα,
Καὶ τοῖς βασιλεύουσι τὰς πόλεις δίδου,
Ἃς εἷλεν ὡς κλὼψ ὁ στρατὸς τῶν βαρβάρων·
Ἡ γὰρ τυραννὶς ἀδρανὴς πρὸς τὸ κράτος·
Καὶ ζῆθι καλῶς, καὶ στρατήγει ταῖς νίκαις,
Καὶ τῶν ὀδυνῶν ἐγκρατέστερος γίνου·
Μᾶλλον δὲ καὶ σκύλευε καὶ ταύτας νίκα,
Καὶ μέχρι μακρῶν εὐκλεὴς μένε χρόνων.
Ἐγὼ δὲ τὸν σὸν ἐκπλαγεὶς πάλαι τρόπον,
Καὶ θαυμάσας τὴν φύσιν ὡς ὑπὲρ φύσιν,
Τῷ τῶν κρότων κώδωνι λαμπρῶς ἐκφράσω·
* Τὰς γὰρ πύλας[2] ἤνοιξας ἡμῖν τῶν λόγων,
Εὐεργεσιῶν ἐντινάξας μοχλία[3],
Ἡ ποῦ θεμιτὸν μὴ γραφῆναι τὸν μέγαν
Τοῖς τοῦ χρόνου πίναξιν εἰκόνος δίκην,
Ἥλιε καὶ γῆ, καὶ σχολὴ καὶ βιβλία;

[1] Lingua russica.
[2] Cf. Psalm. cxvii, 19.
[3] Cod. Flor. cxxxv, 7 : Ἡσυχίας ἄδηλα πηγνὺς μοχλία.

LVIII. Πρὸς τὸν αὐτοκράτορα, ὅτε ὁ θάνατος ἀπηγγέλη τῆς αὐτοῦ γυναικός.

Ἐγὼ, βασιλεῦ, τὸν μὲν ἔμπροσθεν χρόνον
Πικρῶς διαζῶν εὐγενῶς ἐκαρτέρουν·
Τῆς γὰρ νόσου φάρμακον ἐπλούτουν μέγα,
Τὴν ἐν βίῳ σύνοικον ἐσκευασμένην
Ἐκ τοῦ γαληνοῦ τεχνίτου τῆς φύσεως·
Οὕτω δ' ἐκεῖνο δραστικὴν εἶχε κρᾶσιν,
Ὡς καὶ μόνον πόῤῥωθεν εἰς νοῦν ἠγμένον
Πολλὰς ὀδυνῶν φλεγμονὰς[1] ἀνατρέπειν·
Οὐκ ἦν γὰρ εἰκὸς τοῦ θεοῦ τῷ φαρμάκῳ
Μὴ συγκραθῆναί τινα καὶ ξένην χάριν·
Νυνὶ δὲ τί δρῶ, τί δὲ καὶ πάσχω πλέον
Ἄλγος κεφαλῆς καὶ μελῶν ἅμα κλόνον,
Καὶ καρδίας οἴδημα[2] καὶ ψυχῆς πόνον,
Αἴφνης ῥυέντος ὑπὸ γῆν τοῦ φαρμάκου
Πρὸς κόνδυ πικρῶν συμφορῶν καχεξίας,
Ὃ καὶ μέθην τίθησιν εὐθὺς τὴν πόσιν
Τοῖς δυσκαθέκτοις[3] ἀκριβῶς μικροψύχοις,
Εἰς ἐξερασμοὺς[4] γνωστικῶν σπαραγμάτων;
Τίς οὖν παρών μοι συγγενὴς ἐπὶ ξένης,
Ἢ φίλος ἢ γνώριμος ἢ παῖς ἢ ξένος
Σβέσει τὸ πένθος καὶ τὸ πῦρ τῶν ἐγκάτων,
Ὥσπερ σιδηροῖς ἐγκοπεῦσι τοῖς πόνοις
Ἀναστομωθεὶς ἐκ φλεβῶν ἀποκρύφων
Εἰς δακρύων ψύχουσαν ἔσθ' ὅτε δρόσον;

[1] Conf. cod. Flor. II, 81.

[2] Cf. infra LXI, 62.

[3] Supra IX, 30 : Ἵππων δὲ δυσκάθεκτα χαυνῶσαι θράση. Gregor. Naz. Opp. t. II, p. 2 B, et p. 678 B nov. ed.

[4] Conf. cod. Flor. XXV, 8.

Ἢ μάκτρον εὑρὼν εἰς λαβὴν τοῦ δακρύειν,
Ἢ καὶ συναλγεῖν ἐκβιάζων τὴν φύσιν,
Ἢ ῥοῦν ἀποψῶν ἁλμυρᾶς ἐπομβρίας,
Καὶ ταῖς γνάθοις ἔρευθος ἐγγράφων ζέον,
Καὶ δραματουργῶν ἐξεπίτηδες γόον,
Πείσει πρὸ καιροῦ μετριάζειν τὴν λύπην;
Εἰ γὰρ ὁ φιλάνθρωπος Αὐσονοκράτωρ,
* Ὃν ἔσχον ἁπλῶς ἀντὶ πάντων ἐν βίῳ,
Ἡ συμπαθῶς ἔχουσα πρὸς πάντας φύσις,
Ὁ Χρισῖὸς αὐτὸς, ὡς τὸ πᾶν οὕτω φράσω,
Κἂν ἀγανακτῶν δυσφορῆς πρὸς τὸν λόγον,
Παρῆκας ἡμᾶς πυρπολεῖσθαι τοῖς πόνοις
Τὴν ἐκ λόγων ψύχουσαν ἐγκλείσας δρόσον·
Σχολῇ γ' ἂν ἐλθὼν ἐν προθύροις ὁ ξένος
Τὴν τῆς λύπης ἤνεγκεν ἠρέμα ζέσιν,
Ὡς ἂν ὁ πενθῶν μετριώτερον σῖέγοι·
Τούτοις ἐμαυτὸν φαρμακεύσω τοῖς λόγοις,
Νοσῶν ἰατρὸς εὑρεθεὶς ἀντισῖρόφως·
Ἡ γὰρ φύσις πόριμος ἐν περισῖάσει
Καὶ πρὸς τὰ συντείνοντα πρακτικωτάτη·
Πλὴν εἴ τις ἡμῖν ἐγκαλεῖν σφύζοι θράσος,
Πολλοὶ γὰρ οἱ κρίνοντες ἐξ ἀσπλαγχνίας,
Αὐτὸς παρευθὺς ἀντιτάξεις τὸν πόθον,
Ὑφ' οὗ νικηθεὶς οὐχ ὑπέσχον τὸν λόγον·
Ἐγὼ δὲ τὴν σὴν ἀντιφάρμακον κρίσιν
* Πρὸς τοὺς πόνους ἔμπλασῖρον[1] εὑρεῖν ἰσχύω.
Κἂν γὰρ ἀθυμῶ, κἂν δυσαίσθητος[2] μένω,
Κἂν εἰς λίθου πώρωσιν ἢ ξύλου φύσιν

[1] Conf. cod. Esc. xc, 5.
[2] Conf. infra xciii, 6; cod. Escur. ccxiii, 202; et codex Florent. cxcviii, 60.

Ἐν ταῖς πρὸς ἀκμὴν συμφοραῖς ἐξετράπην,
Ἀλλ' εἴς γε τὸν κράτισΊον αὐτάνακτά μου,
Τὸ φῶς τὸ κοινὸν, τὴν τρυφὴν τῶν Αὐσόνων,
Αἰσθάνομαι ζῶν ἐκ φθορᾶς ἀποσΊρόφου,
Καὶ γίνομαι νοῦς ἐμβαθύνων[1] τοῖς πρόσω·
Ποῖον γὰρ οὐκ ἤνεγκα σὴν χάριν πόνον
Εἰς ξηρὰν, εἰς θάλασσαν, εἰς ἀλλοτρίαν,
Εἰς λιμὸν, εἰς κίνδυνον, εἰς περισΊάσεις,
Εἰς ἀλλοφύλους, εἰς φονεῖς πολυτρόπους,
Εἰς τόξα πυκνὰ καὶ βελῶν περικλάσεις[2],
Εἰς ἀγρίας φάραγγας, εἰς τραχεῖς τόπους,
Εἰς ἄξυλον γῆν, εἰς περίξυλον[3] λόφον,
Εἰς ὑδάτων ἔρημον οὐχ ἅπαξ τρίβον,
Εἰς θῆρας ὀξεῖς, εἰς ἀνίκμους σκορπίους,
Εἰς νιφετούς τε καὶ κρυμοὺς ὀλεθρίους,
* Εἰς ἡλιακὰς ἐν μεσημβρίᾳ ζέσεις,
Εἰς ἀκρατεῖς λαίλαπας, εἰς ἐπομβρίας,
Εἰς Πέρσας, εἰς Ἄραβας, εἰς πΊηνοὺς[4] Σκύθας,
Εἰς βαρβάρων δύναμιν, εἰς Ἰνδῶν θράσος,
Τὰ παντοδαπὰ δυσχερῆ τῆς Περσίδος;
Ἐξ ὧνπερ οὐδὲν ἄλλο κερδάνας ἔχω
Ἢ τὰς ὀφειλὰς καὶ τὰς ἐντεῦθεν δίκας,
Καὶ τὰς μεταξὺ τῶν δανεισΊῶν ἐνσΊάσεις,
Καὶ τὰς περιτΊὰς τῶν Σκυθῶν κακουργίας·
Τούτοις ἐμαυτὸν ὀργανώσας τοῖς πόνοις,
Ἔτι δυσηχεῖς[5] φθέγγομαι τραγῳδίας·

[1] German. Cpol. cod. Coislin. 278, fol. 206 r°; et codex Parisinus, 1302, fol. 292 v°.

[2] *De animal.* vs. 1477 : Εἰς τὰς ἀραιὰς τοῦ κενοῦ περικλάσεις.

[3] Vox addenda lexicis.

[4] Supra II, 3 : ΤαυροσκύθαςὑποπΊέρους.

[5] Supra XL, 11 : Οὐδὲν δυσηχὲς οὐδ' ἀσύμφωνον φέρων. German. Cpol. cod.

Καὶ μὴν τίς ἂν γένοιτο μουσικώτερος,
Εἰ φθόγγον αὐχῶν φιλοδέσποτον[1] πάλαι,
Καὶ καρδίαν εὔρυθμον ἀντὶ μαγάδος,
Καὶ πλῆκτρον ὀξὺ μυστικῆς μουσουργίας,
Καὶ νευρὰν ἀπρόσπλαιστον ἐκ τῶν ἐλπίδων,
Πανηγυρικοῖς τισιν ὑμνῶ σε κρότοις,
Τὸν χρηστὸν αὐτάνακτα, τὴν καινὴν φύσιν,
* Ὑφ' ἧς ὁ ῥυθμὸς ὀργανωθεὶς τοῦ κράτους
Ἄδει πρὸς ἡμᾶς εὐκλεοῦς τύχης μέλη;
Νῦν οὖν, βασιλεῦ, νῦν δυσωπήθητί μοι
Τοὺς καὶ πρὸ μακροῦ καὶ πρὸ μικροῦ καμάτους,
Καὶ δεῖξον ὡς χρὴ δεξιοῦσθαι καὶ τρέφειν
Ἄνδρα προχειρότατον εἰς λειτουργίαν,
Πρέσβιν προθυμότατον εἰς ἀλλοτρίαν,
Θαῤῥῶ λέγειν μάλιστα καὶ νοῦν ἐργάτην,
Πυκνῶν λογισμῶν τῷ σκοπῷ συνειρμένων,
Δοῦλον θανόντα πολλαχῆ τῆς Περσίδος,
Καὶ σὴν χάριν πνέοντα νεκρὸν ἐνθάδε.
Ποῦ[2] γὰρ θεμιτὸν εἰς κενὸν τρέχειν ἔτι,
Σοῦ Χριστὸν ὡς δύναμις ἐκμιμουμένου,
Τὸν τοῖς πόνοις ἔπαθλα συντεθεικότα;
Πλὴν εἴγε μηδὲν συντελεῖν εἶχον τάχα
(Καὶ γὰρ λέγειν δίδωμι τοῖς αἱρουμένοις,
Καὶ γνοὺς τἀληθὲς οὐ κακίζω τὴν κρίσιν),
* Ἔδειξας ἂν μάλιστα τὴν εὐσπλαγχνίαν,
Τοῖς μὲν πρὸς ὀργὴν ἀντιτάξας τὸ στόμα,

Coisl. 278, fol. 203 r° : Οὐ γὰρ ἀργολογήσεις τοῦτο δή σοι τὸ δυσηχές.

[1] Supra IX, 80 : Καὶ δεῦρο μίμου φιλοδέσποτον τρόπον. Cod. Flor. CCL, 10 : Ναὶ κύνα μικρὸν φιλοδέσποτον τρέφε. Add. *De elephant.* vs. 15, et Theogn. v. 719.

[2] Ut supra LVII, 99.

Τὸ κοινὸν ἐντρύφημα τῶν περὶ λόγους,
Ἀφ' οὗπερ ἡμῖν ζωτικὸν βλύζεις τόνον·
Ἐμοὶ δὲ συχνὰς προῖκα πηγάσας δόσεις,
Ὡς χρηστὸς ὡς κράτιστος ὡς μεγαλόνους[1],
Καὶ δρᾶν τὸ καλὸν ἐκμαθὼν ἀπραγμόνως,
Ὡς ἡλίου δύναμις ὡς πῦρ ὡς ὕδωρ,
Ἢ πνεῦμα κοινὸν, ἢ Θεοῦ ζῶσα φύσις.
Καὶ μὴν ἔχεις δή τινα λαβὴν μετρίαν
Ἐκ τοῦ παραῤῥεύσαντος εἰς δεῦρο χρόνου
Καὶ τῶν μεταξὺ συμφορῶν, εἴπερ θέλεις,
Μᾶλλον δὲ τῆς νῦν τῶν κακῶν ἀπληστίας,
Ἀναλυθείσης τῆς ἐμῆς φεῦ συζύγου·
Ὁ μὲν γὰρ οὐκ ἄσημος ἡρπάγη βίος
Καὶ μέχρι λεπτοῦ δυστυχῶς ἐξετρίβη·
Μήτηρ ὁμοῦ δὲ καὶ πατὴρ πεφευγότες
* Ἐκ γῆς ἑαυτῶν πάτριδός τε καὶ στέγης
Ἢ θηρσὶν ἐβρώθησαν εἰς νόθους τόπους,
Ἢ χερσὶν ἐκτάνθησαν ἐχθρῶν ἐκφύλων,
Ἢ μικρὰ γοῦν πνέουσιν ἐξ ἀσιτίας·
Θήσω δὲ ποῦ, κράτιστε, καὶ τὰς ἐλπίδας,
Ἃς οἶδας, ἃς ἥδρασας, ἃς εἵλου στέγειν;
Ἂν οὐχὶ θᾶττον τοὺς ἐμοὺς λύσῃς πόνους;
Λύτρον ψυχῆς φάρμακον εὑρὼν εὐστόχως,
Προκείσομαι φεῦ τοῖς πολίταις ὁ ξένος
Νεκρὸς λιμοῦ γνώρισμα καὶ ψυχῆς πόνων·
Καὶ τίς ὀρυγὴν εὐπρεπῆ καταρτίσας
Θάψει τὸ σῶμα νεκρικῶς ἐσταλμένον,
Ἢ σπαργανώσει τὴν ταφὴν τοῖς ἀμφίοις

[1] Anon. cod. Par. 1087, fol. 114 v°: σεβασθήσεται, καὶ ὁ ἀσύνετος πλούσιος Ὁ μεγαλόνους ἀνὴρ καὶ χωρὶς πλούτου ἀτιμασθήσεται.

Ἃ ζωγραφοῦσι τὴν σκιὰν καὶ τὸν γνόφον,
Καὶ τὴν ἀφεγγῆ συσ7ολὴν τῆς καρδίας;
Τίς πικρίας τράπεζαν ἢ πένθους πόμα
Προθεὶς ἑαυτῷ συμπαθῶς καὶ τοῖς φίλοις,
Δόξει τιμῆσαι τῆς φθορᾶς τὴν ἡμέραν;
* Τίς κλαύσεται παῖς; τίς δὲ παρὼν δακρύσει;
Ποῖον δὲ κατάλειμμα τῶν ὑπηργμένων
Ἰδών τις εὐθὺς ἐννοήσει τὸν ξένον;
Ἢ τίς παρασ7ὰς εἰς Θεοῦ λειτουργίαν,
Ἄσει τὰ σεμνὰ τῆς Δαβὶδ λύρας μέλη,
Καὶ μακαρισμοῖς ὀλβιώσει τὸν τάφον,
Ἔλαιον εὐχῆς ἐμβαλὼν τῷ λειψάνῳ;
Τούτους ἀνάγκη μὴ ῥυῆναι τοὺς λόγους,
Ὡς ἀέρος κίνησιν εἰς κενὸν κτύπον·
Δεινὸν γὰρ, ὦ κράτισ7ε, δεινὸν ὁ ξένος
Ἀπορφανισθεὶς καὶ φυλῆς καὶ πατρίδος,
Καὶ τῆς ἀδήλου χαρμονῆς τῶν ἐλπίδων.
Οὐκοῦν, βασιλεῦ, θρέψον ὀψὲ τὸν ξένον,
Κοινὸς γὰρ εἶ σὺ καὶ τροφεὺς καὶ δεσπότης,
Καὶ δεῖξον ἡμῖν ἐντελεῖς τὰς ἐλπίδας,
Καὶ μισθοκερδεῖς[1] τοὺς ἐπὶ ξένης πόνους,
Ὡς ἂν τροφὴν ἔχοντες ἡμερησίαν
(Οὕτω γὰρ ἐσ7ένωσεν ἡμᾶς ὁ χρόνος,
* Ὡς μηδ' ἀναπνεῖν μηδὲ λαλεῖν ἰσχύειν)
Θρηνῶμεν ἀεὶ τοὺς ἐνεσ7ῶτας πόνους,
Μᾶλλον δὲ κηρύτ7ωμεν εὐρύθμοις κρότοις
Τὴν σὴν, προμηθεῦ, σὺν Θεῷ πάντων χάριν.
Εἰ δ' ἄρα, δεῖξον ὡς ἐπίσ7ασαι τρίβον
Ἐξ ἧς ἐμαυτὸν εὑρεθήσομαι τρέφων,

[1] Vox addenda lexicis. Addenda et Μεγαλοκερδής, cod. Par. 3112, fol. 10.

Ἐπεὶ τροφῆς ἄγευστον οὐκ ἔσχον φύσιν·
Τὸ γὰρ τελευτᾶν θᾶσσον ἂν μὴ δεικνύῃς.
Οὕτω, κραταιότατε Ῥωμαίων ἄναξ,
Ὡς δοῦλος οἰκτρὸς ταῦτα τολμήσας ἔφην·
Σὺ δ' ἀλλὰ συγγίνωσκε τοῖς θρασυτέροις,
Ἡ πραότης, τὸ θαῦμα τῆς οἰκουμένης·
Ἡ γὰρ ἀνάγκη συνελαύνει τὴν φύσιν.

* LIX. Τῷ πατριάρχῃ[1] ἀναγνωσθέντες τῇ κυριακῇ τῆς Σαμαρείτιδος[2].

Ὦ ζῶν ἐφ' ἡμῶν Ἀβραὰμ τῶν φιλτάτων,
Καὶ πάτερ ἐθνῶν συλλογῆς πολυσπόρου,
Μέγιστε πατριάρχα τῆς οἰκουμένης,
Πακτωλέ[3] μου καὶ Νεῖλε καὶ χρυσοῦν φρέαρ
(Αἱ γὰρ Σαμαρείτιδες ἀντλοῦσι πλέον,
Ὡς ἂν ὕδωρ πίνωσιν ὀλβίου βίου,
Καὶ μηκέτι διψῶσιν, ὃ Γραφὴ[4] λέγει,
Ἄνθραξιν αἰσχρᾶς ἡδονῆς πεφλεγμέναι),
Νῦν στῆθι μικρὸν ὡς Ἰορδάνης πάλαι,
Καὶ τὴν κιβωτὸν[5] τῆς ἐμῆς γλώττης δέχου·
Μετὰ δὲ μικρὸν τὰς ῥοὰς αὖθις δίδου
Τοῖς λαμβάνειν θέλουσιν· οὐδεὶς γὰρ φθόνος,
Καὶ γὰρ ἔχεις κίνησιν εἰς οἴκτου στάσιν,
Κέντρον βεβηκὸς ὀργανῶν τὴν καρδίαν,
Ὡς ἂν ὁμαλῶς τὰς ῥιπὰς ἀπευθύνοις·
Τοῖς ἄστρασι[6] δὲ τῶν χαρισμάτων βρύων
Φρουρεῖς τὸ κοινὸν καὶ στολῆς φέρεις νέφη,
Βροντὰς[7] δὲ φωνῆς πανταχοῦ γῆς ἐξάγεις

[1] Id est Νίφωνι. Conf. infra LX.
[2] S. Joann. IV, 7 et sqq.
[3] Conf. infra CCXVIII, 29.
[4] S. Joann. IV, 14.
[5] Infra CCIII, 6.
[6] Conf. cod. Esc. CLXXXI, 1.
[7] Cod. Escur. CLXXXI, 3 : Βρονταῖς λόγων.

Ἅπαντα μικροῦ δυσπραγοῦντα συλλέγων·
* Κἂν ἀγανακτῇς ἐμβριθῶς μὴ λανθάνων,
Καὶ τέρψεως φῶς ἀσΊραπῆς δίκην δίδως
Τὸν ὄμβρον[1] αὐτοῖς τὸν χρυσοῦν ἐπιβρέχων·
Ὅταν δέ τις ἄνικμος εἰς βάθος μένοι
Καὶ σπόγγος[2] αὐχμῶν εὑρεθῇ πρὸς ἰκμάδας,
ΜυσΊηρίων ἄῤῥητον ἀμπίσχῃ γνόφον,
Καὶ συνάγεις τὰ ῥεῖθρα[3] τῆς εὐποιΐας,
Οὐκ ἐκ θαλασσῶν ὡς νεφῶν ἕλκων σίφων,
Ἀλλ' ἐκ ποταμοῦ κοσμικῆς κραταρχίας,
Ἐπεὶ βασιλεὺς ὁ γλυκὺς ῥοῦς[4] τῶν λόγων
Εὐσπλαγχνίας ἤνοιξε τῷ γένει φλέβας.
Οὐκοῦν ἀπ' αὐτῶν δρασΊικὴν[5] δός μοι δρόσον·
Πρὸς γὰρ τὸν αὐχμὸν δυσφορῶ τῶν πραγμάτων·
Κἂν ἐλπίδων ζέφυρον[6] εἰσπνεύσῃς μόνον,
Θυμηδίας ἔγκαρπος οὐκ ἔσΊαι χλόη[7];
Ἥλιε τῆς γῆς, θάλπε καὶ φώτιζέ με·
Τὸν γὰρ πολὺν χειμῶνα[8] τῆς ἀκτησίας
Καὶ τὸ σκότος[9] δέδοικα τῆς ἀθυμίας·
Σὺ δὲ δρομεὺς εἶ, ψαλμικῶς εἰπεῖν, γίγας[10]·
* Ταῖς ἐξόδοις γὰρ καὶ καταντήμασί σου
Τοὺς ἀθλίους πένητας ὡς βλάσΊην τρέφεις,
Καὶ δάκρυον πᾶν συμπαθῶς ἀποθλίβεις,
Μήπως ὁ καρπὸς ἐνσαπῇ ταῖς ἰκμάσιν.

[1] Infra CCXXXVII, 112 : *Καὶ τοῦ ποταμοῦ τῆς χρυσῆς ἐπομβρίας.*

[2] Conf. infra LXI, 59.

[3] Conf. cod. Esc. CCXIII, 121.

[4] Infra CXXXIX, 18 : *Εἴργεις προχεῖσθαι τὸν γλυκὺν ῥοῦν τῶν λόγων.*

[5] Conf. cod. Esc. CLXXXI, 4.

[6] Infra CLVII, 5 : *Σὺ δὲ ξένον ζέφυρον ἐλπίδων χέων.*

[7] Conf. cod. Esc. CXCI, 37.

[8] Conf. supra XXX, 17.

[9] Jo. Chrys. *Opp.* I, p. 98 C : *Σκοτωθεὶς ὑπὸ τῆς ἀθυμίας ὁ γέρων.*

[10] Alludit ad Psalm. XVIII, 6.

Ἱππεὺς δὲ τὴν γῆν ἡσυχῇ διατρέχεις,
Μήπως ἀποκρυβῇ τις, ὦ κοινὴ ζέσις.
Καιρὸς δέ σοι πᾶς εὐχερὴς πρὸς τὰς δόσεις,
Ὡς μηδὲ νυκτὸς ἠρεμεῖν τὰς λαμπάδας·
Θεοῦ βάσις γῆ, τὰς τροφὰς πήγαζέ μοι·
Τῶν γὰρ ἀγαθῶν τὴν σπορὰν δεδεγμένος
Κοσμοτρόφου[1] χάριτος εἰργάσω σ7άχυν[2],
Καὶ τὴν ξένην φρόνησιν ὡς ὕδωρ χέας,
Καὶ βάθρον αὐτὴν ἐργασάμενος βίου,
Καὶ σαυτὸν ὡς ἄσεισ7ον ἑδράσας κτίσιν
Τὰ κοινὰ καὶ δύσοισ7α λαμβάνεις βάρη·
Θεὸν δὲ τὸν σὸν ὡς ἐπιβλέποντά σε,
Καθὼς ὁ Δαβὶδ[3] μαρτυρεῖ ψάλλων, τρέμεις,
Χαρισμάτων θάλασσα[4] τῶν ὑπὲρ φύσιν,
* Καθ' ἥνπερ οὐδεὶς ἐξεγείρεται κλύδων,
Ἰθύνεται δὲ κοσμικὸν σύμπαν σκάφος
Καὶ πνευματικὸν[5] τῶν φρενῶν τοῖς ἱσ7ίοις[6].
Τὴν τῶν λόγων ἔμπνευσιν ὡς αὖραν δίδου,
Καὶ τῆς ψυχῆς τὸν ὅρμον εὐτρέπιζέ μοι·
Οὐ γὰρ ἐφ' ὑγρᾶς ἀλλ' ἀνίκμου καρδίας
Ὁ τοῦ βίου κλύδων[7] με κυκῶν συμπνίγει.
Ζωήν σε λοιπὸν εὐτυχοῦντι δευτέραν,
Τὸ θαῦμα τῆς γῆς, τὴν ψυχῆς[8] τῶν πραγμάτων,

[1] Conf. cod. Esc. CXLVIII, 5.

[2] Supra LVI, 31.

[3] Psalm. CIII, 33.

[4] Conf. cod. Flor. XXXI, 1.

[5] Sic ex correctione. Prius erat *πνευματικῶν*.

[6] Supra XVIII, 10 : *Χαλῶμεν εὐθὺς τὸ πτερὸν τῶν ἱσ7ίων*. Codex Escurial. CCXXIX, 5 : *Πτερούμενος δὲ τῶν φρενῶν τοῖς ἱσ7ίοις*.

[7] Theod. Stud. codex Paris. 891, fol. 252 v° : *Ὁ βίος ὑμῶν ἀκλυδώνισ7ος*. Jo. Chrysost. t. I, p. 3 B : *Καὶ τοῦ κλύδωνος ἡμᾶς τῶν βιωτικῶν κακῶν ὑπεραίρουσα*.

[8] Leg. *ψυχήν*.

Γένοιτό μοι κάλλισlος ἐκ λύπης βίος·
Εἰ μὴ γὰρ αὐτὸς, ἡ λογική μοι κτίσις,
Ὁ νοῦς, ὁ ποιμὴν, ἡ Φιλάνθρωπος Φύσις,
Βιοῦν ὁμαλῶς καὶ λαλεῖν ἴσως δίδως,
Ἀμήχανον ζῆν καὶ βλέπειν τὸν ἥλιον.

* LX. Τῷ πατριάρχῃ κυρ. Νίφωνι[1] ἀναγνωσθέντες τῇ κυριακῇ τοῦ Παραλύτου.

Οὔσης ἑορτῆς πανταχοῦ γῆς ἀρτίως,
Ὅτι περ αὐτὸς πατριάρχης εὑρέθης,
Εἰς τὴν κολυμβήθραν σε τῆς διαρτίας
Πέντε σlοὰς ἔχουσαν αἰσθητηρίων,
Ὕδωρ ἀτεχνῶς ῥυπlικὸν παθῶν βλέπων,
Ὅταν λάβοις κίνησιν ἐξ εὐσπλαγχνίας,
Ἄτlω πρὸς αὐτὴν καὶ δραμεῖν οὐκ ἰσχύω·
Παρειμένος γάρ εἰμι καὶ πλήρης δέους,
Καὶ μέχρι συχνοῦ δυσφορῶν ἤδη χρόνου.
Ἀλλὰ προλαμβάνουσι τὴν σωτηρίαν
Ὅσοι τὸ θαῤῥεῖν εὐτυχοῦσιν ὡς τόνον·
Προβατικὴ γάρ ἐσlιν ἐκ τῆς ἀξίας[2].
Ἐγὼ δὲ πάλιν ἀσθενῶν πορεύομαι·
Μιμούμενος γοῦν τὸν θεὸν καὶ δεσπότην,
* Αὐτοῦ μαθητὴς πατριάρχα δέσποτα,
Καὶ θαυματουργὲ μυσlικῆς εὐρωσlίας,
Εἰς τὴν Σιὼν ἐνταῦθα τῆς ἐκκλησίας,
Εἰς ἣν δι' ἡμᾶς ἀπὸ τῆς χθὲς ἀνέβης,
Ἐσφιγμένον δεῖξόν με τὸν παρειμένον.
Καὶ γὰρ ὅλως ἄνθρωπος οὐ πάρεσlί μοι,

[1] Cod. Flor. f. 103. Cod. M. f. 60. Voces κυρ. Νίφωνι desunt in cod. Paris.

[2] Sententia non absoluta, et omissum aliquid credo.

Κἂν γογγύσωσί τινες ὑπὸ τοῦ φθόνου
Τῷ σαββατισμῷ[1] τῆς ἐμῆς ἁμαρτίας.
Τὴν ἄνεσιν δὴ τῶν λυπηρῶν ὡς κλίνην
Ἀραμένῳ κέλευε τῷ δούλῳ τρέχειν[2].
Ὁ γὰρ Σολομὼν[3], ὁ γλυκὺς αὐτοκράτωρ,
Εἰρηνικὴν δήπουθεν εὑρηκὼς χάριν,
Ἄλλην κολυμβήθραν σε κοινὴν δεικνύει,
Παντὸς ψυχικοῦ φαρμακεύτριαν[4] πάθους·
Ὅταν δέ τις πύθοιτο, τίς ἔσφιγξέ με,
Δείξω τὸν ἐργάτην σε τοῦ τερασΊίου·
ΓνωσΊὸς γὰρ εἶ σὺ, καίπερ ἐκνεύειν θέλων,
* Ὅταν θορυβῇ καὶ πιέζοι τὰ σΊίφη·
Μετὰ δὲ μικρὸν ἐντυχὼν δή μοι χρόνον
Φυλακτικὸν φάρμακον ἐξοίσεις λόγου,
Ἐγὼ δ' ἀπελθὼν εἰς τὸ πᾶν ἔθνος φράσω·
« Νίφων ὁ σεμνὸς πατριάρχης τὸν τρόπον,
Ἐκεῖνος αὐτὸς ὑγιῆ με δεικνύει. »

LXI. Πρὸς τὸν αὐτοκράτορα κυρ. Μιχαὴλ τὸν Παλαιολόγον ἐλθόντα εἰς τὴν ΚωνσΊαντινούπολιν ἀπὸ τῆς δύσεως.

Τί τοῦτο; χειμὼν, ἀλλὰ φῶς ἔθαλψέ με·
Τὸν ἥλιον γὰρ ἀπὸ δυσμῶν σε βλέπω
Τῶν δυσχερῶν τὴν πῆξιν[5] ἐντήκοντά μοι,
Καὶ βασιλικῆς ἐμφορηθεὶς αἰθρίας,
Ἢ, καθάπερ μόνιμος ἀκτίνων χύσις,
Τὸ ψυχρὸν ἐξίκμασε τῆς λύπης νέφος.
* Τῆς μὲν πρὸ μακροῦ συσΊολῆς ἀπηλλάγην,

[1] Conf. supra LV, 4.
[2] Matth. IX, 6.
[3] Eccles. II, 6.
[4] Supra L, 6: Τῶν πρίν τε καὶ νῦν φαρμακεύτριαν πόνων.
[5] Cod. Fl. LXXXIII, 16: Πῆξις λόγων.

Ὡς εἰς θέρους ἔλλαμψιν οὐκ ὄντος κρύους·
Φαιδρύνομαι δὲ καὶ τρανῶς ᾄδειν θέλω
Τὰς τοῦ λόγου πτέρυγας[1] ἀνεὶς ἐκτάδην·
Δεῖ γάρ με τῆς σῆς ἀρχικῆς μεσημβρίας[2],
Εἰ πρωτοφυὴς εὑρεθεὶς ἠλειμμένος
Ἑκατέρων ἕστηκας ἀνάκτων μέσος,
Εἶναι φιλῳδὸν[3], Αὐσονάρχα, τέττιγα·
Νῦν, ὡς χελιδὼν ἐκ φθορᾶς ἀναστρέφων
Εἰς πνεῦμα καὶ φῶς καὶ παλίμπτερον[4] βίον,
Ὠδῆς νεαρᾶς ἐξερεύξομαι[5] κρότους,
Καὶ καταγωγὴν ὀργανώσω τοῖς λόγοις,
Ὡς ἄν, βασιλεῦ, τῶν χαρισμάτων ἔαρ[6],
Περιλαληθῇς ἐν γραφαῖς ὑποπτέροις·
Νῦν, ὡς λέων ἄμαχος ἐκ λόχμης βρύχων,
Αἱρεῖς τὰ δεινὰ τῆς ἐμῆς ψυχῆς πάθη,
Καὶ καθάπερ κνώδαλα τὰς λύπας τρέπῃ·
Νῦν ὅρμον εὑρὼν οὐχ ὑποπτεύω ζάλην·

[1] Cf. cod. Esc. XCI, 25. Mich. Psellus, cod. Par. 1182, fol. 190 v°: *Ὑμεῖς γὰρ λόγους κενοὺς καὶ πτερόεντας ἐν ταῖς χερσὶν ἔχετε.*

[2] Conf. supra II, 14.

[3] Ælian. *Hist. anim.* I, 20, de cicadis: *Καὶ τοῦτο μὲν τὸ φιλόμουσον ἔδωκε τοῖς ἄῤῥεσιν ἡ φύσις.* Id. de cygno, *Hist. Var.* I, 14: *Ὅτι δέ εἰσι φιλῳδοί, τοῦτο μὲν ἤδη καὶ τεθρύλληται.* Hæc vox *φιλῳδὸς* occurrit supra II, 5.

[4] Hac voce ditari possunt lexica, quibus addam: Παλιμπτέρυγος, German. Cpol. cod. Coisl. 278, fol. 217 r°: *Καὶ ἀντικρούουσαν παλιμπτέριγα* (leg. *παλιμπτέρυγα*) *τὰ βέλεμνα καὶ παλίνστροφα.* — Βραδύπτερος, *De animal.* 681: Βραδύπτεροι κρέκες. — Θερμόπτερος, cod. Par. 2662, fol. 79 r°. — Κολλόπτερος invenitur in cod. Paris. 1917, fol. 10 v°, sed leg. *κολεόπτερος.* — Παχύπτερος, Michael Lucudas, ap. Hardt. *Catalog. codd. Mon.* t. II, p. 173: *Τὸν στόλον τὸν παχύπτερον τὸν χιλιοναυστόλων* (leg. *χιλιοναυστόλον*). Adde et *λευκοπτεροφόρος* ex Meliten. v. 335: *Καὶ κύκνοι μακροτράχηλοι καὶ λευκοπτεροφόροι.*

[5] Conf. cod. Esc. XXXVIII, 2.

[6] Ariphron Sicyon. apud Athen. XV, pag. 702 B: *Καὶ λάμπει χαρίτων ἔαρ.* Boeck. *Inscr.* n° 511, 9.

Καὶ γὰρ ὁ τυφῶς τῶν κακῶν ἀφυϐρίσας
Ἀνῆκε τὸν ϖλοῦν εὐδρομεῖν τῶν ἐλπίδων·
Ἐγὼ δὲ τηρῶ τῆς ψυχῆς μου τὸ σκάφος[1]
Εἰς τὰς ἐπὶ σοὶ τῶν λογισμῶν ἀγκύρας[2],
Καὶ τέρπομαι ζῶν εἰς λαϐὰς ἀκινδύνους·
Δεινὸν γὰρ ἦν τὸ κῦμα τῆς ἀθυμίας,
Κυκᾶν ἀπειλοῦν καὶ σῖροϐεῖν μοι τὸν βίον,
Ἐκ τῆς ϖονηρᾶς εἰσροῆς τῶν ϖραγμάτων·
Ἀλλ' ἦλθες αὐτὸς, καὶ ϖαρῆλθεν ὁ γνόφος,
Καὶ ϖάντα λοιπὸν αἰθριάζει τὰ ϖρόσω.
Νῦν, ὦ βασιλεῦ, κατὰ τὴν ϖαροιμίαν,
Γυπὸς νεοτῖὸς εὑρεθεὶς ὑψιδρόμου[3],
Λάρους θεωρῶ δυσπετεῖς τοὺς βασκάνους·
Ἐξίπῖαμαι γὰρ εἰς τὸ σὸν κάλλος βλέπων,
Καὶ γίνομαι νοῦς οὐρανοῦ μέχρι φθάνων,
Καὶ τοὺς χαμερπεῖς οὐ ϖῖοοῦμαι κανθάρους
Σφαιροῦντας εἰκῆ τῆς ψυχῆς τὴν κοπρίαν[4]·
Ἤδη μὲν οὖν εὔθηκτον[5] ἐξώσω σπάθην·
Μηροῦ γὰρ ἰσχὺς ψαλμικῶς[6] ἔνεσῖί σοι,
Καὶ ϖνεῦμα θυμοῦ, καὶ θεοῦ ζῆλος φλέγων·
Εἶτα κατ' ἐχθρῶν ὑπὲρ ἡμῶν ἱππάσω·
Ὥσπερ δέ τι δρέπανον εἰς χεῖρας φέρων,
Τοὺς ἐμψύχους ἔτεμνες εὖ μάλα σῖάχυς,

[1] Cf. cod. Flor. LXXIV, 5.

[2] Cf. supra XXXIII, 9.

[3] *De animal.* v. 50 : Τοὺς ἀετοὺς τοὺς ὑψιδρόμους.

[4] Aristoph. *Εἰρ.* vers. 126 sq. Æsopi *Fab.* II. Plin. XI, 28, s. 34. German. Cpol. cod. Coisl. 278, fol. 62 r° : Τί γὰρ κοινὸν μύρῳ καὶ κανθάρῳ κοπρογεννήτῳ; Quæ vox addenda lexicis. Confer. infra CCXLI, 10.

[5] Cod. Esc. CLXXXV, 2 : Εὔθηκτον ἁρπάσας ξίφος. Cod. Vat. XXX, 2 : Εὔθηκτον ὡς δρέπανον. Noster, edit. W. p. 148 : Πᾶν ἀχρόνως εὔθηκτον ἀμϐλύνων βέλος. Conf. supra XVIII, 9.

[6] Fort. leg. γραφικῶς.

Ἢ σκηπ7ὸς ὢν ἄΦυκτος ὡς Φλὸξ ἐῤῥάγης,
Διέδραμες δὲ τοὺς ἐναντίους μόνος,
Ὡς καλάμην εὔπρησ7ον[1] αὐτοὺς ἐσθίων,
Καὶ τὴν περιθρύλλητον ἐκ νίκης μάχην
Ὁ δυσμενὴς ἄνωθεν οὐ κρύψει χρόνος·
Ἐμοὶ δὲ Φανεὶς ὡς ἀπὸ δρόμου γίγας,
Ἀνεῖλες εὐθὺς ὡς κακούργους τοὺς πόνους,
Καὶ τοξότην ἔδειξας αὐτάνακτά μοι,
Ῥιπ7ῶν κατ' αὐτῶν ἰσχυρὰ γλώτ7ης βέλη·
Πάχνην γε μὴν ἔλυσεν ἡλίου ζέσις,
Καὶ Φῶς ὑΦεσ7ὼς οὐχ ὑΦίσ7αται σκότος[2],
Καὶ σπόγγον[3] ἰκμὰς καὶ ξυρὸν θρὶξ οὐ σ7έγει,
Καὶ πῦρ χλόην ἄνικμον εὐθὺς ἂν Φλέγοι·
Ἀχλὺν[4] δὲ συχνὴν συμΦορῶν ἀποκρύΦων
Καὶ καρδίας οἴδημα[5] καὶ δριμὺν πόνον
Αὐτὸς, βασιλεῦ, τῷ γλυκασμῷ σου λύεις,
Οὐδὲ προσαυδῶν, ἀλλ' ὁρώμενος μόνον.
Ὡς μὲν γὰρ ἀπρόσιτος ἐκ τῆς ἀξίας,
Αἰδοῖ Φόβον σύγκρατον ἡμῖν ἐγχέεις·
Ὡς δὲ προσηνὴς ὑπὲρ ἀνθρώπου Φύσιν,
Καί τινα λεπ7ὴν ἡσυχῇ βλύζεις δρόσον,
Ὡς ἐξ Ἀερμὼν[6] τῆς ῥιπῆς τῶν ὀμμάτων,

[1] Nicephor. Chrysoberga, cod. Esc. 2, Υ. 10, fol. 26 r° : Ὁρᾷ ποτε Φύσιν ἄλλην Φλογὸς καὶ ὁ ἐμὸς ἀδελΦὸς εὔπρησ7ον μὲν περιλαβούσης Φυτὸν, διατηρούσης δὲ μὴ Φλεγόμενον.

[2] Infra CCXLI, 9 : Φωτὸς γὰρ ἀκμὴν οὐχ ὑΦίσ7αται σκότος.

[3] Supra LIX, 24 : Ὅταν... σπόγγος αὐχμῶν εὑρεθῇ πρὸς ἰκμάδας.

[4] Similis metaph. ap. Pisid. *Hexaem.* v. 13 : Ἔσω δὲ πᾶσαν τὴν ἀχλὺν τῶν Φροντίδων. Combefis. *Auctar.* tom. I, p. 1767 : Ἀχλὺς ῥᾳθυμίας. Niceph. Cpol. in *Spicileg. Solesm.* t. I, p. 476 : Ἀχλὺς ἀκρασίας καὶ αὐθαδείας. Gennadius, cod. Paris. 2075, fol. 46 v° : Τῇ τῶν ἐμῶν ἁμαρτημάτων ἀχλύϊ.

[5] Supra LVIII, 13 : Καὶ καρδίας οἴδημα καὶ ψυχῆς πόνον.

[6] Psalm. CXXXII, 3.

Ὑφ' ἧς τὸ θερμὸν συσταλὲν διεκχέων
Χαίροντας ἢ πλήσσοντας ἡμᾶς δεικνύεις.
Ὦ νοῦ βαρηθεὶς δυσχερῶν ἀμετρίᾳ
(Καὶ γὰρ ἐμαυτῷ προσλαλεῖν ἐπεστράφην),
Ἰδοὺ βασιλεὺς, μὴ φοβοῦ, δεῦρο σκόπει,
Καὶ νῆφε τερφθεὶς καὶ πτερύσσου καὶ τρέχε,
Καὶ τίκτε πυκνὰ σὺν Θεῷ λόγων βρέφη,
Καὶ παιδαγωγὸς εὐμαθέστερος γίνου·
* Καὶ πλάττε ῥυθμοὺς καὶ πλοκὰς εὐσυνθέτους[1],
Καὶ σχηματισμοὺς καὶ στροφὰς ἡρμοσμένας,
Καὶ καθάπερ κώδωνι τῇ λέξει κτύπει,
Καὶ ζῆθι λαμπρῶς καὶ κροτοῦ καὶ φαιδρύνου·
Ὁ γὰρ περιλάλητος[2] Αὐσονοκράτωρ
Τοῦ τῆς λύπης λύει σε δεσμωτηρίου·
Καὶ σὺ δέ μοι σὰρξ ἐμφρυγεῖσα τῷ χρόνῳ,
Καὶ ζῶσα νεκρὰ δυστυχῶς δεδειγμένη,
Καὶ κατὰ μικρὸν ἐκρυεῖσα τοῖς πόνοις,
Ἀναψυχῆς λάμβανε καινῆς ἰκμάδας,
Καὶ τὴν ἀναθήλησιν[3] ἐντεῦθεν δέχου,
Καὶ τὴν βδελυκτὴν ἐκτροπὴν ἀποστρέφου.
Ὁ γὰρ βασιλεὺς ὁ γλυκὺς Ἱπποκράτης
Τὸν σῆτα τῶν σῶν οὐ παρῆλθεν ὀστέων,
Ἀλλ' ὡς Γαληνὸς καὶ σοφὸς καὶ τεχνίτης
Ἐξεῖλεν εὐθὺς τῆς νομῆς τῆς ἐν βάθει,
Εὐσπλαγχνίας ὄνυξι τὸν θῆρα ξέσας·
Σὺ δὲ πλατυσμῷ συσταλεῖσα καρδία
* (Τῶν γὰρ στεναγμῶν ἐπλατύνθης τῷ πνίγει

[1] Cf. infra LXII, 103.
[2] Codex Florent. CXII, 44 : Θαῦμα περιλάλητον τυγχάνεις τοῖς οἰκέταις. Ibid. CXXXIV, 2 : Τὸν περιλάλητον ἀνθρώποις βίον.
[3] Hac voce augenda lexica.

Καὶ τῶν λυπηρῶν ἐσῖενώθης τῷ πλάτει),
Γενοῦ σεαυτῆς ἐν κατασῖάσει λόγων,
Καὶ μηκέτι πάτασσε μηδὲ δυσφόρει·
Ἀλλ' εἰς τὸν εἱρμὸν ὑπαναχωρητέον[1]·
Πλὴν, ὦ βασιλεῦ, τῶν ἐμῶν ἔαρ[2] λόγων,
Καὶ γὰρ ἀναζῶ καὶ γλυκὺ δή τι πνέω,
Καὶ τὰς φύσεις τίθημι γυμνὰς τοῖς λόγοις·
Τὸ σπέρμα τῆς γῆς ἐνταφὲν τῷ πυθμένι,
Καὶ κατὰ νεκρὸν ἐνταθὲν ταῖς ἰκμάσιν,
Ἐπεὶ τὸ λεπῖὸν τῆς γονῆς τῆς ἐν μέσῳ
Ὡς κοῦφον ἀρθὲν τῇ πνοῇ συνεσῖράφη,
Τὸ μὲν συνεσῖὼς ἐκπυροῖ τῆς ἰσχύος,
Εἰς φύλλα χωρὶς ὀργανοῦν τὰς ἰκμάδας·
Τούτοις δὲ τοῦ τρέφοντος οὐκ ὄντος τέως
Αὐτὴν κατασπᾷ τὴν βαρυτέραν δρόσον,
Τὰ φύλλα ῥιζοῦν καὶ χλιδῆς τέμνον πόρους·
Τὸ γὰρ κάτω ῥήγνυσι τοῦ λεπυρίου,
* Καὶ τοὺς ἀγωγοὺς τῆς φυῆς διευρύνει·
Οὔσης δὲ συχνῆς τῆς τροφῆς τῆς ἐκ βάθους,
Ὄζος τις ὑγρὸς τῆς λαβῆς ἀνατρέχει,
Ὧ προσγίνονταί τινες εὐρεῖαι φλέβες,
Ὅταν τραχυνθῇ καὶ προέλθῃ τῷ χρόνῳ.
Παχυτέραν δέ τινα καὶ πλείω δρόσον
Εἰς τὰς φλέβας κάτωθεν ὁ κλὼν ἐγχέει,
Καὶ πρὸς γονιμότητα καρποῦ συσῖρέφει,
Καὶ μέχρις αὐτῶν ἐκκενοῖ τῶν ἀκρίδων.
Ἡ γῆ μὲν οὖν τὸ τέκνον ὡς λεχὼ τρέφει·
Προέρχεται δὲ τῆς τροφῆς ἡ θερμότης

[1] Vox addenda lexicis.

[2] Eadem metaphora usus est Pisides, *De vanit. vitæ*, 34 : Ἀλλ' ὦ τὸ θερμὸν τῶν ἐμῶν ἔαρ λόγων.

Εἰς πάντα καρπὸν ὡς ὀπὸς παιδοτρόφος[1]·
Ὁ δὲ προμηθεὺς τῆς γονῆς ἑωσφόρος
Τὸ μᾶλλον ὑγρὸν τῆς χλιδῆς ἀποθλίβων
Τὸν καρπὸν εὐπέπαντον[2] ἑξῆς δεικνύει·
Ὅταν γε μὴν ἔπομβρον ἀλγύνῃ ψύχος,
Τῆς γῆς ὁ πυθμὴν συσταλεὶς ἴσχει[3] ζέσιν·
Πιέζεται γὰρ ἐμβριθῶς ταῖς ἰκμάσι·
* Καὶ πνεῦμα γοργὸν εἰσβαλεῖν οὐκ ἰσχύει,
Ἀλλὰ προχωροῦν ἀνθυποστρέφει[4] πάλιν·
Οἱ γὰρ πόροι μένουσιν ἐσφηνωμένοι,
Καὶ τὴν ὑποβρύχιον οὐ λύει ζέσιν
Ἄνω τὸ πυκνὸν τοῦ κρυμοῦ διατρέχον·
Καὶ δὴ τὸ φυτὸν τὸ προκύψαν εἰς κλάδον,
Ἄνω μὲν ἡμίνεκρον[5] εὑρέθη ξύλον,
Κάτω δὲ καὶ ζῇ καὶ φυτὸν πάλιν μένει·
Ἡ γὰρ ἄνω δύναμις ἐῤῥάγη κάτω
Φυγοῦσα λοιμοῦ προσβολὴν ἀλλοτρίου,
Ὡς καὶ νοσοῦν τὸ φύλλον ἠρέμα φθίνειν
Καὶ τὴν ὑποῤῥέουσαν ἐμφαίνειν φύσιν·
Κἀνταῦθα ῥιζοῖ τῷ ψυγέντι τὰς βάσεις,
Πάντως τι καινὸν ὀργανοῦν εἰθισμένη·
Ἔπειτα θερμῆς ἐκχεθείσης αἰθρίας,
Τὸ συγγενὲς πρὸς ὕψος ἐκ βάθους τρέχει·
Καὶ πάλιν ἐκ γῆς τὸ φρυγὲν ζῇ δενδρίον,
Συχνὰς ἀνασπῶν τῆς τροφῆς τὰς ἰκμάδας,

[1] Cod. Flor. cxxv, 6 : Καὶ παρθένον γράφει σε καὶ παιδοτρόφον. Id. *De animal.* vers. 1565 : Προθεῖσα μαζοὺς ὡς λεχὼ παιδοτρόφος. Id. vs. 1630 : Ὡς πατὴρ παιδοτρόφος.

[2] Cf. cod. Par. CLXXIII, 6.

[3] Prius erat ἴσχοι.

[4] German. Cpolit. 278, fol. 118 r° : Ἥ γε μὴν περιστερὰ μὴ εὑροῦσα τοῖς ποσὶν αὐτῆς ἀνάπαυσιν παλίμπτερος ἀνθυποστρέφει τῷ ἀποστείλαντι.

[5] Hanc vocem non habent lexica.

Αἷς, ἂν ἐπιῤῥέωσιν εἰς κοίλους τόπους,
* Βλάσ7ην κλάδων δίδωσιν ἡ φύσις νέων,
Καὶ τὴν μαλακὴν ἐκδιδύσκεται σκέπην
Τὸ πρὶν ἀκαλλὲς καὶ ψιλὸν δήπου ξύλον·
Τὸ δὲ χρυσαυγὲς[1] τῆς πυρᾶς τοῦ Φωσφόρου,
Κινοῦν τὸ τῆς γῆς δραστικώτερον μέλαν,
Σμαραγδίνην κίρνησι τοῖς φύλλοις χρόαν,
Ἐπείπερ ἁπλοῦν τὸ πρασίζον ὡς χλόην
Οὐδὲ γραφικῆς εὐτυχεῖ μελανδόχη.
Οὕτω κατασχὼν τὴν ἐμὴν σὺ καρδίαν
Χιτῶνα[2] καινῆς εὐφροσύνης ἐνδύεις,
Ἣν τῶν ἀηδῶν ὁ κρυμὸς τῶν ἐν βίῳ
Τῆς θυμοτερποῦς[3] ἀπεγύμνωσε σκέπης,
Ὡς ἂν ὁ καρπὸς[4] ἐκτραφῇ μοι τῶν λόγων
Ταῖς σαῖς πεπανθεὶς, Αὐσονάρχα, λαμπάσιν·
Οὐκοῦν ὁ μὲν σὸς καὶ σπορεὺς καὶ δεσπότης,
Ὁ νοῦς ὁ γοργὸς, ὁ βραβεὺς τῶν πραγμάτων,

[1] Conf. infra LXXXV, 2.

[2] Germ. Cpol. ed. Grets. t. II, p. 113 : *Ἔσ7ι δὲ αὐτὸς* (cod. Coislin. 278 addit *καὶ*) *ἱμάτιον σωτηρίου, καὶ χιτὼν εὐφροσύνης ἐκ τῶν ἄνωθεν ὑφαντός.*

[3] Hac voce augenda lexica. Infra CIII, 10 : *Ὡς θυμοτερπὴς καὶ φθορᾶς ὑπερτέρα.* Meliteniota, codex Parisin. 1720, fol. 120 r° : *Οὕτω τερψίθυμός τις ἦν ἡ τῶν βοτρύων ψαῦσις· Οὕτως ἡ γεῦσις ἥδισ7ος, οὕτω καὶ γλυκυτάτη, Οὕτω προσῆν θυμιτερπὴς* (leg. *θυμοτερπής*), *οὕτω μελιτοφόρος.* Quæ vox ultima et ipsa deest lexicis, quibus obiter accedant : *Ἡδυτερπής*, Theodor. Studit. codex Coislinianus 94, fol. 216 v° : *Τί οὐκ ἀποσ7έλλων μεθ' ὧν καὶ τὰ νῦν πλεῖσ7α καὶ ἡδυτερπῆ, καὶ τίς ὁ ἀνταποδιδοὺς ἀλλ' ἢ ὁ ἀγαθὸς Θεός;* — *Ἰσοτερπής*, Theod. Stud. ap. Mai. p. 151 : *Πέτρου ὡραῖοι οἱ πόδες τὰ ἀγαθὰ εὐαγγελιζομένου, ἀλλὰ καὶ Βαρθολομαίου ἐϊσότερα, εἰς τὰ μετέωρα θεολογοῦντος.* Ad vocem *ἐϊσότερα* cl. ed. in not. : «Anastasius *æque jocundi*, quasi legerit *ἡδύτερα*.» Imo leg. *ἰσοτερπεῖς τὰ μετέωρα*, ut in cod. Par. 1470. Cf. *Journ. des Savants*, 1855, p. 190. — *Λογοτερπής*, Theod. Lascar. ap. Mai. *Bibl. Nov. Patr.* t. VI, p. 260 : *Ὁ ψυχοτερπὴς, ὁ λογοτερπής.*

[4] Conf. cod. Flor. XLIII, 65.

Ἡ γλῶσσα τῆς γῆς, ἡ σ7ολὶς[1] τῶν κτισμάτων,
Ὁ τῶν λόγων θάλαμος ὁ σ7εφηφόρος,
* Τὸ τοῦ κράτους ἔσοπ7ρον, αὐτὸ τὸ κράτος,
Αὐτοκράτωρ γένοιτο γῆς θᾶτ7ον πάσης,
Ἣ χρισ7ὸς Ἀλέξανδρον οὐκ ἔχει νέον,
Ὧ τὴν κορυφὴν Μακεδὼν ἅπας κλίνει;
Σὺ δ' ἂν κατ' αὐτὸν εὑρεθῇς ὢν τὴν φύσιν,
Ἰδοὺ βασιλεὺς[2] καὶ Σολομῶντος πλέον,
Καὶ λεῖπον οὐδὲν εἰς θεόσδοτον[3] χάριν.
Νυνὶ δὲ Σιὼν εἰσιὼν τὴν δευτέραν,
Ὡς καὶ βασιλεὺς Ἰσραὴλ τοῦ δευτέρου,
Ἐκ τῶν παλαιῶν εὐλογοῦ σπουδασμάτων,
Καὶ τῶν παρ' ἡμῖν εὐκτικῶν ἀπαργμάτων·
Κἂν ἀγρὸς οὖν ἔχῃ σε, κἂν πόλις βλέπῃ,
Εἴης παρ' ἀμφοῖν ὑπερευλογημένος·
Κἂν εἰσπορευθῇς, κἂν ἐπ' ἐχθροὺς ἐξίῃς,
Τούτους ἴδοις ἅπαντας εὐθὺς ἐν πέδαις,
Λείχοντας[4] οἰκτρῶς τῶν ποδῶν σου τὴν κόνιν·
Βάψαις δὲ τοῖς αἵμασι τῶν θρασυτέρων
Ὡς ἀπὸ βαφῆς Περσικῆς τὴν ἀρβύλην·
* Ἡ σὴ δὲ γασ7ὴρ εὐλογηθείη πάλιν,
Καὶ φιλτάτων ἄπειρον ἐσμὸν[5] ἐξάγοι·
Κέρκος δέ σοι φαίνοιτο πᾶν ἔθνος μέγα,
Καὶ τὰς ἀπειθεῖς ἐξολοθρεύσαις πόλεις,
Ἐπεί σε Χρισ7ὸς, ἡ κεφαλὴ τῶν ὅλων,
Ποιεῖ κεφαλὴν τῶν ποδῶν ὑπερτέραν·
Δῴη χάριν σὴν οὐρανὸς μὲν τὴν δρόσον

[1] Fort. σ7υλίς.
[2] Prius erat βασιλεῦ.
[3] Cod. Escur. ccxiii, 240.
[4] Isai. xlix, 23.
[5] Id. *De animal.* 446 : Αὖθις τὸν ἐσμὸν ὀμματοῖ τῶν φιλτάτων.

Τῇ κατὰ καιρὸν εὐγενεῖ ϖανσπερμίᾳ·
Ἡ γῆ δὲ καρποὺς δαψιλεῖς ἐπεισφέροι,
Καὶ τῶν ἀγαθῶν τὴν φορὰν ϑησαυρίσαις,
Ὡς ἂν δανειστὴς εὑρεθῇς τοῖς ἐκφύλοις·
Ἐτῶν δέ σοι γένοιτο ϖηγὴ τὸ κράτος,
Καὶ καρδίας ἥδυσμα καὶ κόσμου στέαρ.

LXII. Εἰς τὸν ἐν τοῖς βασιλείοις ἐζωγραφημένον ὄροφον.

Ποῦ δὴ φυτευθεὶς ὁ χλιδῶν κῆπος βρύει;
Μὴ γὰρ ὑπὲρ γῆς οὐχ ὁρᾷς τοῦτον, ξένε;
Καὶ ϖῶς κρεμαστὸς ἐκταθεὶς ὑπὸ στέγην
Τηρεῖ τὸν εἱρμὸν τῆς ϖλοκῆς ἡδρασμένον,
Μὴ ϖαρενεχθὲν ταῖς ϖνοαῖς τὸ συνδέον
* Ῥεῦσαι ϖρὸ καιροῦ τὰς γονὰς ἀναγκάσῃ;
Ποίας δὲ ῥιζῶν εὐπορήσας ἰκμάδος
Ἀνῆκεν ἁϐρὰς τῶν φυτῶν τὰς ἀκρίδας;
Ὕδωρ γὰρ ἐγχεῖν ὁ γραφεὺς οὐκ ἰσχύει,
Κἂν εἰς τὸ σαφὲς ἐκμιμῆται τὰς φύσεις·
Πόθεν τὸ ϑερμὸν τῆς φυῆς ὑπεκτρέχον [1]
Ἄνθη ϖροϐάλλει καὶ στολίζει τοὺς κλάδους,
Καὶ φύλλα ϖοιεῖ καὶ σκιὰς ἀποκρύφους;
Ἢ τίς ϖαρελθὼν ζωγραφεῖ ϖρὸς τοῖς κρίνοις
Τὰς ϖαντοδαπὰς τῆς καλῆς βλάστης χρόας;
Ὁρᾷς τὸ λευκὸν, τὸ χλοάζον εἰς μέλαν,
Τὸ κατὰ μικρὸν ὠχριῶν ὡς ἐκ νόσου,
Καὶ τὸ στολισθὲν ἐξ ἀκόχλου [2] ϖορφύρας;
Σκόπει, ϑεατὰ, μὴ ϖροσάψῃ τῶν κρίνων·
Οὐ γὰρ ϑεμιτὸν ἐμϐαλεῖν δεῦρο ξίφος,
Μήπου τι νυγὲν ἐκρυῇ ϖαραυτίκα,

[1] Cf. infra cviii, 23. — [2] Hac voce augenda lexica.

Καὶ τῶν πετεινῶν ἡ τροφὴ διεκπέσῃ·
Ὅρα δὲ πῶς ἄρισῖος ὁ σκιαγράφος
* Ἐπιμελητὴς τοῦ φυτῶνος εὑρέθη·
Θῆρας γὰρ οἷς ἥδισῖον ἁρπάζειν κρέα
Γράφει κατ' αὐτῶν ἠρεθισμένους μόνων,
Οἷς ἡ φύσις δίδωσιν ἐσθίειν χλόην,
Μήπως ὁ λειμὼν εἰς νομὰς ἀνειμένος
Ἐκδαπανηθῇ καὶ ῥυῇ πρὸ τοῦ χρόνου·
Τὰ γὰρ πετεινὰ μὴ νεμηθῇ τὴν πόαν
Εἰς αἱμασιὰς κυκλικὰς περιγράφει·
Καὶ τῶν λαγωῶν τὴν δοκοῦσαν τετράδα
Συνῆψεν εἰς ἓν προσφυῶς διαπλάσας,
Ὡς ἂν τὸ κοινὸν δυσδιαίρετον μένοι,
Καὶ μή τις αὐτῶν ἐκδραμὼν εἰς τὴν χλόην
Εὐθὺς ὑπ' αὐτῶν ἁρπαγῇ κατὰ σῖόμα
Τῶν αἱμοχαρῶν[1] τῆς φυῆς κτηνοσκόπων[2].
Εἴ που δέ τι, βέλτισῖε, τοῦ κήπου βλέποις
Πτηνὸν προελθὸν εἰς τὰ κοῖλα τῶν κρίνων,
Καὶ συλλέγον τὸ σπέρμα τῆς ἀνθουργίας[3],
Κἀνταῦθά μοι θαύμαζε τὸν σκιαγράφον·
* Δίδωσι γὰρ δὴ καὶ τροφὴν τοῖς μετρίοις,
Καὶ δείκνυσι τὸν κῆπον, οὐ κήπου τόπον,
Ἀλλὰ χλιδῶσαν ἡδονῆς θρύψιν ξένης,
Μή τις νομίζοι τὴν χλοάζουσαν πόαν
Ἄνικμον εἶναι καὶ τροφῆς ἀλλοτρίαν.
Ἔγραψε καὶ λέαιναν, ὡς ἤδη βλέπεις,
Καὶ πῆξιν αὐτῇ καὶ σχολὴν σκυμνοτρόφον[4]
Καὶ φραγμὸν ὠργάνωσε πλεκτὸν εἰς μέσον,

[1] Conf. supra II, 53.
[2] Vox addenda lexicis.
[3] Hac voce augenda lexica.
[4] Const. Man. *Amat.* I, 15.

Μὴ τῷ προελθεῖν ἀκρατῶς ὑπὸ θράσους
Τὴν μοσχοποιὸν[1] ἐξελάσῃ δορκάδα·
Χρεὼν γὰρ αὐτὴν ζωγραφεῖν κτηνοτρόφον[2]
Τὴν χλωροειδῆ[3] τῆς φυῆς εὐκαρπίαν,
Ἣν μᾶλλον αἰθὴρ οὐκ ἀὴρ ἀναψύχει,
Χεθεὶς ὑπ' αὐτὴν εἰς πνοὰς ἀντισΊρόφους·
Τὸ γὰρ περιτΊὸν ἐκπιέζει τῆς δρόσου,
Μή τις μαρασμὸς ἀντιβάψῃ[4] τὴν χλόην,
Εἰς εἶδος ὠχρὸν ἐξαμείψας τὴν χρόαν·
Ὡς ἂν δὲ μηδὲν τῆς χλιδῆς ὑπεκσπάσῃ[5]
* (Τὸ γὰρ τεθηλὸς ἀκριβῶς περιγράφει),
Τραχεῖς πόνους δίδωσι καὶ δυσεκβάτους
Δυοῖν πετεινοῖν Μηδικοῖν[6] ὀλεθρίοιν,
Ἐκ τῆς σΊεγανῆς τῶν ποδῶν ἀμορφίας.
Ὢ κῆπος, ὢ χάριτες, ὢ τρυφῆς τόπος!
Ἐξ οὐρανοῦ γὰρ τάχα τὰς ῥίζας φύει·
Λιπαίνεται δὲ μυσΊικῇ τινι δρόσῳ,
Πλατύνεται δὲ καὶ σΊεγάζεται βρύων·
ἈνθίσΊαται δὲ ταῖς πνοαῖς πεπηγμένος,
Καὶ τοῖς ἀπαλοῖς ἐνσκεδάννυται[7] κλάδοις·
Οὐδεὶς δὲ καιρὸς ἐξαμείβει τὴν χάριν
Κινῶν φυσικῶς τῶν τροπῶν τὴν τετράδα·

[1] Hanc vocem non exhibent lexica.

[2] Cf. supra XLVII, 21.

[3] Supra XLIV, 26 : Τὰς χλωροειδεῖς εἰσρυεῖσα λαμπάδας.

[4] Hanc vocem ignorant lexica, quibus adde ΔιαβάπΊω ex Demetr. Pepag. *De Podagr.* p. 48 : Καὶ ἀμύγδαλα εἰς μέλι διαβάπΊοντα, et ΣυμβάπΊω, cod. Paris. 2260, fol. 17 v°.

[5] Hac voce carent lexica.

[6] Μηδικὸς ὄρνις, Medica avis dicitur ab Hesych. et Suida ὁ ταὼς, Pavo, quod ex Media sit transvectus. Conf. *Thesaur.* s. v. Μῆδος.

[7] Cod. Escur. CCXI, 19 : Καὶ νῦν ἐπ' αὐτῆς ἐνσκεδάζω τὸν σπόρον. Cod. Flor. CCXIII, 258 : Δριμὺν δὲ καπνὸν ἐνσκεδάζει τοῖς λόγοις.

Τυποῖ δὲ μικροῦ τῆς Ἐδὲμ τὰς ἐμφάσεις,
Ὑπὲρ κεφαλῆς ἀκριβῶς τρισολβίας,
Ὑπὲρ κορυφῆς εὐσ7εφοῦς[1] καὶ κοσμίας,
Ὑπὲρ κόμης ἄνωθεν εὐπρεπεσ7άτης,
Ὑπὲρ βασιλεύοντος εἰς κοινὸν κλέος·
Καὶ μύρον ἂν εὔοσμον εἰσέπνευσέ τις,
* Ἀρωματικῆς εὑρεθείσης τῆς πόας,
Εἰ μὴ ῥεπούσας εἰς τὸ κέντρον τὰς ῥίνας
Ἔδειξεν ἡ συνθεῖσα τὴν φύσιν πλάσις·
Κουφίζεται γὰρ φυσικῶς ἡ λεπ7ότης,
Καθάπερ εἰς γῆν εὐδρομεῖ τοὐναντίον.
Ὢ πῶς ἐφικτὸν γραφικοὺς λόγους κρίνειν,
Ἐν οἷς ἀτεχνῶς ἐκμιμεῖται τὰς φύσεις
Ὁ νοῦς ὑφισ7ῶν τὰς λαβὰς[2] τῶν πραγμάτων,
Καὶ ποικίλα χρώματα κιρνῶν ἐξ ὕλης,
Καὶ δημιουργῶν τὰς γραφὰς ὡς ἐμψύχους;
Τίς γὰρ θεωρῶν ἐν σκιαῖς ἄλσος βρύον,
Οὐκ εὐθὺς ὑπείληφε κοιλάδα βλέπειν
Φύλλοις κομῶσαν καὶ δροσώδεσι κρίνοις;
Καὶ ζῆν τὰ φυτὰ καὶ κλονεῖσθαι τοὺς κλάδους
Ἐκ τῆς ἐνούσης ἠρέμα κινήσεως;
Πλὴν εἴ τις αἰδὼς μὴ προσῆν τῷ ζωγράφῳ,
Ἔδειξεν ἂν ἐνταῦθα καὶ χελιδόνας·
* Ἵνα δὲ μὴ θόρυβον ἐγγράψας λάθῃ,
Παρῆκεν αὐτὰς, κἂν σαφῶς ἔαρ γράφῃ·
Τὰ δ' ἄλλα σιγᾷ, κἂν σχεδὸν ζῇ καὶ πνέῃ·
Οὐ γὰρ ἀηδὼν οὐδὲ κύκνος εἰς μέσον,

[1] Cod. Esc. xxvii, 24 : Καὶ βασιλεὺς ἐνταῦθα παρὼν τυγχάνει Σοφὸς, γαληνὸς, εὐσ7εφὴς, κοσμοτρόφος. Noster de apum rege, *De anim.* 611 : Ἐρυθροβαφὴς, εὐσ7εφὴς, καὶ γεννάδας.

[2] Cf. cod. Flor. ccix, 23.

Ὡς ἂν κινῇ καὶ τἄλλα πρὸς μελῳδίας·
Ὅπου γε καὶ λέουσι θηρσὶν ἀτρόμοις
Ἐνῆκε σιγὴν ἡ γραφὶς τοῦ τεχνίτου,
Καὶ πήγνυσι μὲν τὰς φορὰς τῶν πνευμάτων,
Φραγμοὺς δὲ ποιεῖ τοῖς φυτοῖς εὐσυνθέτους[1]·
Οὐκ ἦν γὰρ εἰκὸς εἰς βασίλειον σΊέγην
Μὴ τὴν σιωπὴν ἐμφυτεῦσαι τοῖς τύποις·
Οὐκοῦν, θεατὰ, μὴ κτυπήσῃς ἐνθάδε,
Μή τις σε παρὼν ἐκδιώκοι μακρόθεν,
Καὶ τῶν πετεινῶν ἀφρονέσΊερον κρίνοι.

* LXIII. Πρὸς τὸν αὐτοκράτορα[2].

Αὐτοκράτορ, σός εἰμι, σὲ πνέω μόνον·
Αὐτοκράτορ, σός εἰμι, σὲ βλέπω μόνον·
Καὶ ζῶ διὰ σοῦ, τῆς πνοῆς τῶν Αὐσόνων·
Καὶ ζῶ διὰ σοῦ, τοῦ κρατίσΊου φωσφόρου,
Δι' οὗ ψυχικὸς ἐξελαύνεται γνόφος[3],
* Ὅταν ὁ χειμὼν[4] εἰσρυῇ μοι τῆς λύπης·
Ἀσύγκριτος γὰρ εἰς τὸ θάλπειν εὑρέθης,
Ἀνέσπερον[5] φῶς τοῖς ποθοῦσί σε βρύων.
Οὐκοῦν, βασιλεῦ, τοὺς ἐμοὺς πόνους λύε·
Ἡ γὰρ δίκη φοβεῖ με τῆς ῥαθυμίας,
Χυμῶν περιτΊῶν ἐκ τροφῆς παχυτέρας
Ἄρτι ῥεόντων εἰς τὸ πῦρ τῶν ἐγκάτων,
Ὡς εἰς φλόγα σΊέατος ἠρεθισμένην
Δριμὺς μὲν ἀτμὸς τῶν φλεβῶν ἀποτρέχει,

[1] Supra LXI, 78: Καὶ πλάτΊε ῥυθμοὺς καὶ πλοκὰς εὐσυνθέτους.

[2] Cod. Flor. f. 83. Cod. Mon. f. 50.

[3] Conf. cod. Flor. CXI, 31.

[4] Cod. Flor. XCIX, 7 et CI, 41.

[5] German. Cpol. cod. Coislin. 278, fol. 7 r°: Ὅτε καὶ ἡ ἡμέρα μεγάλη καὶ ἀνέσπερος παντελῶς.

Καὶ πρὸς τὸν ἐγκέφαλον αὐτίκα φθάνει·
Κρυμὸς δὲ πυκνοῖ τῆς δορᾶς μοι τοὺς πόρους
Καὶ τοὺς ἀγωγοὺς τῆς πνοῆς ἀνατρέπει,
Τὰς λιγνυώδεις ἐκδραμεῖν εἴργων ζέσεις·
Αἱ δὲ πνιγηρὰν εὑρεθεῖσαν τὴν σλέγην
Τοῖς ἀνθελιγμοῖς[1] πυρπολοῦσι τοῦ δρόμου·
Καὶ τήκεται μὲν ἐκ πυρᾶς ἡ καρδία,
Μαραίνεται δὲ τῶν μελῶν ὁ πᾶς τόνος,
Καὶ ῥήγνυσι μὲν τὰς ἐν ἥπατι φλέβας,
* Καὶ τῶν σλεγανῶν συντριβέντων ὀσλέων,
Ὁ σφυγμὸς ἐξέλιπεν, ἡ φλὲψ ἐφρύγη·
Καὶ πᾶν τὸ ποιοῦν εἰς τὸ πάσχον ἐκρύβη.
Οὐκ εἶχον αἰτεῖν εὐχερῶς οὐδὲ τρύφος,
Ὡς καὶ μεμυκὸς ἐνδεδέσθαι τὸ σλόμα,
Καὶ μηδ' ἀναπνεῖν, ἀλλ' ἀποπνεῖν τὴν φύσιν
Πρὸς τὴν τελευτὴν τῆς ψυχῆς ἠπειγμένης·
Ἐπεὶ δὲ τὴν σὴν ἐξαπέσλειλας χάριν,
Ἡδὺς ἀνασχὼν καὶ πραΰς μοι τῷ ξένῳ,
Καὶ πνεῦμα καὶ φῶς καὶ θεόῤῥυτον[2] δρόσον
Ἐνῆκας αὐτοῖς εὐμενῶς τοῖς ὀσλέοις,
Δεῖ δὴ, βασιλεῦ, καὶ τροφῆς τῷ σαρκίῳ,
Μὴ πάλιν αὐτὸ δυσπραγοῦν παρακμάσῃ,
Καὶ μηδὲν ᾖ φάρμακον ἐν τοῖς ἐσχάτοις,
Ὅταν ἰατρῶν ἀσθενῇ πᾶσα κρίσις·
Εἰ μὴ γὰρ αὐτὸς τὸ βραχὺ τρέφοις κρέας,
Ὃ θανὸν ἐξήγειρας ἐμπνεύσας μόνον,
Τί χρὴ τὸν ἑξῆς προσδοκᾶν ἴσως βίον[3];

[1] Cod. Florent. I, 878 : Τοῖς ἀνθελιγμοῖς οὐκ ἐᾷ πίπλειν κάτω. Id. *De anim.* 1593.

[2] Cod. Esc. CLXXIII, 16.

[3] Aliter desinit in cod. Mon. : Καταῤῥεούσης ἠρέμα τῆς φύσεως.

* LXIV. Τῷ Ξανθοπούλῳ.

Σὺ μὲν, φίλων κάλλιστε, ῥυθμὲ, νοῦ, κρότε,
Φαιδρὰν τετευχὼς τῆς ψυχῆς τὴν λαμπάδα[1],
Καὶ παντοδαπὸν ἐμβαλὼν ταύτῃ στέαρ,
Μήπως μαρανθῇ μηδὲ ῥεύσῃ τῷ χρόνῳ,
Τὰς πνευματικὰς οὐ παρῆλθες βαθμίδας·
Ἀλλ' ὑπαναβὰς[2] καὶ σκοπήσας τὰς βάσεις,
Καὶ τοῖς ἐπὶ γῆς οὐρανοῦ δείξας τρίβον,
Ὡς ἂν τὸ κοινὸν δεξιῶς ἀνατρέχῃ,
Τὴν γνωστικὴν ἔκλαμψιν ἀθροῦν τῶν λόγων,
Ὑπῆρξας αὐτὸς εὐσταθὴς ἐπιστάτης·
Τὸν κείμενον γὰρ ἐξελέπτυνας[3] γνόφον,
Καὶ νυκτομαχεῖν[4] οὐκ ἀφῆκας τὴν φύσιν·
Ἐμοῦ δὲ προσδεῖ τῷ σκοπῷ καὶ λυχνίας,
Δι' ἧς ἀναβὰς ἐντενῶ τὰς προσβάσεις·
Δεινὴ γὰρ ἡ νὺξ[5] τῶν ἐμῶν τυρβασμάτων,
Ἐν ᾗ καλυφθεὶς εὐδρομεῖν οὐκ ἰσχύω·
Καλώδιον[6] γοῦν ἡσυχῇ κεκλωσμένον

[1] S. Ephr. Syr. *Opp.* t. III, p. 533 A: Τῆς ψυχῆς μου (add. τὴν) λαμπάδα ἐσβεσμένην ἄναψον. Conf. infra CXXIV, 3.

[2] Hanc vocem ignorant lexicographi, quibus indicare possum: Συμπεριβαίνω, Cod. Coisl. 384, fol. 18 v°: Τὸ λευκὸν συμπεριβαίνεται τῷ λαμπρῷ. — Ποντοβαίνω, Theod. Lascar. cod. Par. suppl. 472, fol. 92 v°. — Ὑψιβαίνω, Theod. Lascar. cod. Par. 1193, fol. 3 v°: Οὐχ ὡς σοφοί τε καὶ ὑψιβαίνοντες γνώσεως. — Ὑψιβάτης, Christophor. Patricius, *Menolog.* cod. Paris. 1578, p. 2: Ὑψιβάτης Συμεών.

[3] Cod. Escur. LXXII, 3: Τὸ γὰρ φυσικὸν ἐξελέπτυνας πάχος.

[4] Cod. Florent. XCIX, 24: Τί νυκτομαχῶν καὶ σφαδάζων ὁ φθόνος Σοβεῖ πρὸς ὀργὴν τοὺς ταχεῖς μωμοσκόπους; Carmen *De S. Theodoro*, v. 179: Ὡς ἐξ ἐνέδρας νυκτομαχεῖν ἐσκόπει. Cod. Flor. I, 547: Καὶ νυκτομαχεῖν οὐκ ἐᾷ τοὺς ὁπλίτας.

[5] Conf. infra CXXIV, 7.

[6] Menander, *Histor.* p. 287: Ἦσαν δὲ καλώδιά τε χρυσῷ διαπεποικιλμένα, «catellæ auro variegatæ». *Epist.* Notar. et Gennad. apud Boisson. *Anecdot. Gr.*

* Τῷ τῶν μελιτ7ῶν εὐγενεῖ κρύψας πόνῳ,
Καὶ φῶς ἀλαμπὲς πυρὶ φανερούμενον
Πέμπε πρὸς ἡμᾶς, τῶν γραφῶν ὁ λυχνίτης.

LXV. Εἰς Πρόδρομον κηρόχυτον ἐγκόλπιον.

Εἰς κηρὸν ὡς λύχνον σε τοῦ φωτὸς φέρων,
Ἄσβεσ7ον αὐγὴν εὐτυχῶ τερασ7ίων·
Πλὴν, ὦ μάκαρ, ζῇς· εἰ δὲ σιγᾷς, οὐ ξένον·
Τὴν γὰρ ἐμὴν ἔρημον οἰκεῖς καρδίαν.

LXVI. Πρός τινα τῶν φίλων.

Δίκαιος ὢν σὺ, καὶ ψυχὰς κτηνῶν τρέφε,
Καὶ τῷ γραφικῷ τὴν ψυχὴν ἄρτῳ τρέφε,
Κριθὰς παρασχὼν τοῖς ἐμοῖς βοσκήμασι·
Τρυφὴ γὰρ ἡμῖν ὁ τροφεὺς νοῦς ἐκρίθης.

LXVII. Τῷ μεγάλῳ σ7ρατοπεδάρχῃ[1].

Ἀφ' αἱμάτων ἥδισ7ος ἡμῖν γεννάδας
Ἐκ τῆς κατ' ἐχθρῶν συμπλοκῆς ὑποσ7ρέφων,
Καὶ τοὺς καθ' ἡμῶν συντεταγμένους πόνους,
* Κλεινὲ σ7ρατηγὲ, τῇ χρυσῇ τέμνε σπάθῃ.

LXVIII. Ἐπίγραμμα εἰς ναὸν, ἐν ᾧ ἡ τῆς Θεομήτορος κοίμησις.

Ὕπνῳ ψυχικῷ συσχεθεὶς ὀλεθρίῳ,
Καὶ ζῶν μαλακὸν καὶ φιλήδονον[2] βίον,
Ὡς εἰς κλίνην δή τινα τὴν ῥᾳθυμίαν,

t. V, p. 148 : Ἀλλ' ἐοίκασι τοῖς ἐκ ξύλου καὶ λίνου συμπλέκειν καλώδιον βουλομένοις.

[1] Cod. Flor. fol. 224.

[2] *De animal.* 1748 : Ποθεῖν τὸν αἰσχρὸν καὶ φιλήδονον βίον. Greg. Thessal. cod. Par. 1054, fol. 245 r° : Καὶ ψυχῆς νόσος ἡ φιληδονία. Theod. Stud. cod. Paris. 891, fol. 246 r° : Οἱ φιληδοῦντες τὴν φιληδονίαν.

Μᾶλλον δὲ τοῖς ϖλαίσμασι νεκρὸς τυγχάνων,
Τὴν σὴν τιμῶ κοίμησιν, ἁγνὴ ϖαρθένε,
Καὶ τόνδε σοι τὸν οἶκον αὐχῶν ϖαππόθεν,
Καὶ τὴν κατὰ δύναμιν εἰσφέρων σχέσιν,
Εἰς νῆψιν ἐλθεῖν ἐκλιπαρῶ τὸν βίον,
Μήπως ἐπισλὰς τῶν ψυχῶν ὁ νυμφίος
Ἐπιζυγώσῃ τὰς θύρας τῆς εἰσόδου[1],
Τῆς ϖνευματικῆς ἀσθενούσης λαμπάδος·
Ναόν με λοιπὸν τῆς Θεοῦ δόξης ϖάλιν
Δόξης Θεοῦ σκήνωμα δεικνῦσα σκέπε,
Μήπου τις ἐξῆς ἐμπαθὴς ἐπομϐρία
Λύσῃ τὰ βάθρα τῇ ψυχῇ τῶν ἐλπίδων·
* Εἰ δ' οὖν, σὺ καὶ ζῆς καὶ φθορᾶς κρείσσων μένεις,
Ἄγρυπνε ϖισῖοῖς ϖρὸς Θεὸν ϖαῤῥησίᾳ,
Καὶ σῶζε τὸν σὸν ϖροῖκα θερμὸν ἱκέτην.
Κομνηνοφυὴς ταῦτά σοι Τζυκανδύλης[2]
Δημήτριος καὶ Δούκας εὐνοίας χάριν.

LXIX. Τῷ Ἐπὶ τοῦ κανικλείου[3].

Ἔτι ξυναλγεῖ καὶ τὰ βοσκήματά μοι
Καὶ ϖρὸς σὲ τὸν κάλλισῖον ἀνθρώπων βλέπει·
Πλὴν ταῦτα σιγᾷ, καὶ Φιλῆς κράζει γράφων
Ὅτι κριθῆς δεῖ καὶ χλόης τοῖς[4] κτήνεσιν.

* LXX. Ἐπιτάφιοι τῇ Στρατηγοπουλίνῃ[5].

Ἐκ γῆς ἐγὼ χοῦς, ἀλλ' ἐπήρθην ὡς κόνις

[1] Matth. xxv, 10.

[2] In cod. Monac. n° 198, fol. 371, exstat epistola cujusdam anonymi Τῷ Τζυκανδύλῃ. Is autem non invenitur in *Famil. Byz.* Ducangii.

[3] De hac dignitate cf. Ducang. *Gloss. med. græc.* v. Κανίκλειον.

[4] Cod. τῆς pro τοῖς.

[5] De Strategopulis conf. cod. Escur. CLXXX, 17.

Τῇ συγχυτικῇ συστροφῇ τῶν ϖραγμάτων·
Καὶ ϖάλιν εἰς γῆν τὴν ἐμὴν κατεστράφην,
Τῆς τοῦ βίου λαίλαπος[1] εὐθὺς ληξάσης,
Κρυβεῖσα λοιπὸν ὑπὸ τόνδε τὸν λίθον.
* Ὦ μαρτύρων ἔαρος[2]! ὢ ῥόδου ξένου,
Ὃ καὶ τρυγηθὲν καὶ ϖιεσθὲν οὐ φθίνει!
Καὶ γὰρ ἄνωθέν ἐστι τὰς ῥίζας φέρον,
Καὶ ζῇ τεθηλὸς, καὶ τροπῆς κρεῖσσον μένει,
Τὴν τοῦ τάφου κάλυκα λιπαῖνον μύρῳ[3].

LXXI. Αὔθωρὸν εἰς τὸν ϖερὶ κολλύβων[4] λόγον.

Πυροῖς μὲν ὀπτοῖς τὸν λαὸν ϖάλαι τρέφεις,
Μὴ τῶν μυσαρῶν ἐστιώμενος λάθοι·
Νυνὶ δὲ σαυτὸν ἀπὸ τοῦ λόγου φέρων
* Ἀθλητικὴν τράπεζαν ἡμῖν ἀρτύεις,
Ὡς ἄρτος ὀπτὸς, ὡς Θεοῦ κλιβανίτης,
Θεόδωρε ζῶν ἐστιάτορ ἄφθονε.

LXXII. Εἴς τινα λόγον ϖροκείμενον εἰς ἀνάγνωσιν.

Σταθμός τις ἐστὶν ὁ ϖροκείμενος λόγος,
Μᾶλλον δὲ λιμὴν σωστικὴν αὖραν φέρων·
Τὰ γὰρ νοητὰ δεῦρο καταίρει σκάφη
Τῶν ᾀσμάτων λήγοντα τοῦ ϖλοῦ τοῦ ξένου.
Σκοπεῖτε λοιπὸν μὴ ταραχθῇ τὰ σκάφη,
Τυρβασμάτων[5] λαίλαπος ἀντιπνευσάσης·
Ὀνήσιμος γὰρ ἀπὸ τῆς κάτω ζάλης[6]

[1] Conf. cod. Escur. CCXXXI, 7.

[2] Hic versus et sequentes, cod. Esc. CCLXV, 9.

[3] Sic ex correctione, ut videtur. Cod. Esc. μύροις.

[4] Conf. cod. Esc. CLXXVI, et carmen *In S. Theodor.* a Wernsd. edit. pag. 14 et sqq.

[5] Cod. Esc. CCXIII, 158.

[6] Cf. cod. Flor. CXI, 56.

Εἰς τὴν γαλήνην[1] ἦλθε τῆς ἀφθαρσίας,
Παύλου κυβερνήσαντος αὐτῷ τὸ σκάφος
Τοῖς ἐνθέοις οἴαξι τῶν διδαγμάτων.

LXXIII. Πρὸς τὸν αὐτοκράτορα.

Αὐτοκράτορ μέγιστε, δεῖ δή μοι σκέπης·
Καὶ γὰρ ὁ χιτὼν ἐκτριβεὶς διεθρύβη,
Καὶ θρὶξ λεοντῆς εὐγενῶς κεκαρμένη·
* Ὁ βροντοφυὴς[2] ἦχον ὠδίνει ξένον,
Ὅπως ὁ τῆς χάριτος ἀνθήσῃ σπόρος
Εὐαγγελικῆς ἐμφορηθεὶς ἰκμάδος.

* LXXIV. Πρός τινα τῶν γνησιωτάτων.

Ἐμοὶ σὺ καὶ πῦρ, ἀλλὰ καὶ φῶς καὶ δρόσος·
Τὸ δάκρυον γὰρ τῆς ψυχῆς ἀποθλίβων
Αὐχμῶντα[3] τὸν νοῦν συμπαθῶς ἀναψύχεις.
Ἄλλως τε πῦρ σύ· κἂν μὲν ἐξ οἴκτου βρέμῃς,
Τοῦτ' αὐτὸ πῦρ κάτωθεν εἰς ὕψος ῥέπον,
Καὶ τῶν χαμερπῶν εὐφυῶς ἀποτρέχον.
Εἰ δ' οὐκ ἔχεις ἔξωθεν ὃ φλέξεις ῥέον,

[1] Pisid. *De vanit.* 192 : Γαλήνη καρδίας. Ephr. Syr. *Opp.* t. III, p. 527 : Γαλήνη λογισμῶν.

[2] Cf. supra XVI, 1. Joannes βροντῆς υἱός periphrastice dictus sæpe fuit e loco Marci, III, 17 : Ἐπέθηκεν αὐτοῖς (Jacobo et Joanni) ὀνόματα Βοανεργὲς, ὅ ἐστιν υἱοὶ βροντῆς. Vid. Boisson. *Anecd. Gr.* t. V, p. 166. Hanc vocem βροντοφυής adjunge lexicis ex hoc loco eque Escur. CXXXIV, 2, et Florent. LXXIII, 8. Quædam alia composita cum voce βροντή, in vocabul. nondum recepta, nota hæc : Βροντοβόλος, Anon. *In Psalm.* cod. Paris. 371 A, fol. 332 r° : Καὶ οὗ τῆς μαρτυρησάσης βροντοβόλου πατρῴδους φωνῆς οἱ παρόντες ἐξηκούσθησαν. — Βροντοηχέω, Theodor. Lascar. cod. Par. 3048, fol. 16 v° : Ὡς λόγους ἀληθείας βροντοηχεῖν. — Βροντολόγον, Meliteniota, v. 1638 : Μαντείας καὶ βροντολόγον.

[3] Phrynich. ap. Bekk. *Anecd. gr.* p. 7 : Αὐχμὸς καὶ αὐχμή· καὶ αὐχμῶντα.

* Ὕλην σεαυτὸν εἰς τὸ πῦρ σου δεικνύεις,
Καὶ δρᾷς ἀπαθῶς, ἀλλὰ καὶ πάσχεις πάλιν,
Ὡς μήτε ναρκᾶν εἰς μαρασμὸν τὴν φλόγα,
Μήτε πρὸς οὐδὲν τὴν βορὰν ἀποφθίνειν.
Ἀλλ' ὦ ξένον πῦρ καὶ φρενῶν φῶς καὶ δρόσε,
Μένοις ὅλως ἄῤῥευστος, οἰχέσθω φθόνος,
Ἕως ἂν ᾖ πᾶς ὁ γλυκὺς οὗτος βίος
Εἰς πῦρ ὑφεστὼς ἀλλὰ καὶ φῶς καὶ δρόσον.

LXXV. Τῷ εὐτυχεστάτῳ δεσπότῃ κυρ. Κωνσταντίνῳ[1].

Λέοντος ὀφθεὶς ἰσχυροῦ σκύμνος μέγας
Ἀποκρύφους ἄθρησον ὀξέως πόνους,
Καὶ τοῦ λιμοῦ τὸν θῆρα[2] βιβρώσκοντά με
Τοῖς χρυσέοις ὄνυξι γοργῶς ἁρπάσας
Τὸν κύνα τὸν σὸν ἐξελοῦ τοῦ κινδύνου·
Καὶ γὰρ ὑλακτῶ κατὰ πάντα τὸν χρόνον,
Τοὺς δεσποτικοὺς εὐφυῶς ὕμνους πλέκων[3].
Ὦ ζῶν Ἰωσὴφ καὶ ψυχὰς διατρέφων!
Ὦ χάρις, ὦ δύναμις, ὦ ξένη φύσις!

* LXXVI. Πρὸς τὸν αὐτοκράτορα.

Ἃς αὐτὸς ὑπέτεινας ἡμῖν ἐλπίδας,
Οὓς αὐτὸς ὑπήνεγκα σὴν χάριν πόνους,
Ἤδη τρίτου ῥεύσαντος ἐν μέσῳ χρόνου,
Αὐτοκράτορ μέγιστε, μὴ καταισχύνῃς.
Φοβεῖ γὰρ ἡ ψηφίς με τῆς παροιμίας

[1] Constantinus Despota filius erat Andronici Senioris.

[2] Cod. Flor. xxxv, 9 : Καὶ τῆς τύχης τὸν θῆρα βιβρώσκοντά με. Figurate dictum de fera, an de venenata bestiola, phalangio, scorpione aut simili. Codex Escur. CLXXXIX, 2 : Τὸν θῆρα τῆς ἐμῆς λύπης. Sic dicitur θήρ de amore. Conf. Jacobs. *Lectiones Stobenses*, p. 11.

[3] Conf. cod. Flor. xv, 7.

Ὑπὲρ λίθον δύσοιστον ἐκ μεταρσίων,
Μή τις παρ' ἡμῖν δυσμενὴς καιροσκόπος,
Καὶ ψιθυριστὴς καὶ φθορεὺς τῶν πραγμάτων,
Ἀφῆκε λαθὼν εἰς μυχοὺς ἀποκρύφους,
Ἣν αὖθις εὑρεῖν οὐδενί πω ῥᾴδιον.
Πνοῆς ἀμυδρᾶς ἀδρανὴς ταῦτα κτύπος·
Ἐγκείμενον γὰρ ἰσχυρῶς μοι τὸ θλίβον
Τὸν ἐν λόγοις εὔρυθμον ἀμβλύνει κρότον.

* LXXVII. Εἰς εἰκόνα τῆς θεομήτορος.

Ὅτι με παντὸς δυσχεροῦς ὑπεξάγεις[1],
Καὶ παντοδαπῶν ἀξιοῖς χαρισμάτων,
Ἀφ' οὗπερ εἰς φῶς ἀπὸ γαστρὸς ἐξέδυν,
Ὦ μῆτερ ἁγνὴ καὶ φθορᾶς ὑπερτέρα,
Πρῶτον μὲν ὡς ἄϋλον εἰς νοῦν σε γράφω[2]. . .
* Καίπερ τελευτῆς ὕπνον ὑπνοῦντα[3], ξένε.

LXXVIII. Τῷ ἰατρῷ τῷ Πεπαγωμένῳ[4].

Ἤπειρον οἰκῶν καὶ σαγηνεύων φίλους
Τῷ τοῦ πόθου, βέλτιστε, πυκνῷ δικτύῳ,
Πέμπε πρὸς ἡμᾶς τὴν καλύπτραν τὴν φίλην,
Ὡς ἀπὸ κόχλου τάχα λευκὴν πορφύραν.

LXXIX. Τῷ θαυμαστῷ ἐκείνῳ πρωτοστράτορι τῷ Γλαβᾷ.

Ἔρημος ὀφθεὶς ἱππικῆς ἐφεστρίδος
(Ἡ γὰρ πρὸ μικροῦ τῇ φλιᾷ διεθρύβη,

[1] Sup. XIV, 87: Καὶ τοὺς νεοττοὺς τῆς γονῆς ὑπεξάγειν. Cod. Esc. CLXXIII, 3: Εἰς δεύτερον φῶς μυστικῶς ὑπεξάγων.

[2] Hic deest folium.

[3] Inf. CLXVI, 1: Μακρὸν ὕπνον ὑπνοῖς ἐνθάδε. Constant. Manass. 277: Ἐν τούτοις ὕπνωσεν Ἀδάμ, ἀλλὰ πικρίας ὕπνον, Ὕπνον ἀρχὴν καταστροφῆς καὶ πανολέθρου φθόρου.

[4] Demetrius Pepagomenus medicus sub Michaele Palæologo floruit. Cf. Fabric. *Biblioth. gr.* vol. XI, p. 418.

Τοῦ ψωριῶντος κνωμένου βοσκήματος),
Φοιτᾶν ϖαρὰ σὲ τῆς ψυχῆς μου τὴν δρόσον[1]
Οὐ δύναμαι νῦν ὡς βραδὺς ϖεζοδρόμος[2].
Ἀλλ', ὦ σΊρατηγὲ τακτικῆς ἐπισΊάτα,
Καὶ τῶν ϖαρ' ἡμῖν δυσχερῶν ἀντισΊάτα,
Καὶ τοῦτον ἡμῖν φαρμακεύσαις τὸν ϖόνον,
Ἐπεὶ Γαληνὸς εὑρέθης αὐθαίρετος[3].

LXXX. Τῷ μεγάλῳ ΔομεσΊίκῳ.

Ἔγγραφέ μοι τὸ δῶρον, ἀρίθμει ϖόσον·
Τῷ συγγόνῳ γνώριζε τὴν ϖρᾶξιν Κύρου,
* Καὶ τῷ φίλῳ ϖεινῶντι τὰ βρέφη τρέφε,
Βραβεῦ, ϖρομηθεῦ σὺν Θεῷ ΔομέσΊικε.

LXXXI. Τῷ ϖατριάρχῃ[4].

Κίνει ϖροωθῶν τὸν τροχὸν[5] τῶν ϖραγμάτων,
Ὃς ἀπολαβὼν εἰς τὰ κάτω με θλίβει·
Καὶ γὰρ ἔχεις κίνητρον εἰ σώζειν θέλεις
Τοῦ ϖνεύματος τὴν γλῶσσαν, ὦ θεῖον σΊόμα.

[1] Cf. cod. Esc. CLVI, 7.

[2] Supra II, 31. Id. XIV, 449 : ΕὐαγγελισΊὰς κοσμικοὺς ϖεζοδρόμους. Cod. Flor. XXII, 38 : Φανεὶς ἀγαθὸς τῷ θεῷ ϖεζοδρόμος.

[3] Philes, *In Pachymer.* v. 83 : Αὐθαίρετον ϖενίαν. Menander apud Stob. IV, 4 : Ἄνοια θνητοῖς δυσΊύχημ' αὐθαίρετον. Adverb. αὐθαιρέτως, cod. Flor. CXXIV, 8, et ap. German. Cpolit. cod. Coisl. 278, fol. 226 r°.

[4] Cod. Flor. fol. 223 v° : Εἰς τὸν ϖατριάρχην κύριον Νίφωνα.

[5] Supra XIV, 155 : Ὁρᾷς, βασιλεῦ, τὸν τροχὸν τῶν ϖραγμάτων. Infra CXLIX, 190 : Παρελθὼν τὸν τροχὸν τῶν ϖραγμάτων. Id. CCXIII, 384 : Ὁ τροχὸς τῆς τύχης. Confer. Boisson. *Anecd. gr.* t. I, p. 87 et 147. Herodot. I, 207 A : Κύκλος τῶν ἀνθρωπηΐων ἐσΊὶ ϖρηγμάτων, et ex Herodoti imitatione Gregor. Naz. *Or.* XVII, p. 319 E. S. Nili *Opuscul.* p. 561, ed. Suares : Γέλα μὲν τοῦ βίου τὸν τροχὸν ἀτάκτως κυλιόμενον. Eustath. *Opusc.* p. 6, 25 : Καὶ αὐτοὶ ϖερὶ βίου τροχὸν εἱλούμενοι. Vid. etiam Anacreont. *Od.* 4, et Gregor. Nazianz. t. II, p. 155.

Ἴσως βασιλεὺς εὐμενὴς ὢν τὴν φύσιν
Οὐκ ἐντροχιεῖ[1] τῷ θυμῷ τὰς ἀψίδας.

* LXXXII. Εἰς τὴν ἀποτομὴν τοῦ Προδρόμου[2].

Βαφαῖς ἐρυθραῖς εὐπρεπῶς κεχρωσμένος,
Ὡς βασιλικὸς ἐκ βρέφους ὑπηρέτης,
Τὴν δεσποτικὴν μηνύεις παρουσίαν,
Ἐλθὼν ἐπ' αὐτοὺς ἐκτομῆς[3] τοὺς ἀψύχους·
Δεικνὺς δὲ σαυτὸν καὶ τροφῆς νῦν βελτίω,
Καὶ τὸν περισπούδαστον ἐμφαίνων πόνον,
Τμηθέντα λαιμὸν ὁ δρομεὺς κήρυξ φέρεις·
Οὐκ ἄγριον γὰρ εἰς φθορᾶς τόπους μέλι,
Καθάπερ οὐδ' ἀκρίδες, ἀλλ' οὐδὲ χλόη,
Τὰ σεμνὰ καὶ τρέφοντα τοὺς ἰσαγγέλους·
Μᾶλλον δὲ τοῖς αἵμασι τοῖς ἐξ αὐχένος
Αὐτὸς σεαυτὸν καὶ τὸ πᾶν γένος τρέφεις.

* LXXXIII. Εἰς δακτύλιον.

Ὁ χοῦς φέρει χοῦν (καὶ τίς ἐντεῦθεν τύφος
Τῷ Σεναχηρεὶμ Μιχαὴλ Μονομάχῳ;),
Ὁ Σεναχηρεὶμ[4] Μιχαὴλ τὴν σφενδόνην,
Ἡ σφενδόνη κοσμεῖ δὲ τὸν Μονομάχον.
Ὁ Μονομάχος οὐκ ἐπαινῶν τὸν Γύγην
Ἄτυφός ἐστι τῇ στροφῇ τῆς σφενδόνης.
Χρυσῆ κόνις θέλγουσα τοὺς ἁπλουστέρους
Τῷ Σεναχηρεὶμ σωφρονίζει τὸν βίον.

[1] Add. lexicis. Fort. pro ἐμποδιεῖ.
[2] Cod. Vat. fol. 196 r°. De S. Joannis decoliatione, conf. Fabric. *Biblioth. gr.* vol. X, p. 359.
[3] Leg. ἐκτομεῖς.
[4] Cod. Vat. fol. 177 r°, in quo Σεναχηρείμ, quod malim metri causa. Fort. idem ac Sennacherim, magnus stratopedarcha, de quo Niceph. Gregor. p. 255, 2.

Σός εἰμι καὶ πρὸς ἄλλον αὐτίκα ῥέω·
Καὶ γὰρ ὅλως μόνιμον οὐδὲν ἐν βίῳ.
Ὁρῶντι νεκρὸν τὸν χρυσὸν τῆς σφενδόνης
* Πρὸ τῆς τελευτῆς ὠχριᾶν ἔπεισί μοι.

LXXXIV. Τῷ Πεπαγωμένῳ[1].

Τί τὴν κεφαλὴν τὴν ἐμὴν καταψύχεις,
Ὁ τῶν ἰατρῶν τῶν παρ' ἡμῖν βελτίων;
Μὴ πρᾶγμα ποιεῖν τὴν ἐπίκλησιν θέλεις,
Παρακατασχὼν[2] τῆς καλύπτρας τὴν ζέσιν;

LXXXV. Εἰς τὸ αὐτό[3].

Ἔαρ ἐμὸν σὺ, δὸς τὸ λευκόν μοι κρίνον,
Ὃ τῇ χρυσαυγεῖ[4] τῆς χλιδῆς ὥρᾳ βρύει,
Μήπως ἔτι κρύσταλλος ἀλγύνῃ λύπης
Τὸν σόν με Φιλῆν, ὦ Γαληνέ[5] μοι νέε.

LXXXVI. Εἰς τὸ αὐτό.

Τὴν σὴν κεφαλὴν (τὴν ἐμὴν δήπου λέγω)
Τῇ σῇ σκέπῃ στόλιζε, κοσμῆτορ φίλων·
Ἴσως ἀπ' αὐτῆς εὐφρανεῖς τὴν καρδίαν,
Ὅταν λάβῃς πλόκαμον εὐρύθμων στίχων.

LXXXVII. Εἰς τὸ αὐτό.

Τί δῆτα ναρκᾷς; οὐ παρῆλθε τὸ ψύχος;

[1] Cf. supra LXXVIII.

[2] Cod. Flor. LXXXVIII, 5 : Οἱ μηδαμοῦ στατῆρες ἐκθλίβουσί με Καὶ παρακατέχουσι δεσμώτου πλέον.

[3] Cod. εἰστοαυτό et sic ubique.

[4] Supra XLIII, 23 : Τὰς δὲ χρυσαυγεῖς τῆς λιβάδος ἐμφάσεις. Id. LXI, 154 : Τὸ δὲ χρυσαυγὲς τῆς πυρᾶς τοῦ Φωσφόρου. Cod. Escur. CCVI, 7 : Χρυσαυγεῖς λαμπάδας. Vid. etiam cod. Flor. CXCVIII, 22. German. Cpol. cod. Coislin. 278, fol. 125 v° : Τῇ λυχνίᾳ τῇ χρυσαυγεῖ.

[5] Ad marg. : Τὸν ἰατρὸν ἐνταῦθα τὸν Γαληνὸν μέμνηται.

Ἢ πρὸς τὸ λευκὸν τῆς καλύπτρας ἐμβλέπων
* Πάχνην δοκεῖς ἑστῶσαν εἰς χεῖρας φέρειν;
Ἔαρ ὁ καιρὸς, καὶ ῥιγοῖς πρὸς τὴν δόσιν;

LXXXVIII. Εἰς τὸ αὐτό.

Ἐμοὶ φίλων ἄριστος αὐτὸς εὑρέθης·
Πῶς οὖν με λυπεῖς ὁ γλυκασμὸς, ἡ χάρις,
Ἡ τῆς ψυχῆς μου τέρψις, ἡ κρυπτὴ σχέσις;
Ὁ φιλοτιμότατος, ἀγλάϊζέ με.

LXXXIX. Εἰς τὸ αὐτό[1].

Τὴν εὐγενῆ καλύπτραν ὁ χρυσοῦς φίλος
Πέμπε πρὸς ἡμᾶς ἐξελὼν τοῦ πασσάλου,
Μὴ καταπασθῇ τῷ ψιλῷ κονισσάλῳ·
Καὶ γὰρ τὸ λευκὸν εὐχερῶς μολύνεται.

XC. Εἰς τὸ αὐτό.

Δέδοικα, φιλόστοργε, τῶν ἄλλων πλέον,
Μὴ πρίν με λαβεῖν τῆς κεφαλῆς τὴν σκέπην,
Ἄλγος κεφαλῆς ἐκδοθῇ μοι τῆς λύπης·
Ἱπποκράτους παῖ, δὸς τὸ χαυνοῦν τὸν πόνον.

XCI. Τῷ ἀδελφῷ τοῦ αὐτοκράτορος[2].

Ἄνακτος υἱὲ, σύγγονε στεφηφόρου,
* Βασιλέως τε πατράδελφε[3] δέσποτα,
Καὶ πατροπάτορ βασιλεῖ πάλιν τρίτῳ,
Ὁ καιρὸς ὀξὺς ἐστι, ῥευστὸς ὁ χρόνος·
Ἡ φύσις, οὐδέν· οἱ λόγοι, σκιαὶ μόνον·

[1] Cod. Flor. fol. 28.

[2] Fort. Constantinus Despota. Conf. cod. Esc. CCXXXIV.

[3] Cod. Vat. fol. 152 r° : Ἀσὰν Ἰσαακίος ἀγχίνους φύσις, Ὃς πατράδελφός ἐστι τοῦ στεφηφόρου.

Τὸ μέλλον, ἀργόν· ἐγκρατεῖς αἱ Φροντίδες.
Ἥλιος εἶ, πρόκυπλε καὶ Φώτιζέ με,
Μήπως παχυνθῇ τῶν κακῶν μοι τὸ σκότος[1]·
Εἰ γὰρ σεαυτῷ συσλελεῖς τὸ Φῶς πλέον,
Τὴν νύκτα[2] τῶν νῦν δυσχερῶν οὐ βασλάσω.

XCII. Ἐκ προσώπου τινὸς, ἀποθνησκόντων αὐτῷ τῶν παίδων.

Πατὴρ ἐγὼ πρὶν, ἀλλὰ νεκρῶν τεκνίων·
Ἃ γὰρ παρεῖχεν ἡ Φύσις βλασλήματα,
Τὸ γοργὸν ἐξίκμαζε τοῦ χρόνου θέρος[3]·
Ὅμως ἐπισλὰς εὐλογεῖ μοι τὸν γάμον
Ὁ Κανανίτης[4] οὗτος, ᾧ κλῆσις Σίμων.
Οὐκοῦν ἔχω τὴν παῖδα τὴν Σιμωνίδα,
Τὸν ζῶντα καρπὸν τῆς ἐμῆς εὐτεκνίας.
Ὁ γὰρ Ἀθανάσιος Ἀλεξανδρέων
* Ἀθανάτους δίδωσιν ἡμῖν ἐλπίδας
Λιταῖς ἀναιρῶν τὴν τελευτὴν τῆς κόρης·
Ἡ δὲ βρέφος τεκοῦσα τὸ κτίζον βρέφη,
Καὶ δημιουργοῦν πάντα καιρὸν καὶ χρόνον,
Ἐπισφραγίζει[5] δεῦρο τὴν κοινὴν χάριν·
Ἧς νῦν ἀμοιβὴν τὸν χρυσάργυρον Φέρω.

XCIII. Εἰς τὸ τῆς παμμακαρίσλου κοιμητήριον[6].

Ἄνθρωπε ταλαίπωρε, κἂν ἔτι πνέῃς
Παρακρατῶν τὸ λῆμμα τοῦ κοινοῦ χρέους,

[1] Cod. Flor. c, 27 : Τὸ τῶν λυπηρῶν ἐκδιώκοντα σκότος.

[2] Conf. cod. Flor. XLIV, 62.

[3] Figurate. Cod. Flor. XLIII, 32 : Ἐν θέρει τύχης. *Ibid.* LXXVII, 18 : Τὸ τῆς τελευτῆς καὶ πρὸ τῶν κόκκων θέρος.

[4] S. Matth. x, 4.

[5] German. Cpol. cod. Coislin. 278, fol. 62 r° : Ἡμῖν δ' ἀλλ' ἐπισφραγισλέον (adde lexicis) τὸν λόγον τοῖς ὑπὲρ τῆς τοῦ κρατίσλου ἡμῶν αὐτοκράτορος ἱκετηρίοις προσρήμασι, καὶ διὰ τῆς πρὸς θεὸν τῶν χειρῶν ἡμῶν ἐπάρσεως.

[6] Cod. Flor. 83 v°.

Καὶ πρὸς τὸν ἐμπρόθεσμον[1] ὀκλάζων χρόνον
Τὴν ἐσχάτην οἴκησιν ἐνθάδε σκόπει
Τῶν σῶν ταπεινῶν ὡς ῥεόντων λειψάνων·
Σὰ γὰρ τὰ κοινὰ, κἂν δυσαίσθητος[2] μένων
Τὸ παρὸν ὡς μόνιμον ἀκρίτως βλέπῃς·
Πλὴν ἴδε καὶ τὰ κῶλα τῶν κοιμωμένων,
Οἳ τοῦ γνόφου λυθέντος εἶδον φῶς μέγα·
Καὶ νῦν μὲν ἀνάπαυσις αὐτοῖς εὑρέθη
Τὴν καινοποιὸν εὐτυχοῦσιν ἐλπίδα·
* Μετὰ δὲ μικρόν τινα τῆς τιμῆς χρόνον
Κεκαρμένον πρόβατον ὑπάρξαντά με
Χριστὸς μεθιστᾷ ποιμνιάρχης[3] ὢν μέγας·
Εἰμὶ δὲ νεκρὸς, καὶ καθεύδων ἐν τάφῳ
Τὴν ἐσχάτην ἔγερσιν ἐν τούτῳ μένω.

* XCIV. Τῷ ἀοιδίμῳ ἐκείνῳ δεσπότῃ κυρῷ Ἰωάννῃ[4].

Ὁ δεσπότης, τὸ θαῦμα τῶν ἐμῶν λόγων,
Ἡ χρηστότης, ἡ χάρις, ἡ θυμηδία,
Τὸ τῶν φρενῶν κάτοπτρον, ἡ ξένη φύσις,
Ἀφεὶς θεωρεῖν τὴν ἀδίδυμον[5] φύσιν,
Τὸ μὴ φυσικὸν ἀλλ' ἐπίκτητον γένος,
* Ὃ τοῖς καθ' ἡμᾶς ὑπεναντίως[6] ἔχει,
Φυγὸν τὰ κοινὰ τῆς γονῆς πάντων πάθη,
Καὶ τὴν ἐπ' αὐτοῖς εὐλογηθεῖσαν κτίσιν,
Τὴν ἄσπορον γῆν, τὸν ξυρότμητον[7] στάχυν,
Τὴν ἐκ γυναικὸς ἀῤῥενωθεῖσαν πλάσιν,

[1] Conf. cod. Flor. LXXVII, 7.
[2] Cf. supra LVIII, 51.
[3] Cf. supra XLVI, 6.
[4] Joannes Despot filius erat Andronici Senioris.
[5] Vox addenda lexicis. Ad διδύμους (testiculos) spectat. Cf. *Thesaurum* s. v. Δίδυμοι, col. 1418 C.
[6] Cf. cod. Flor. XXII, 76.
[7] Hoc vocabulo augenda lexica.

Ἐξ ἄῤῥενος δὲ συντεθεῖσαν μαχλάδα,
Τὴν δοξομανῆ[1] καὶ φιλόχρυσον κόνιν,
Τὴν παρθένον, τὸν ἄνδρα, καὶ τοὐναντίον,
Ὃ μηδὲν ἁπλῶς ἐξ ἑκατέρων μένει,
Νεῦσον πρὸς ἡμᾶς εὐμενῶς τοὺς οἰκέτας,
Ὧν οὐκ ἐκαπήλευσεν οὐδὲν τὴν φύσιν·
Νεύσεις δὲ προσθεὶς τῇ σκέπῃ τοῦ σώματος
Καὶ τὴν καλύπτραν τὴν καλὴν τὴν ὀλβίαν
Τῆς ἡλιώσης καὶ χρυσῆς ὄντως κόμης,
Ὑπὲρ κεφαλῆς εἰσρυέντος τοῦ ψύχους,
Ἀνδρὶ τροφῆς χρήζοντι καὶ πρὸ τοῦ κρύους·
Δεινὸν γὰρ ἡμᾶς ἄνδρας ὄντας εὐψύχους
Ταῖς ἀνδρομόρφοις[2] ἐκνικηθῆναι κόραις.

* XCV. Εἰς ἀμίαντον εἰκόνα τῆς Θεομήτορος.

Ἄφλεκτος ὑπάρξασα πυρφόρος βάτος[3]
Ἄμεμπτος εἰς ἄχραντον ἐξέσθης λίθον·
Πρὸς γὰρ τὸ πῦρ σίδηρος οὐ λίθος μένει·
Κατάσκιον δὲ πάλιν εὑρέθης ὄρος
Τῷ συνδετικῷ[4] τῶν διεστώτων λίθῳ·
Ἐγὼ δὲ πηγὴν εὐτυχῶν τεραστίων
Τῷ τοῦ χρυσαργύρου σε κοσμῶ θριγγίῳ.
Ναὶ κῆπε Χριστοῦ, ναὶ θεόδροσον[5] φρέαρ,

[1] Theod. Lascar. cod. Paris. 3048, fol. 66 r° : Δοξομανία καὶ τῦφος. Theod. Stud. cod. Par. 891, fol. 149 v° : Οὐδ' αὖ διὰ τὸ δοξομανεῖν.

[2] Theodor. Stud. p. 173 : Ἀνδρόμορφον εἰκόνα. Anon. cod. Par. 1087, fol. 162 r° : Ὡς γὰρ καθ' ἡμᾶς ἀνδρομόρφως ὡράθης, Οὕτω καθ' ἡμᾶς ἀνδρομόρφως κἀγράφης, pro καὶ ἐγράφης «etiam pictus es».

[3] Exod. III, 2 sqq.

[4] Sensu morali supra XII, 4 : Ἡ συνδετικὴ σειρὰ τῶν φίλων. Theod. Studit. *Epist.* p. 74 C : Τὸ ἐν ἀλλήλοις συνδετικόν.

[5] Conf. cod. Esc. CLXXXIV, 1.

Τοὺς σοὺς ἀγωγοὺς δαψιλῶς ἀνασ7όμου·
Τῆς ϖίσ7εως γὰρ τὴν χρυσῆν κάλπιν φέρω.

XCVI. Τῷ βασιλέως ἀνεψιῷ τῷ Συργιάννῃ.

Ἑρμῆ[1] σ7ρατηγὲ, τὴν μελανδόχην[2] δέχου·
Καὶ γὰρ τὸ λευκὸν τῆς γλυφῆς ἕλος βλέπεις
Ἐπὶ χρυσῆς ἄντικρυς ἀνθοῦν ἰκμάδος·
Ἴσως ϖαρ' αὐτὴν ὑπ7ιάσας τὴν χλόην
Ἐξ ἀρεϊκῶν ὁ δρομεὺς γίγας ϖόνων
Σκηνὴν λογικὴν εὐφυῶς καθιδρύσεις·
Τοὺς γὰρ καθ' ἡμῶν τεκτονεύεις ϖασσάλους,
* Τομοῖς λογισμοῖς τὰς λαβὰς ἀποξέων·
Κἂν αὖθις ἡμῖν ἀντιπέμψῃς τὴν δόσιν,
Αὐτοὺς ἀδικεῖς λανθανόντως τοὺς λόγους.

XCVII. Εἰς τὸν ἅγιον Ὑπάτιον[3].

Τὴν ὑπάτην ἔχων σε χορδὴν ἐκ βρέφους,
Ὡς ἁρμονικὴν ἐκ Θεοῦ μουσουργίαν,
Εὕροιμι ῥυθμὸν ἐμμελοῦς, μάκαρ, βίου,
Πρὶν τήνδε τὴν νῦν μουσικὴν τοῦ σαρκίου
Πρὸς θραῦσιν ἐλθεῖν ἐξ ἀνάγκης ἐσχάτην·
Τοῦ γὰρ ϖυρὸς δέδοικα τὸν τότε βρόμον.

XCVIII. Τῷ Δομεσ7ίκῳ[4].

* Ὦ τῶνδε τῶν νῦν συμπαθεσ7άτη φύσις
Εἰς τὴν κατασχοῦσάν με τοῦ βίου ζάλην[5],

[1] Conf. cod. Vat. XIII, 3.
[2] Hanc formam ignorant lexica. *De eleph.* 201 : Ἐκ μελανδόχης.
[3] De S. Hypatio cf. Fabric. *Bibl. gr.* X, p. 235.
[4] Cod. Florent. fol. 84. Cod. Mon. fol. 51.
[5] Infra CLVI, 14 : Μετὰ δὲ τὴν ῥέουσαν ἐν βίῳ ζάλην. Id. CXCI, 13 : Τὴν ἐμπαθῆ λύουσα τοῦ βίου ζάλην. Id. CCVII, 10.

Ἀνερμάτισ7όν[1] εἰμι καὶ κοῦφον σκάφος·
Καὶ γὰρ ὕφαλοί τινες ἐν μέσῳ λίθοι
Συγκλῶσι μικροῦ τὴν ϖερίπλευρον τρόπιν,
Καὶ ῥεῖθρον οἰδοῦν ταῖς ὀπαῖς ἐπεισρέον[2],
Αἷς γόμφος οὐδεὶς ϖροσπαγεὶς ἐνεσχέθη,
Σφριγᾷ κατασπᾶν εἰς βυθὸν τὴν ϖορθμίδα.
Σὺ γοῦν ὁ λιμὴν τὴν κυβέρνησιν δίδου
Χρυσοῦν τι βαλὼν ἕρμα· ϖιπ7έτω θράσος·
Ἀμήχανον γὰρ δυσπλοῆσαι[3] τὸ σκάφος,
Εἰ σὺ κυβερνᾷς ὁ χρυσοῦς Δομέσ7ικος.

* XCIX. Ἐκ ϖροσώπου τοῦ κειμένου ϖρὸς τὴν θεομήτορα[4].

Ἐγὼ μὲν εἰς τὸ κλῆμα τοῦ θνητοῦ γένους
Ἄωρον ὠμφάκιζον ἀπὸ τοῦ χρόνου,
Καὶ τὸν λογισμὸν εἶχον εὐθὺς ὀξίνην·
Ὁ σὸς δὲ καρπὸς οὗτος ἐτρύγησέ με,
Κοινὴ βασιλὶς, ἄμπελε ψυχοτρόφε.

C. Ἐκ ϖροσώπου τῆς θεομήτορος εἰς τὸν δεσπότην Χρισ7όν[5].

Ἥλιε φαιδρὲ, μυσ7ικὴν ζέσιν χέας,
Καὶ τῶν ϖαθῶν τὸ σ7ῦφον ἐξαφανίσας,
Πέπειρον αὐτὸν σ7αφυλὴν δεῖξον, Λόγε[6].

86 : Καὶ τοῦ βίου κοίμισον ἡμῖν τὴν ζάλην. Pisides, *De vanit.* v. 39 : Τῇ τοῦ βίου γὰρ κυματούμενος ζάλῃ. Cf. cod. Flor. CXI, 56.

[1] Pachym. p. 201, ed. Boisson. : Κάλαμός ἐσ7ι συντετριμμένος, ὕδωρ ἀσ7άθμητον, ναῦς ἀνερμάτισ7ος. Ibi not. cl. ed.

[2] Cf. infra CCIII, 53.

[3] Eadem metaphora supra LVII, 20 : Τίς ὅρμος ἡμῖν δυσπλοοῦσιν ἐν βίῳ; Georgid. ap. Boisson. *Anecd. gr.* t. 1, p. 5 : Ἄλλοι μὲν εὐπαθοῦσι τῶν Θεῷ φίλων· Ἄλλοι δὲ δυσπλοοῦσιν, οὐδὲν χείρονες. Ubi doct. editor ex Gregor. Naz. varietatem notat εὐπλοοῦσι pro εὐπαθοῦσι. Cod. Flor. CV, 19 : Τοῖς γὰρ ψυχικοῖς εὐπλοοῦντες ἱσ7ίοις.

[4] Cod. Flor. fol. 104.

[5] Cod. Flor. fol. 104, ϖρὸς τόν.

[6] Unus versus omissus videtur.

CI. Ἐκ προσώπου τοῦ δεσπότου Χριστοῦ [1].

Ἰδοὺ χάριν σὴν, μῆτερ ἁγνὴ παρθένε,
Ὁ βότρυς αὐτὸς ὑπὸ τὴν γῆν περκάσας,
Ὡς ἀπὸ ληνοῦ τῆς ἐμῆς ἀφθαρσίας,
Ἕξει τὸ γλεῦκος τῆς τρυφῆς τῆς ἀφθόνου.

CII. Εἰς εἰκόνα τῶν δευτέρων μεγάλων ἱεραρχῶν [2] ὑπὲρ μειρακίου.

Ὁ βροντόπαις [3] τὸν παῖδα τῷ Χριστῷ δίδου,
Ὅταν τὸ τῆς σάλπιγγος ἠχήσῃ στόμα·
Ὁ γρήγορος [4] νοῦς, ἡ θεόφθογγος [5] λύρα,
Βράβευσον ᾠδὴν σωστικὴν τῷ κειμένῳ.

* CIII. Τῷ δεσπότῃ κυρῷ Δημητρίῳ [6].

Εἰ δεσποτικοῖς ἠγλαΐσθης μαργάροις,
Μεγαθύμου [7] λέοντος ἡδὺ σκυμνίον,
Τὸν μαργαρίτην τὸν πολύτιμον φίλει·
Θεὸς γάρ ἐστι καὶ βροτὸς πάντων χάριν,
Ὃς, τῆς νοητῆς ἀστραπῆς ἐκλαμψάσης,
Αἵμασιν ἁγνοῖς ὠστρακώθη παρθένου·
Ποιεῖ δὲ παθῶν τὰς ψυχὰς ἐλευθέρας,

[1] Cod. Florent. fol. 104, qui addit πρὸς τὴν θεομήτορα.

[2] Id est S. Joannes et Gregor. Naz. Conf. infra CXXI.

[3] Supra XVI, 1.

[4] Cf. infra CXXI, 1.

[5] Pisid. *Hexaem.* 78 : Τὴν θεόφθογγον λύραν κρούων ὁ Δαβίδ. Noster, infra CLXXIV, 22 : Ἡ θεόφθογγος φράσις. Cod. Esc. XXIII, 1 : Θεόφθογγον χάριν. *De eleph.* v. 335 : Καὶ γλῶττα (al. γλῶσσα) λαμπρὰ καὶ θεόφθογγε φράδη (cod. φράσις).

[6] Demetrius Despota filius erat Andronici Senioris et frater Joannis.

[7] Niceph. Greg. cod. Paris. 2991 A, fol. 169 r° : Ὥρα σοι λοιπὸν σκοπεῖν ὁπόσον τὸ δεινὸν τοιούτους ἄνδρας ἀδικοῦντι μεγαθύμους τε φάναι. Theodor. Lascar. cod. Par. 3048, fol. 37 r° : Μεγαλοθύμου ἀετοδρόμου μεγάλου βασιλέως Θεοδώρου τοῦ Λάσκαρι.

Καὶ τῆς ἀληθοῦς ἀξιοῖ κραταρχίας,
Ἢ βελτίων ἔμεινε τοῦ κάτω κράτους,
Ὡς θυμοτερπὴς[1] καὶ φθορᾶς ὑπερτέρα.

CIV. Εἰς κάλπιν χρυσῆν τοῦ συγγόνου τοῦ αὐτοκράτορος[2].

Ἰδοὺ χρυσοῦν πῦρ· εἰ μὲν οὖν ὕδωρ φέροι,
Τὸ σῶμα διψῶν εὐπαθῶς ἀναψύχει·
Οἶνον δὲ τῷ χρῄζοντι θερμὸν ἐγχέον
Σκυθρωπότητος ἅπαν ἐξαίρει ψύχος.

CV. Εἰς τὸ τούτου χρυσοῦν ποτήριον[3].

Ὕδωρ τὸ πετρόβλυστον[4] Ἰσραὴλ πίνων
* Γογγυστικὴν ἔπασχεν ὡς δύσνους μέθην·
Σκύμνος δὲ πίνων οἶνον εἰς χρυσοῦν δέπας
Τὸν ἀμπελουργὸν εὐλογεῖ τῶν κτισμάτων.

CVI. Πρός τινα τῶν φίλων[5].

Ὁ τῶν φυσικῶν ἀμπελὼν[6] χαρισμάτων,
Τὸν οἶνον ἡμῖν ὡς ἐπηγγείλω δίδου·
Τὴν γὰρ φιλικὴν εὐφρανεῖς μοι καρδίαν,
Ἀθυμίας ἅπασαν ἐξαίρων μέθην.

CVII. Πρὸς τὸν Βαρδαλῆν[7], ὅτε ἀντέπεμψεν αὐτῷ τὸν Θεόφραστον.

Δέχου παρ' ἡμῶν, ὁ χρυσοῦς αὖθις φίλος,
Τὸ φυλλομανοῦν[8] καὶ χλιδῶν σοι βιβλίον·

[1] Cf. supra LXI, 162.
[2] Cod. Flor. fol. 104.
[3] Cod. Flor. fol. 104.
[4] Hac voce augenda lexica. Cf. cod. Flor. XLIII, 4, ibique notam.
[5] Cod. Flor. fol. 104 v°.
[6] Cf. supra LVI, 37.
[7] Bardales erat Protosecretarius; de quo vide Cantacuz. I, 118, 16, et Boisson. *Anecd. nov.* p. 88, et *Anecd. gr.* t. I, p. 402 et p. 399, ubi cognominatur Leo. Alter erit Manuel Bardales, de quo cod. Esc. CLXII, 8.
[8] Cf. infra CLXXIII, 5.

Τῆς γὰρ Φυσικῆς εἰσρυείσης ἰκμάδος,
Ἡδὺς ὁ καρπὸς τῶν Φυτῶν ἀναβρύει·
Πλὴν οὐ μαρασμὸς ἐκπιέζει τοὺς κλάδους,
Ὅταν τὸ θερμὸν δυσπαθῇ πρὸς τὸ ψύχος·
Ὄμβρον γὰρ ἢ χάλαζαν ἢ πυρὰν θέρους
Ἢ σῆψιν ἢ πῦρ ἢ παρακμὴν ἢ Φθίσιν
Ὁ πυκνὸς οὐ δέδοικε δενδρὼν[1] τῶν λόγων·
Αὔρας δὲ τηρεῖ τοῖς ὀποῖς τὰς ἐκΦύσεις
* Ὁ τοῦ χρόνου ζέΦυρος ἠρέμα πνέων,
Ὡς μηδὲ συκῆς παραΦυλλίδα[2] Φθίνειν.
Ἐγὼ μὲν οὖν τὰ δένδρα τῆς εὐτεχνίας[3]
Πόῤῥωθεν ἐτρύγησα τοῦ νοῦ τῷ ξίΦει·
Σὺ δ' αὖθις αὐτὰ καὶ μετὰ τρύγην ἔχεις
Βρίθοντα Φυῆς εὐθαλοῦς παγκαρπίᾳ·
Καὶ γὰρ ἀσινὲς τῆς πλοκῆς τὸ θριγγίον,
Ὃ χειρὸς ὠργάνωσε κερκὶς ἐν μίτῳ.
Νυνὶ δέ μοι δὸς καὶ τὸν ἈΦροδισέα,
Τὸν χρηστὸν Ἀλέξανδρον[4], ὁ χρηστὸς Φίλος·
Τὸ γὰρ παραπέτασμα τῶν ἀποκρύΦων
Τοῖς συντόνοις ἔλυσε[5] τῆς γλώττης δρόμοις,
Καὶ τὸν περιστέλλοντα τὰς Φύσεις γνόΦον
Ἔλυσεν ἀκμῇ τεχνικῇ μεσημβρίας.
Τούτοις ὑπανοίγω σε θαῤῥῶν τοῖς λόγοις,
Ὃν οἶδα πηγὴν ἐσΦραγισμένην ἔχων,
Ἢ κῆπον ἡδὺν ἢ κεκλεισμένην θίβην.

[1] Conf. cod. Flor. LXXV, 12.

[2] Supra cod. Flor. LXXXI, 11 : Καλαμοειδῆ παραΦυλλίδων σκέπην. *De plantis*, 143 : Καὶ παραΦυλλὶς τῆς Φυῆς ἀποτρέχει.

[3] Cf. supra XXXV, 7.

[4] De Alexandro Aphrodisiensi conf. Fabric. V, p. 650 et sqq.

[5] Fort. alludit ad opus Alexandri : *Physicorum scholiorum per dubitationes et solutiones ad varia Aristotelis loca libri quatuor*. De quo cf. Fabric. *l. c.* p. 661.

CVIII. Πρὸς τὸν αὐτοκράτορα, ὅτε ἐζήτησε διὰ τὸ θέρος εἰς τὸ προάστειον ἐξελθεῖν.

Θέρους ὁ καιρὸς, εὐτρεπεῖς γὰρ οἱ στάχυς,
Καὶ τῆς παρακμῆς ἐντελὴς ἡ λευκότης,
Ἣν θερμὸς ἐκνάφευσε τῇ βλάστῃ χρόνος
Τὴν ἠρέμα θρέψασαν ἐκθλίψας δρόσον,
Μήπως ὁ χιλὸς ἐνσαπῇ ταῖς ἰκμάσι,
Καὶ νεκρὰν ὀργάνωσιν ἡ θρύψις φέρῃ,
Καὶ μηδὲν εἰς σύμπηξιν ἡ κρᾶσις φύῃ,
Τῆς παραγωγῆς δυσπραγούσης τῇ φθίσει.
Καὶ πᾶς γεωργὸς τοῦ λιμοῦ κατατρέχων,
Ὡς ὁπλίτης εὔτολμος εἰς ὥραν μάχης,
Τὸ μηνοειδὲς[1] ἀναχαλκεύει ξίφος,
Ὀδόντας αὐτῷ δραστικοὺς παροξύνων,
Καὶ τῶν ἁμαξῶν τοὺς τροχοὺς περιξέει,
Στεῤῥὰς ἐν αὐτοῖς τεκτονεύων ἀψίδας·
Σφηνοῖ δὲ πυκναῖς τὸν μεσόμφαλον πέδαις,
Ὡς ἂν ὁμαλῶς ἡ στροφὴ πάντα στέγῃ,
Καὶ τοῖς περιττοῖς μὴ κλονῇ τὰ μοχλία.
* Καὶ βοῦς ἀποστὰς τῆς τομῆς τῶν αὐλάκων
Ἐφίσταται δὴ ξυγκλάσων τὰ δράγματα·
Μύρμηξ δὲ μοχθεῖ τῆς ὀπῆς προηγμένος·
Καὶ γὰρ ἀναμὶξ τὴν τροφὴν παρεκλέγει[2],
Καὶ προσφάτους δείκνυσι τοῖς ἔργοις τρίβους,
Ὡς ἂν ὁ χειμὼν εἰσβαλὼν ὑπεκδράμῃ[3]

[1] Agathemer. I, p. 300, ed. Hoffmann: Ἡ δὲ Ὑρκανία, ἤτοι Κασπία θάλασσα, μηνοειδὴς οὖσα.

[2] *De anim.* v. 378: Ἶβις ἐν ἀκταῖς τὴν τροφὴν παρεκλέγει. Id. vs. 1903: Εἰς πάντα χωρεῖ τὴν τροφὴν παρεκλέγων.

[3] Supra LXII, 11: Πόθεν τὸ θερμὸν τῆς φυῆς ὑπεκτρέχον; Cod. Flor. CCXV, 223: Εἶτα πρὸς φῶς ὑπεκδραμὼν ἀγανακτεῖ καὶ κλάει.

Καὶ σῶμα λεπτὸν εὐπαθοῦν μὴ στυγνάσῃ.
Τέττιξ δὲ τὴν ἄμοχθον ἐσθίων δρόσον[1]
Τὸ τῆς τελευτῆς ἐκτραγῳδήσει τάχος·
Καὶ γὰρ φιληδεῖ τῇ σχολῇ πρὸ τῶν πόνων,
Σχολὴν ἑαυτῷ προξενῶν τὴν ἐσχάτην.
Πῶς οὖν, γεωργὲ γνωστικῆς εὐκαρπίας,
Πῶς οὖν, Σολομὼν τοῦ Δαβὶδ παῖς τοῦ πρᾴου,
Καὶ νοῦ δικαστὰ τῆς κλοπῆς τῶν βασκάνων,
Οὐ δυσχερανεῖς τὴν σκιὰν καὶ τὴν κλίνην
Τοῖς μηδὲ τοὺς μύρμηκας ἐκμιμουμένοις,
Ὡς ἂν ἔχοι στέγουσαν ἡ φύσις βάσιν,
Ὅταν τὸ θερμὸν συσταλῇ τῇ καρδίᾳ,
* Ῥιγοῦντος οἰκτρῶς τῷ κρυμῷ τοῦ σαρκίου;
Εἶχον γὰρ ἂν ἥδιστον, αὐτάναξ, βίον,
Εἰ μή τις ἱδρὼς ἐξ Ἀδὰμ ἔκλυζέ με
Πονοῦντος εἰς γῆν οὐκ ἐλευθέραν βάτων·
Νυνὶ δὲ κυκᾷ καὶ στροβεῖ με πᾶς πόνος,
Καὶ τέκνα λυπεῖ, καὶ γυνὴ παροξύνει,
Καὶ παῖς ὑλακτεῖ καὶ φαγεῖν ζητεῖ κρέα,
Τὰ δεσποτικὰ νοστιμώτερα κρίνων·
Ἀλλ' ὡς τὰ πολλὰ συντεμὼν τὸ πᾶν φράσω,
Μύρμηξ ἐγὼ σὸς καὶ πονεῖν θέρους θέλω,
Καὶ πρὸς τὸ σὸν κέλευσμα συνήθως βλέπω.

* CIX. Ἐκ προσώπου τοῦ Ἀτζύμη κυροῦ Γεωργίου[2].

Τῆς εἰσπνοῆς μοι τὰς ποθεινὰς συρμάδας
Σὺ Χριστοφόρε μάρτυς εὐσπλάγχνως[3] δίδως·
Τῆς εἰσπνοῆς δὲ τοὺς ἀκωλύτους πόρους,

[1] Ælian. *Hist. anim.* I, 20 : Καὶ σιτοῦνται μὲν τῆς δρόσου.

[2] Conf. infra CLXXX.

[3] Conf. cod. Flor. LXVI, 21.

Μάκαρ Ἀθηνόγενες [1], ἐκ σοῦ λαμβάνω.
Εἰ μὴ γὰρ εἰσέπνευσα τὴν ὑμῶν χάριν,
Ἄπνους τις ἂν ἦν οὐχὶ δύσπνους ἐκ νόσου.

CX. Ἐκ [2] προσώπου τῆς τοῦ Πορφυρογεννήτου γυναικὸς [3] εἰς τὴν ὑπεραγίαν Θεοτόκον ἐπὶ λυχνίᾳ.

Εὐσπλαγχνίας ἔχουσα, παρθένε, ζέσιν [4]
Τὸ φωταγωγὸν [5] εὐμενῶς δῶρον δέχου·
Τοῦ σοῦ δὲ φωτὸς ἀντιδίδου τὴν χύσιν
Τῷ πορφυρανθεῖ [6] τῷ γλυκεῖ μου συζύγῳ,
Παθῶν ψυχικῶν ἐκδιώκουσα σκότος [7].
Κομνηνοφυὴς ταῦτά σοι Θεοδώρα.

CXI. Αὐθωρὸν εἰς ἀνάγνωσιν.

Ἄσωτον υἱὸν εἰς ἐπίγνωσιν βίου
Καὶ γνωστικὸν καλοῦ τε καὶ φαύλου ξύλον,
Δι᾽ οὗ τὸν Ἀδὰμ ἡ Σατὰν εἷλε πλάνη,
Λογογραφεῖ τὸ πνεῦμα τῷ Χρυσοστόμῳ·
Τοῖς γὰρ δαπανήσασιν εἰκῇ τὸν βίον
Ἐπιστροφῆς δίδωσιν ἐνθάδε τρόπους,
Καὶ δεῖπνα ποιοῦν ἑστιᾷ τοὺς ἀξίους,
Οὓς εἰς τρυφῆς παστάδας οὐ κενουμένας
Εὐγνώμονος λάφυρα ληστοῦ δεικνύει.

[1] De S. Athenogene conf. *Actt. SS.* Jul. tom. IV, p. 216 sqq.

[2] Cod. Flor. fol. 104 v°.

[3] Theodora uxor Michaelis Palæologi et mater Andronici. Conf. Lebeau, *Hist. du Bas Emp.* XI, p. 57.

[4] Inf. CLXXXIV, 18: Ἡ γὰρ ζέσις φλέγει με τῆς προθυμίας. Id. CCXXXIII, 8: Ἐπεὶ ζέσιν ἄσβεστον εὐνοίας ἔχει. Conf. supra XLVIII, 11.

[5] Cod. Par. CCXXVIII, 2.

[6] Supra XXXII, 3: Δημήτριος δὲ πορφυρανθὴς δεσπότης.

[7] Eadem metaphora ap. Jo. Chrysost. *Opp.* t. I, p. 92 B: Ὑπὸ τοῦ πάθους σκοτούμενος.

CXII. Εἰς μανδύλιον[1].

Ὕφασμα λινοῦν τεχνικῶς ἐσ7ιγμένον,
Καὶ σηρικοῖς νήμασιν ἀνθυφασμένον[2],
Καὶ ϖοικίλοις χρώμασι κατηνθισμένον,
Ἔαρ κρεμασ7ὸν[3] ἀντὶ μάκτρου δεικνύει
Χεὶρ ὑπὸ λεπ7οῖς εὐδρομοῦσα δακτύλοις,
* Ὅταν σιδηρότευκτον[4] ὠθοῦσα σ7όμα
Πρὸς τοὺς ἀγωγοὺς τῆς ϖλοκῆς καὶ τοὺς μίτους
Μετρῇ τὸν εἱρμὸν τοῦ σκοποῦ τῇ συνθέσει,
Καὶ ζωγραφῇ τὴν ὥραν ἰκμάδος δίχα,
Μὴ καὶ τὸ ῥευσ7ὸν ϖροσφυῇ τοῖς ἄνθεσιν·
Ἵνα δὲ μᾶλλον εὐγενίσῃ τὴν χάριν,
Περὶ τὸ λευκὸν τὴν καλὴν βλάσ7ην γράφει,
Καὶ δείκνυσι ϖῶς εἰς τὸ τοῦ ψύχους ϖέρας
Τῆς γῆς τὸ θερμὸν ϖρὸς γονὰς ἀνατρέχον
Ποιεῖ καθαρὰν τῆς τροπῆς τὴν αἰθρίαν.

CXIII. Πρὸς τὸν αὐτοκράτορα.

Ἐμοὶ, βασιλεῦ, καὶ σ7ολὴ καὶ φαιδρότης
Τὸ σὸν μόνον ϖρόσωπον ὀφθὲν εὑρέθη·
Ὑφαίνεται γὰρ τῆς ψυχῆς μου τῇ κρόκῃ

[1] Cf. Ducang. *Glossar. med. græcit.* s. h. v. Vide infra CXXXIV.

[2] Vox addenda lexicis.

[3] Cf. infra CXXXIV, 1.

[4] Meliteniot. vs. 701 : *Τρίτον ἡ σιδηρότευκτος καὶ μονωτάτη ϖύλη.* Aliis ejusmodi compositis ditari possunt lexica : *Καλλίτευκτος*, Anon. *In Pantaleon.* p. 14 : *Οὐ γὰρ εἰς ἑοῦ ϖάτρος* (leg. ex cod. *ἑὸν ϖάρος*) *Οἴκημα καλλίτευκτον εἰσῄει ποτὲ, Νόσ7ον ϖαλιμπόρευτον ἐκ διδασκάλου, Θέλων ϖρὸ τοῦ γέροντος εἰς ϖόδας ϖεσεῖν.* Corrige et leg. ex cod. *ἐκ διδασκάλου Τελῶν κ. τ. λ.* Homerus (*Iliad.* B, 155) dixit *Ἀχαιοῖσιν ὑπέρμορα νόσ7ος ἐτύχθη.* — *Μουσότευκτος*, Cosmas, *Spicil. Rom.* tom. II, p. 214 : *Καὶ μουσόπνευσ7ος ὁ ϖερί τι τῶν τοιούτων δεξιός· μουσότευκτος δὲ ἄγαν ὁ εὔμορφος.* — *Πολύτευκτος*, Ephr.

Χλανὶς ἀγαθῶν εἰς τὸ μέλλον ἐλπίδων,
Ἣν ἡ ῥιγοῦσα καρδία σΊολίζεται,
Χειμῶνος[1] αὐτὴν συμφορῶν δεδευκότος·
Πλὴν ἔσΊι δεινῶς εὐπαθὲς τὸ σαρκίον,
* Ἀφ' οὗ τὸν Ἀδὰμ ὁ φθορεὺς εἷλε φθόνος·
Τῆς γὰρ τιμῆς τὸν ϖέπλον[2] ἐξέδυσέ με,
Καὶ φύλλα συκῆς ϖροσγελῶν ἔῤῥαψέ μοι.
Αὐτὸς δὲ κοσμεῖς, Αὐσονάρχα, τὸ κράτος,
Ὃ λαμβάνεις ἄνωθεν ὡς κοινὴν σκέπην.
Φρονήσεως γὰρ ἠμφιάσω ϖορφύραν
Εὐανδρίας νήμασιν ἐξυφασμένην[3]·
Τῆς σῆς δὲ χειρὸς τῇ κρατίσΊῃ κερκίδι,
Ἣ τὴν σπάθην ϖρόκωπον ὡς νῆτρον φέρει
Καὶ τὸ σΊιβαρὸν ἀντὶ ϖόρπακος δόρυ,
Θεὸς κατ' ἐχθρῶν σΊήμονας νίκης ϖλέκει,
Ὡς ἂν ὑφανθῇ σάκκος αὐτοῖς αἰσχύνης,
Καὶ κόσμος ἡμῖν εὐπρεπὴς ἀντισΊρόφως.
Οὐκοῦν, βασιλεῦ, τὴν ἐμὴν σΊολὴν βλέπων
Ὥσπερ τινὰ γοῦν ἐκτριβεῖσαν τῷ χρόνῳ,

Syr. *Opp.* t. III, p. 191 A : Οὔπω τῆς λαγόνος ἐξενεγκούσας εἰς φῶς τὸ ϖολύτευκτον ἄνθος. Leo Sapiens, cod. Par. 396, p. 665 : Νυκτίφοιτον ϖολύτευκτον εἴδωλον. Adde et Ἐντευκτικός, Theod. Stud. ap. Mai, *Bibl. Patr.* t. VI, p. 375 : Ἐκ τῆς ἐντευκτικῆς ϖρὸς Θεὸν ἀνενδότου ϖήξεώς τε καὶ ϖαρασΊάσεως. Et Ἐπιτευξία, Tzetz. *Allegor. Hom. Il.* Ω, 218 : Πάσας τε (δυνάμεις) καὶ τῆς ἐπιτευξίας.

[1] Conf. cod. Flor. CI, 41.

[2] Supra V, 5 : Πέπλον εὐανδρίας. Infra CXXXIII, 10 : Τῶν ἀρετῶν ὁ ϖέπλος. Cod. Flor. I, 278 : Ἔργων μεγάλων ϖέπλον ἱσΊουργήσασα.

[3] Cf. supra VII, 10. Noster, *De bomb.* 29 : Ὁ δ' ὑποληφθεὶς τοῦ ϖαλιμβίου δόμος Ἀναλυτικοῖς ἐξυφαίνεται σΊρόφοις. Id. *De anim.* 620 : Τὴν βασιλικὴν ἐξυφαίνουσι σΊέγην. German. Cpol. cod. Coisl. 278, fol. 197 v° : Εἰ γὰρ καὶ ϖαλαιός ἐσΊι τῷ χρόνῳ, ἀλλ' ἀδιάῤῥηκτός τις (χιτὼν) καὶ ἄτμητος τῇ δυνάμει τοῦ ἐξυφάναντος ϖατρός. Jo. Stauracius De S. Demetrio, cod. Coisl. 146, fol. 69 r° : Κελεύει ἁλουργίδα οἱ ἐξυφανθῆναι βασιλικήν.

Θάλψον τὸ γυμνὸν καὶ ῥιγοῦν μοι σαρκίον·
Καὶ γὰρ ἔχεις τὸ κλῶσμα τῆς εὐσπλαγχνίας,
Ὃ τείνεται μὲν εἰς χρυσῆν ἱσΊουργίαν[1],
* Ὑφαίνεται δὲ καὶ σΊολίζει τὴν φύσιν,
Ἣν ὁ σκολιὸς ἀπεγύμνωσε δράκων.
Ναὶ, κόσμε κοινὲ τῆς λογικῆς φύσεως,
Ἔνθαλπε καὶ φώτιζε καὶ σΊόλιζέ με·
Ἡ γὰρ βασιλὶς τῶν τροπῶν σε τοῦ χρόνου
Πρὸς τοῦτο κινεῖ συντονώτερον πάλιν,
Ἣ πάντα κοσμεῖ τῇ χλιδῇ τῆς αἰθρίας.
Τίς γὰρ θεωρῶν οὐρανοῦ κάλλος νέον,
Ἢ γῆς μαλακὴν ὡς ἐπὶ θρύψει σκέπην,
Ἢ κυμάτων ἄτυφον ἀνθρώποις χύσιν,
Ἢ φύλλα φυτῶν, ἢ καλιὰς ὀρνέων,
Ἢ προσφάτους πΊέρυγας, ἢ κτηνῶν τρίχας,
Τὸν δημιουργὸν ὡς θεὸν μὴ θαυμάσει;
Τίς δ' οὐχὶ καὶ σὲ τὸν θεοῦ σΊεφηφόρον
Φιλῆν ἔαρ φέροντα χιτώνων βλέπων;

CXIV. Εἰς[2] παναγιάριον ἀργυροῦν ἔχον μέσον κύκλον χρυσοῦν, ἐν ᾧ ἦν ἰνοκοπητὸν[3] ἡ ὑπεραγία θεοτόκος.

Ὁ δίσκος ἐσΊὶν οὐρανοῦ σχεδὸν τύπος·
Ὡς ἥλιον γὰρ τὸν χρυσοῦν κύκλον φέρει,
* Κέντρον δὲ τὴν γῆν τοῦ θεοῦ τὴν παρθένον,
Ἐξ ἧς ὁ καρπὸς ὁ ψυχοτρόφος βρύει.

CXV. Εἰς παναγιάριον λίθινον, ἐν ᾧ ἦν ἡ θεοτόκος ἡ Πηγή[4].

Ἡ πέτρα τὴν γῆν, ἡ δὲ γῆ φέρει σΊάχυν·

[1] Cf. infra CCII, 1.

[2] Cod. Vat. fol. 182 r° : Εἰς παναγιάριν.

[3] Hac voce augenda lexica. Cf. cod. Flor. CCXXVII.

[4] Cf. supra XI.

Ψυχῶν τροφεὺς, ὁ στάχυς, ἡ γῆ, παρθένος·
Μᾶλλον δὲ πηγὴν ζωτικοῦ ῥείθρου βλέπων
Ἐκ τῆς πέτρας θήλαζε, πιστὲ, τὴν χάριν.

CXVI. Αὐθωρὸν εἰς τὸν λόγον τὸν πρὸς τὸν ἅγιον Φίλιππον.

Σὺ μὲν τετακὼς τὸν θεόπλοκον[1] λόγον,
Ὡς πυκνὸν ἀμφίβληστρον ἁλιεὺς, μάκαρ,
Εἰς τὴν ἄπειρον τοῦ βροτῶν γένους χύσιν,
Ψυχὰς λογικὰς τῆς πλάνης ἀνέσπασας·
Ἐγὼ δὲ λαβὼν ταῖν χεροῖν τὸ βιβλίον,
Καὶ τῷ λογικῷ συλλαβών σε δικτύῳ,
Φίλιππε, καὶ θεὶς εἰς τὸ πῦρ[2] τῆς καρδίας,
Καθάπερ ἰχθῦν ἐκ μυχῶν οὐρανίων,
Τοῖς ἀκροαταῖς δεῖπνον εἰσφέρω ξένον.

CXVII. Αὐθωρὸν εἰς τὸν λόγον τὸν πρὸς τὸν μέγαν Χρυσόστομον.

Μολιβδίνην τὴν γλῶσσαν ἐκ παθῶν ἔχων
* Πῶς ἄρα τολμῶ τὸ χρυσοῦν κροτεῖν στόμα;
Πλὴν συμπαθὴς ἐκεῖνος, ᾧ γλῶττα ξένη,
Καὶ δεῖ με θαρσεῖν ὡς ἐν ἀρχῇ τῷ τέλει·
Πέρας γὰρ οὐδέν ἐστι τῷ μακαρίῳ
Πρὸς τὰς ἀμοιβὰς τῶν ὑπὲρ φύσιν πόνων.

CXVIII. Εἰς τὸν ἐν λίθῳ φύλακα.

Σὺ πνεῦμα καὶ φλὸξ, ἀλλ' ἰδοὺ στὰς οὐ φλέγεις·
Καὶ γὰρ φύλαξ ἔνοπλος ἡμῖν εὑρέθης·

[1] Ducang. *De Invent. cap. Jo. Bapt.* p. 258. Theod. Stud. cod. Coisl. 94, fol. 223 r° : Θεοπλόκοις λόγοις. Ibid. fol. 220 v° : Θεόπλοκον στέφανον. Ibid. fol. 287 r° : Στέφανοι θεόπλοκοι. Jo. Damasc. *Spicil. Rom.* IX, p. 725 : Ἐν τῇ σφενδόνῃ τῶν θεοπλόκων δογμάτων.

[2] Conf. supra IV, 11.

Λύων δὲ παθῶν Μιχαὴλ πάντα γνόφον[1]
Εἰς λίθινον πῦρ ὡς τὸ φῶς ἀνατρέχεις.

CXIX. Εἰς τὸ αὐτό.

Ἀὴρ πεπηγὼς φῶς ὑφεσΊώς μοι βρύων
Ψυχῆς λύει πώρωσιν ἐσκοτισμένης·
Πλὴν τοῦτο καὶ πῦρ οὐχ ὁρῶ δεῦρο φλέγον·
Τοῦ γὰρ λίθου πέφευγε μικροῦ τὴν δρόσον.

CXX. Εἰς τὸ αὐτό.

Πειρασῖὰ Σατὰν, μέχρι καὶ λίθων φύγε·
* Τὸν ἄγγελον γὰρ τὸν διώκτην σου βλέπεις
Εἰς λίθινον φῶς τεχνικῶς ὡπλισμένον·
Εἰ δ' οὐ φύγῃς, φλέξει σε καὶ πῦρ ὢν φλέγον.

CXXI. Εἰς τοὺς τρεῖς ἱεράρχας[2], ὑπὲρ μειρακίου.

Ὁ[3] γρήγορος νοῦς, νοῦν δίδου τῷ νηπίῳ[4]·
Τῶν δογμάτων ἡ βάσις, ἔντεχνον βάσιν·
Λόγων δὲ πυκνῶν τὸ χρυσοῦν σΊόμα, φράσιν[5].

CXXII. Τῷ θαυμασΊῷ Δομεσΐικῳ.

Δισμυρίους μάρτυρας ἓν θῦμα βλέπων,
Φάλαγγα πυκνὴν, ἐκ πυρᾶς ὁμαιχμίαν[6],
Φῶτα προσηνῆ, μυσΊικοὺς ἑωσφόρους,

[1] Infra CXXIV, 6 : Ἐγὼ δὲ παθῶν ἐνδιδύσκομαι γνόφον. Mox malim βρύον.

[2] Cod. Mon. fol. 96 et cod. Florent. fol. 209 v°, sine ὑπὲρ μειρακίου. Conf. supra CCII. Ludit in nominibus SS. patrum, Gregorii Naz., Básilii et Jo. Chrysostomi.

[3] Cod. M. male ἡ γρηγοροῦς ν. Cod. Flor. ἡ γρήγορος. Conf. Boisson. ad Basil. Jun. *Not. des mss.* t. XI, p. 61.

[4] Pro τῷ νηπίῳ cod. Florent. habet τ' Ἀλεξίῳ. Cod. Mon. διδοῦσα λεξίῳ.

[5] Codd. Flor. et Mon. φράσον.

[6] Conf. cod. Flor. LXVIII, 6.

Ἄρτους ἐνοπ7ηθέντας[1] ἀκμαίᾳ ζέσει,
Κρατῆρας ἡδεῖς ἐν ποτῷ ψυχοτρόφῳ,
Ἀναψυχῆς βρώματα, νοσ7ίμους ἅλας,
Λίθους νοητοὺς ἐξ ἀπείρων ἀνθράκων,
Στέφανον ἁρμοσθέντα συνδέσμῳ ξένῳ,
Σειρὰν λογικὴν, εὐπρεπῆ ξυναυλίαν,
Πρέσβεις ἀΰπνους πρὸς Θεὸν πάντων χάριν,
* Δαλοὺς φλόγα τρέφοντας ἐνθέου πόθου,
Πρησ7ῆρας ὀξεῖς, ἂν Σατὰν προσεγγίσῃ,
Γοργοὺς κεραυνοὺς ἐκ νεφῶν ἀποκρύφων,
Ὅταν ἐπαρθῇ δυσμενῶς τὰ τῆς πλάνης,
Τούτους Θεωρῶν, ὁ γλυκὺς Δομέσ7ικος,
Παρακρατεῖς τὸ ῥεῦμα[2] τῆς εὐποιΐας,
Ὃ ῥεῦσαν εὐθὺς τὴν ἐμὴν φλόγα σϐέσει.
Τί τοῦτο μικροῦ καὶ τὸ πῦρ λαλεῖ βρέμον
Τὸ μαρτυρικὸν, ὡς βραδὺς εἶ τὴν δόσιν;
Δριμὺς ὁ καπνὸς[3] τῆς ἐμῆς φεῦ καρδίας.
Χρυσῆς δρόσου[4] ψεκάδας ἐντίνασσέ μοι,
Δι' ὧν μαρανεῖς τῆς λύπης τοὺς ἄνθρακας[5].
Μὴ γὰρ ἐπὶ σοῦ μαρτυρεῖν Φιλῆν δέον,
Ὦ πισ7ὲ Θερμὲ πρὸς Θεὸν, σῶτερ φίλε;

CXXIII. Εἰς εἰκόνα τοῦ σωτῆρος Χρισ7οῦ[6].

Βαϐαὶ χάρις ἄφρασ7ος εἰς ἔμπνουν τύπον·
Θεὸς γάρ ἐσ7ιν, εἰ δὲ καὶ σὰρξ εὑρέθη,

[1] Vox nota ex solo Theophyl. Bulg. vol. III, p. 643. Conf. *Thesaur. Paris.*

[2] Infra CXLIX, 199 : Ἀνασ7ελεῖ τὸ ῥεῦμα τῆς εὐποιΐας. *Caten. in epist. ad Hebr.* p. 587, ed. Cramer : Ἐκεῖνος τὸ ῥεῦμα τῆς πονηρίας ἐξέκοψεν.

[3] Conf. cod. Flor. C, 2.

[4] Conf. cod. Flor. XXXV, 45.

[5] Conf. supra XXXI, 2.

[6] Sic recte in cod. Vat. fol. 183 r°. Male cod. Paris. : Εἰς εἰκ. τῆς Θεομήτορος.

* Τοῦτ' αὐτὸ κατέπληξε καὶ τοὺς ἀγγέλους·
Ὁρῶ γὰρ αὐτοὺς ἐκτραπέντας εἰς λίθους.

CXXIV. Τῷ κυρῷ Γενναδίῳ.

Υἱὸς σὺ φωτὸς, ἀλλ' ἐγὼ βαθὺ σκότος·
Σὺ μὲν γὰρ ἐξήσΊραψας ἡλίου πλέον
Τὴν πνευματικὴν εὐτρεπίσας λαμπάδα[1],
Μήπως ὁ νυμφὼν εὑρεθῇ κεκλεισμένος,
Ὅταν ἐπισΊῇ τῶν ψυχῶν ὁ νυμφίος·
Ἐγὼ δὲ παθῶν ἐνδιδύσκομαι γνόφον[2]
Καὶ νύκτα[3] δεινὴν συμφορῶν ἀποκρύφων,
Αὐγὰς καθαροῦ μηδαμῶς ἔχων βίου.
Πλὴν πέμπε φωτὸς εὐκτικοῦ μοι λαμπάδα,
Καὶ συχνὸν ὑπέκκαυμα[4] λυχνίας δίδου,
Ὅπερ λίνου σπέρματος ἐκθλίβει λίθος.

CXXVI[5]. Ἐκ προσώπου τοῦ ἀδελφοῦ[6] τοῦ βασιλέως,
πρὸς τὸν μέγαν Δημήτριον.

Εἰς τὰς λαμυρὰς τῶν μύρων σου προσχύσεις
* Ἀφεὶς τὸ σεπΊὸν καὶ διάχρυσον σκάφος,

[1] Figurate. Cf. supra LXIV, 2. Infra CCVII, 89: Εὐεργεσιῶν ἐμβαλών μοι λαμπάδα. *Corp. Inscr.* 2237 : Λαμπὰς ζωῆς. *Ibid.* 3273 : Λαμπὰς νυμφική. Ephræm. *Chronic.* 865 : Καὶ τῆσδε (παρθενίας) φαιδρὰν ἀνάψασα λαμπάδα.

[2] Cf. supra CXVIII, 3.

[3] Supra LXIV, 15 : Δεινὴ γὰρ ἡ νὺξ τῶν ἐμῶν τυρβασμάτων. Conf. cod. Flor. XLIV, 62.

[4] Theoctist. *Sentent.* I : Ὑπέκκαυμα πάθους. German. Cpolit. cod. Coislin. 278, fol. 114 v° : Εἰ δὲ τοῦτο μὲν οὐκ ἔσΊι μηδὲ εἴη ποτὲ, τὸν οἰκεῖον δὲ ἄνδρα πρὸς πόθον πλείονα σὺν ἐπισπωμένη τὰ χρυσᾶ κόσμια ὡς ὑπεκκαύματα τούτῳ προβάλλῃ.

[5] Carmen CXXV jam supra editum ex cod. Esc. Vid. I, p. 136, CCLXXX. Habet et cod. Flor. fol. 225 r°, cum titulo : Εἰς τὴν πάλην τοῦ ἁγίου ΝέσΊορος. Incipit : Ναὶ σφάζε, pro σφάτΊε.

[6] Theodorus Palæologus, de quo vid. Ducang. *Famil. Byz.* p. 234.

Ὦ τὴν ψυχικὴν συγκομίζω φορτίδα
(Τὴν γὰρ ζάλην[1] δέδοικα τῆς ἁμαρτίας),
Ἔχοιμί σε πρόμαχον ἐν τοῖς κινδύνοις,
Ὡς ἂν διελθὼν εὐμαρῶς μου τὸν βίον
Εἰς τὸν γαληνὸν τῶν ψυχῶν ὅρμον φθάσω.
Θεόδωρός σοι ταῦτα τῷ σΊεφανίτῃ
Παλαιολόγος σύγγονος βασιλέως
Κομνηνοφυὴς εὐσεβὴς ἀνακτόπαις[2].

CXXVII. Εἰς εἰκόνα τοῦ σεβασΊοκράτορος[3] ἐκείνου καὶ τῶν αὐτοῦ.

Τί μὴ καθαρὸν καὶ πολὺν χρυσὸν χέας
Ποιεῖς ἐλατὰς ὁ γραφεὺς τὰς εἰκόνας;
Τί μηδὲ λίθων ὁρμαθοὺς ὑπερτίμων
Πυκνῶς ἐπ' αὐτῶν συντεθέντας δεικνύεις,
Ἀλλ' ὑπὸ κοινῇ ζωγραφεῖς ταύτας χρόᾳ,
Κοινόν τι δεικνὺς τὸ χρυσοῦν ὄντως γένος;
Τί μηδὲ κοιλοὺς ὀργανώσας τοὺς τύπους
Ἀφῆκας αὐτοῖς καὶ πνοὴν ὡς ἐμψύχοις;
* Ἀλλ' ἔσχε νεκρὰς ἡ γραφὴ τὰς ἐμφάσεις.
Μὴ τῷ θεατῇ σωφρονίζεις τὸν τῦφον,
Χρυσῷ τὸ λιτὸν εὐτελεῖ πάτΊων ξύλον,
Καὶ δημιουργῶν ἐν σκιαῖς τοὺς ὀλβίους,
Ὡς ἂν τὰ κοινὰ ζωγραφῇ σανὶς μία;
Τίς γὰρ θεωρῶν τὸν πολὺν ΚωνσΊαντίνον[4],

[1] Metaphora apud Nostrum frequentissima. Cod. Esc. CLXXXII, 2 : Τὸ τοῦ βίου πέλαγος... Τῇ τῶν λυπηρῶν ἐκταράτΊει με ζάλῃ.

[2] Philes, *De eleph.* 5 : Ὡς φρικτὸς, ὡς εὔτεκνος, ὡς ἀνακτόπαις. Interpr.: «beatus paterna purpura».

[3] De hac dignitate cf. Ducang. *Glossar. med. græc.* s. v. ΣεβασΊοί.

[4] Filius Andronici Palæologi a fratre Michaele Sebastocrator, ac deinde Cæsar dictus, uxorem duxit Branæ filiam; ex quo prognatus Michael Palæologus. Cf. Ducang. *Famil. Byz.* p. 232.

Ἐκεῖνον αὐτὸν τὸν σεβασΊοκράτορα,
Γραφέντα νεκρὸν τῇ σορῷ τῶν λειψάνων,
Οὐχ ὥσπερ εἰκὸς δυσφορεῖ καὶ δακρύει,
Πενθῶν ἀτεχνῶς τὸν γελώμενον βίον;
Ἢ τίς ὅλως ὤνησεν αὐτὸν ἐν βίῳ,
Κἂν ἦν ἀδελφὸς τοῦ κρατοῦντος Αὐσόνων,
Κἂν ἦν σΊρατηγὸς πανταχοῦ σΊεφανίτης;
Πάντως παρελθὼν ὑπὸ τὸν χοῦν ἐκρύβη,
Καὶ κατὰ μικρὸν ἐκλυθεὶς χοῦς εὑρέθη·
Καὶ νῦν σὺν αὐτῇ δυσΊυχῶς[1] τῇ συζύγῳ
Θάλαμον οἰκεῖ φθαρτικῆς παροικίας·
Μετὰ δὲ μικρόν τινα τοῦ βίου χρόνον,
* Καὶ τὸν Μιχαὴλ τουτονὶ προσλαμβάνει,
Τὸν εὐσΊαλῆ γίγαντα, τὴν ξένην φύσιν,
Τῆς φύσεως τὸ θαῦμα τῆς ἀνθρωπίνης,
Ὃς ὢν ἀγαθὸς ἐκ φιλοσΊόργου τρόπου
Τοῦ πατρὸς ἐφρόντιζε καὶ τεθαμμένου,
Καὶ τὴν σανίδα τῆς γραφῆς ἀποξέσας,
Ὡς ἂν ἐπ' αὐτῇ ζωγραφήσῃ τὸν μέγαν,
Λαθὼν σὺν αὐτῷ νεκρικῶς νῦν ἐγράφη·
Πλὴν ὥσπερ αἰδοῖ τῶν τεκόντων ἐμφύτῳ
Τὸν αὐτὸν οὐκ ἔσΊερξεν αὐτοῖς φεῦ τάφον,
Ἀλλ' ὑποχωρεῖ καὶ ταφὴν ἔχει μίαν
Τῷ τῆς ἀδελφῆς τῆς καλῆς ὁμευνέτῃ.
Γένοιτο λοιπὸν τοῖς γραφεῖσιν ἐνθάδε
Καὶ πᾶσιν ἁπλῶς τοῖς μεταξὺ κειμένοις
Ὁμοῦ κατοικεῖν τῆς Ἐδὲμ τὸ χωρίον
Θυμηδίαν ἄῤῥητον εὐτυχηκόσι!

[1] Adverbium δυσΊυχεσΊάτως, quo carent lexica, occurrit ap. Ephræm. *Chron.* v. 5008: Ἔπασχον οὐχ ἧτΊον δὲ δυσΊυχεσΊάτως Ἀσιαναὶ κῶμαι.

CXXVIII. Ἐπιτάφιοι εἰς τὸν σεϐασῖοκράτορα.

Σεϐασῖοκράτορ, ἂν θανὼν ἐπαισθάνῃ,
* Στρατοπεδάρχην δεῦρο τὸν μέγαν σκόπει,
Τῆς σῆς θυγατρὸς τὸν γλυκὺν ὁμευνέτην·
Τάχα σὺν αὐτῷ καὶ τὸν υἱὸν εἰ βλέποις,
Τὸν σὸν Μιχαὴλ τὸν πολὺν τὸν γεννάδαν,
Κρινεῖς σεαυτὸν μακαρισῖὸν τοῦ βίου·
Τὸ μὲν γὰρ οἰκεῖν κατὰ ταὐτὸν συγγόνους
Οὐκ ἔσῖι καινὸν, κἂν Δαϐὶδ[1] μέγας κρίνοι·
Τὰ δ' ἄχρι ταφῆς καὶ φθορᾶς καὶ λειψάνων
Γαμϐρὸν συνοικεῖν αὐταδέλφῳ[2] συζύγου,
Σκηνῆς πνιγηρᾶς τοῖν δυοῖν πεπηγμένης,
Ἡ σὴ φύσις ἔδειξεν εὖ μάλα μόνη.

CXXIX. Εἰς τὸ αὐτό.

Δυοῖν σῖρατηγοῖν πανταχοῦ σῖεφανίταιν
Στρατήγιον φεῦ τὴν σορὸν ταύτην βλέπων,
Μὴ θαυμάσῃς, ἄνθρωπε, μηδὲν ἐν βίῳ·
Τῆς γὰρ τιμῆς τὰ πρῶτα τῆς ἀνθρωπίνης
Ἔσϐη παρ' ἀμφοῖν ὑπὸ τὸν κάτω γνόφον·
Ἵππος δὲ πᾶσα καὶ σῖρατὸς καὶ χρήματα
Παρῆλθεν ὡς χνοῦς ἐκριπισθεὶς ἀνέμῳ·
* Καὶ νῦν ὁ πικρὸς τῆς φθορᾶς οὗτος λίθος
Μετὰ τὸ θανεῖν προσφυῶς τούτους φέρει.

CXXX. Εἰς ἐγκόλπιον διάφορα ἔχον ἅγια.

Ἡ σή με σινδὼν καὶ χιτὼν ὁ σὸς, Λόγε,
Τῆς σῆς τε μητρὸς ἡ χλανὶς, καὶ τὸ ξύλον,

[1] Psalm. cxxxii, 1.
[2] Germ. Cpol. cod. 278, fol. 144 v°: Ἐκ τῶν ποιμνίων τὰς αὐταδέλφους ἠγάγετο.

Ὁ τῶν ποδῶν στήριγμα τῶν σῶν εὑρέθη,
Σωτηρίων ἔχουσι μεστὸν ἐλπίδων,
Καὶ προδρομικὰς εὐτυχῶ δεῦρο τρίχας,
Ἀποστολικῶν εὐπορήσας λειψάνων.

CXXXI. Ἐπιτάφιοι εἰς γυναῖκα σώφρονα.

Σὺ μὲν σεαυτὴν ἀῤῥενόφρονα[1] γράφεις·
Τὴν γὰρ φύσιν παρῆλθες ἐκ τῶν πρακτέων.
Ὁ δὲ γραφεὺς ὅλην σε γυναῖκα γράφει·
Ὁ σὸς γὰρ αὐτὸν ἐκνικᾷ, γύναι, τρόπος·
Οὕτω κρατίστην ἀκριβῶς ἔσχες φύσιν,
Ὡς μηδὲ τεχνῶν εὑρεθῆναι δευτέρα,
Καὶ ταῦτα νεκρὰ καὶ πνοῆς ἀλλοτρία,
Ὅπου γε καὶ τὴν φύσιν αὐτὴν τῶν λόγων
* Τῶν πραγμάτων ἔδειξας εὐτελεστέραν.
Τί γὰρ ἂν ἰσχύσοι τις εἰπεῖν ἐνθάδε
Τὴν ὥραν; ἀλλ' ἐνίκα καὶ τὴν Ἑλένην,
Ἣν ζωγραφοῦσι μᾶλλον Ἑλλήνων λόγοι.
Τὰς τρίχας; ἀλλ' ἦν εὐτελὴς ἡ Βερνίκη[2],
Ἧ φασιν ἄστρον εὑρεθῆναι τὴν κόμην.
Τὸ βλέμμα; καὶ σβέσθητι πᾶν ὄμμα βλέπον,
Ὄμμα κρυβὲν τοσοῦτον εἰς Ἅδου γνόφον.
Τὸ τῶν γνάθων ἔρευθος; ἀλλ' ἦν ὡς ῥόδον[3],
Ὃ τοῦ θέρους ἐλθόντος εὐθὺς ἐψύγη,
Καὶ μὴ πεπανθὲν δυστυχῶς ἀπεῤῥύη.
Τὸ λευκόν; ἀλλ' ἦν ὡς χιὼν εἰς τὸ ζέον,

[1] Vox addenda lexicis. Cod. Florent. LXXIX, 91 : Ἀῤῥενόφρονα κρίνων. Et CX, 2 : Καὶ τῶν ποτε περιφανῶν ἀῤῥενοφρονεστέρα.

[2] De hujus nominis forma conf. *Thesaur.* s. v. Βερενίκη.

[3] Infra CCXLIII, 10 : Ῥόδον γὰρ ἦν ἐκεῖνος, ἀλλ' ἀπεψύγη.

Ἣν οὐ ζέσις ἔλυσεν, ἀλλὰ ψυχρότης.
Τὸ τοῦ σΊόματος γλεῦκος; ἀλλ' ἦν ὡς δρόσος,
Ἣν ἐξ Ἀερμῶν[1] ἡ Δαβὶδ γλῶσσα θλίβει.
Καὶ τί με δεῖ ῥεύσασαν ἐκφράζειν ϖλάσιν,
Παρὸν θεωρεῖν τῆς ψυχῆς σου τὴν χάριν,
Ἧς τὸν ϖλατυσμὸν οὐδ' ὁ ϖᾶς[2] κρύψει χρόνος;
* Ὁ γοῦν Σολομῶν[3] ἀκριβῶς ϖάντα κρίνων,
Ὁ μέχρι τινὸς μαρτυρούμενος μέγας,
Οὐ ῥᾳδίως δίδωσιν εὑρεῖν ἐν βίῳ
Τὴν ἀγαθὴν γυναῖκα τῆς εὐανδρίας,
Ἣ ζώννυται μὲν εὐσΊαλῶς καὶ κοσμίως·
ἈνίσΊαται δὲ καὶ ϖρὸς ὄρθρον τῆς κλίνης,
Ὡς ἐργολαβεῖν[4] εὐφυῶς ἠπειγμένη·
Γυμνοῖ δὲ καὶ τὰς χεῖρας, ὡς αὐτὸς λέγει·
Συχνὰς δὲ ποιεῖ τὰς σΊολὰς τῷ συζύγῳ,
Καὶ τοὺς θεραπεύοντας εὐκαίρως τρέφει.
Εἴ ϖου δὲ τὸν σὸν ἀκριβῶς οἶδε τρόπον,
Εἴρηκεν ἂν μόνην σε φανεῖσαν τάχα
Πασῶν γυναικῶν εὑρεθῆναι βελτίω,
Καὶ τὸν σὸν ἂν ϖροὔθηκε ταῖς ἄλλαις βίον
Εἰς σωφροσύνης τύπον, εἰς ὥρας κρίσιν,
Εἰς ϖᾶν ὁτιοῦν εὐπρεπὲς καὶ συμφέρον.
Οὕτω σε καλεῖν ὁ γλυκὺς ἑωσφόρος
Ἐν τοῖς καθ' ἡμᾶς εὐτυχῶς οἶδε χρόνοις.
* Τὴν γὰρ σιωπὴν[5] κόσμον ἐκτήσω μέγαν·
Τοῖς χείλεσι δὲ τάξιν ἐσΊείλω ξένην·

[1] Psalm. CXXXII, 3.

[2] Cod. male *οὐδ' ὁπᾶς*. Infra CXXXIII, 3 : Ἣν οὐδ' ὁ ϖᾶς δήπουθεν ἐκτρίψει χρόνος.

[3] Proverb. XXXI, 10 sqq.

[4] Cod. Flor. XXX, 13 : Τῶν γὰρ γυναικῶν ἐργολαβοῦσι ϖλέον.

[5] Conf. Sophocl. *Ajax*, 293.

Ὄλϐος δέ σοι πᾶς ἐκ χρυσοῦ καὶ μαργάρου
Καὶ τῶν ἐπὶ γῆς εὐπρεπῶν δῆθεν λίθων,
Πέπλοι τε καὶ χρήματα καὶ κάλλος νόθον,
Πλατὺς γέλως[1], ὅ φασιν, ὀρθῶς ἐκρίθη.
Τοσοῦτον ἦσθα δένδρον εἰς τὸ πᾶν γένος,
Ὁ κῆπος ἐσΊὶ τῷ Θεῷ πεπραγμένος·
Ἀλλ' ἐτρυγήθης, ἀλλ' ἀπετμήθης νέον
Τῇ τῆς τελευτῆς δαπανηθὲν ἀξίνῃ[2]·
Καὶ μὴν ἀτεχνῶς εἰς γονὰς προηγμένον
Ἄκαρπον οὐκ ἔμεινας ἢ ξένον τόκου·
Τὸν γὰρ ἀγαθὸν τῷ σπορεῖ φύεις γόνον,
Καὶ νῦν ἐπ' αὐτὸ τῆς Ἐδὲμ τὸ χωρίον
Μεταφυτευθὲν ἐδροσίσθης ἀφθόνως,
Ὡς ἂν ὁ καρπὸς[3] μὴ ῥυῇ τῶν πρακτέων.
Ἀλλ', ὦ θεατὰ, μὴ σκοπήσῃς τὸν τάφον
* Ὡς τάφον ἁπλῶς, μηδὲ τόνδε τὸν τύπον·
Ἀλλ' ἠρέμα πρόκυψον ἐλθὼν ἐνθάδε,
Καὶ γνῶθι σαυτὸν εὐμαθῶς ἐκ τῆς θέας·
Κἂν γὰρ σιωπᾷ τῆς γυναικὸς τὸ σΊόμα,
Πλὴν ἀλλ' ἔχει δύναμιν ἀῤῥήτων λόγων,
Καὶ γίνεταί σοι τοῦ βίου διδάσκαλος.

CXXXII. Τῷ μεγάλῳ Δρουγγαρίῳ[4].

Σὺ μὲν χαλινοῖς τῷ βασιλέως φόϐῳ
Καὶ παιδαγωγεῖς εὐφυῶς καὶ κοσμίως
Οὐ πῶλον ἁπλῶς, ἀλλὰ δῆμον αὐθάδη,

[1] Cf. Lobeck in Phrynich. p. 471.

[2] Infra CCXLIII, 18 : *Τῆς φθορᾶς ταῖς ἀξίναις*. Cf. supra IX, 14. Theodor. Lascar. ap. Mai. *Bibl. Patr.* t. VI, p. 262 : *Ἡ ἀξίνη τῆς ἀδικίας.*

[3] Cf. cod. Flor. XLIV, 52.

[4] Fort. Ducas Muzalon de quo infra CLVI, 16. Stephanus Muzalon Magnus Drungarius rei militaris (*τοῦ πλωΐμου*) memoratur a Pachymer. t. II, p. 398.

Μήπως Φορὰν ἄτακτον ἡ πόλις ἔχοι.
Τὸν γὰρ λογισμὸν εὐτυχεῖς ἐπισῖάτην
Ἡνιοχῶν τὸ σχῆμα τῆς ἐξουσίας·
Ἐγὼ δὲ ναρκῶν εἰς τὸν ἵππον εὑρέθην·
Οὐ γὰρ χαλινὸς οὐδὲ ῥυτήρ ἐσῖί μοι,
Καὶ πολλάκις δέδοικα τὸν τούτου δρόμον,
Μή που συναρπάσας με καὶ κτείνας λάθοι.
Σὺ γοῦν τὸ Φιμοῦν ὥσπερ ὑπέσῖης δίδου,
* Κάλλισῖε Φίλων καὶ μέγα Δρουγγάριε.

CXXXIII. Τῷ πατριάρχῃ κυρῷ Νίφωνι.

Σὺ μὲν Φέρων τὸ νῆμα[1] τῆς εὐποιΐας
Ἐσθῆτα καινὴν τῇ ψυχῇ διαπλέκεις,
Ἣν οὐδ' ὁ πᾶς[2] δήπουθεν ἐκτρίψει χρόνος·
Μενεῖ γὰρ ἁγνὴ καὶ Φθορᾶς ἐλευθέρα,
Καὶ νυμΦικῆς χλανίδος εὐπρεπεσῖέρα.
Τὸν δὲ χρυσοῦν χιτῶνα τῆς ἐκκλησίας
Σχισθέντα συνδεῖς τῶν Φρενῶν σου τοῖς μίτοις,
Ὃν εἴθε μηδὲν δυσσεβὲς ῥήξοι θράσος.
Ποικίλμασι δὲ πρακτικῆς εὐρυθμίας
Τῶν ἀρετῶν ὁ πέπλος[3] ἐσῖόλισέ σε·
Κοινῇ δὲ κοσμεῖς, πατριάρχα, τὴν Φύσιν,
Καὶ δημιουργεῖς τῆς ψυχῆς τὴν κερκίδα[4],
Στολὴν[5] ἀγαθῶν εἰς τὸ μέλλον ἐλπίδων.
Ἐγὼ δὲ γυμνός εἰμι Φεῦ τῆς αἰσχύνης

[1] Cod. Escur. III, 16 : Πλέκουσά μοι τὸ νῆμα τῆς εὐποιΐας. Cod. Fl. CCXVI, 2 : Τοὺς μίτους ἔνηθε τῆς εὐποιΐας. Ephræmius, vs. 3001 : Μίτος τοῦ βίου. Vid. infra vs. 7, et CXLIX, 56.

[2] Cf. supra CXXXI, 26.

[3] Cf. supra CXIII, 9.

[4] Cf. supra XLVIII, 8.

[5] Simili metaphora cod. Flor. CXXXIV, 17 : Ἢ τὴν σῖολὴν ἔῤῥηξε τῆς εὐεξίας. Pisid. *Hexaem.* 1854 : Στολὴν ἀφθαρσίας.

Καὶ σωματικῶν καὶ ψυχικῶν ἀμφίων·
* Ὁρῶ δ' ἐπὶ σὲ τοῖν δυοῖν τούτοιν χάριν
Τὸ κοινὸν ἐκτρύφημα[1], τὴν κοινὴν σκέπην,
Τὸν εὐμενῆ σωτῆρα τῆς οἰκουμένης.
Ὦ γλῶτλα καὶ νοῦ, μὴ προβῆτέ μοι πλέον·
Τὰς γὰρ χύδην χάριτας ἀντλεῖν οὐκ ἔχω·
Πλὴν οὐδ' ἐφικτὸν, εἰ ῥιγοῖ τὸ σαρκίον,
Εὑρεῖν ἀποχρῶν εἰς τὸ θέλγειν τὸ σ7όμα·
Μᾶλλον δὲ ναρκῶν τῷ κρυμῷ τῆς καρδίας
Ὠδὰς ἀγαθὰς ὀργανοῦν οὐκ ἰσχύω.

CXXXIV. Εἰς μανδύλιον[2].

Κόσμον κρεμασ7ὸν[3] εὐτυχῶν ἐπ' ὀσφύος
Ὅρα τὸ λευκὸν ὡς προῆλθεν ἐκ πόνων,
Εἴ τις ὅλως εἴρηκε βασάνους λίνου,
Δεικνὺς τὸν ἐσμὸν[4] τῶν παθῶν τῶν προσφάτων.
Διέρχεται γὰρ εἰς ὕδωρ, εἰς πῦρ ζέον,
Εἰς ἀέρος κίνησιν, εἰς πῦρ αἰθάλης,
Εἰς συντριβὴν, εἰς θλίψιν, εἰς πλοκὴν μίτων·
Καθίσ7αται δὲ πρὸς τὸ λευκὸν ὃ βλέπεις
* Καὶ γίνεταί σοι μάκτρον ὑφανθὲν πόνῳ.
Τάχα δὲ καὶ σοὶ τῆς ψυχῆς ἡ λευκότης
Γένοιτ' ἂν ἐξ ὕδατος ἀλλὰ δακρύων·
Φλέξει δὲ καὶ τὸ πῦρ σε τοῦ θείου πόθου,
Ὁμοῦ δὲ καὶ τὸ πνεῦμα τῶν σ7εναγμάτων
Εἰς τὴν μεταξὺ συντριβὴν τῆς καρδίας.

[1] Hanc vocem ignorant lexicographi, qui tantum afferunt ἐκτρυφάω. Sed fort. leg. ἐντρύφημα.

[2] Cf. supra CXII.

[3] Supra CXII, 4 : Ἔαρ κρεμασ7όν. Infra CXXXVI, 1 : Χερσὶ κρεμασ7ὸς ἀργυροῦς οὗτος πόλος.

[4] Eadem metaphora, Passio S. Demetrii, Boll. Oct. t. IV, p. 104 : Ἡ φιλαργυρία, ἧς οἱ κλάδοι τῶν παθῶν ὁ ἐσμός.

CXXXV. Εἰς τὸ αὐτό.

Ἐγὼ λίνου σπέρματος εὑρέθην γένος,
Ἐν γῇ δὲ ῥιφὲν καὶ λιπανθὲν εἰς βάθος
Προῆλθον εἰς χλιδῶσαν αὐτίκα χλόην·
Μετὰ δὲ μικρὸν εἰς παρακμὴν ἠγμένον
Πρόῤῥιζον ὡς ὥριμον ἐσπάσαντό με,
Μὴ τῇ παρολκῇ τῆς νοτίδος ἠρμένης
Πέσῃ τὸ φύλλον καὶ ῥυῇ πᾶς ὁ σπόρος,
Καὶ δαπανηθῇ καὶ φρυγῇ μοι τὸ ξύλον,
Καὶ τῶν ἰνῶν τὸ σφίγμα λυθῇ τῷ χρόνῳ.
Πλὴν ἄχρι συχνῶν ἡμερῶν δεδευμένον
Ταῖς ἡλιακαῖς ἐκπυροῦσι λαμπάσιν·
* Ἔπειτα κατακλῶσι καὶ ξαίνουσί με,
Καὶ δακτύλοις νήθουσιν ὑγροῖς αὐτίκα,
Καὶ λεπτὸν εἰς ὕφασμα συμπλέκουσί με,
Καὶ λευκὸν ἐκ μέλανος ὀργανοῦσί με.
Καὶ γὰρ πάλιν ὕδωρ με καὶ πῦρ λαμβάνει,
Καὶ ζῶ μεταξὺ τῶν τοσούτων φεῦ πόνων,
Καὶ γίνομαί σοι μάκτρον ὡς ὁρᾷς, ξένε·
Τάχα δὲ καὶ σὺ, κἂν φρονῇς δήπου μέγα,
Τὸν νοῦν καθαρὸν εὐτυχεῖν οὐκ ἰσχύσεις,
Μὴ βασανισθεὶς τῶν καλῶν ἔργων χάριν.

CXXXVI. Εἰς οἰνοχόην.

Χερσὶ κρεμαστὸς[1] ἀργυροῦς οὗτος πόλος,
Ὧ γίνεται μὲν ὁ κρατὴρ πλῆρες νέφος,
Ὄμβρον δὲ τερψίθυμον[2] ἐγχεῖ τοῖς φίλοις
Ἐπὶ φεραυγοῦς καὶ χλιδώσης αἰθρίας.

[1] Conf. supra cxxxiv.
[2] Cod. Esc. xxvi, 1 : Λιγυρᾷ τῇ φόρμιγγι καὶ τερψιθύμῳ. Meliten. 2440 : Οὕτω τερψίθυμός τις ἦν ἡ τῶν βοτρύων

CXXXVII. Εἰς τὸ αὐτό.

Οἴνου βλέπων, ἄνθρωπε, Φάρμακον μέγα
Πρόπινε τὴν ψύχουσαν ἠρέμα δρόσον,
* Ὡς ἂν τὸ θερμὸν τοῦ ποτοῦ προσλαμβάνων
Χωρὶς ἰατρῶν εὐκραέστερος μένοις.

CXXXVIII. Τῷ Ἀτζύμῃ κυρῷ Βασιλείῳ.

Τὸν σιτοπομπὸν [1] τὸν γλυκὺν τὸν ἐργάτην,
Ὃς οἶδε κοσμεῖν τὴν σπορὰν τῶν πραγμάτων
Ἐκ τῆς λιπαρᾶς τῶν Φρενῶν παγκαρπίας
(Τὸν πανσέβαστον Ἀτζύμην αἰνίττομαι),
Ἐμοὶ θεριστὴν ἐντελοῦς βλάστης δίδου
Τῶν ὑπὸ τὴν βούλησιν αὐτοῦ σπερμάτων·
Καὶ γὰρ ἔχει δρέπανον, εἰ μόνον θέλοι,
Τὸν νοῦν τὸν ὀξὺν εἰς τομὰς ἀγχιστρόφους,
Καὶ τὴν καλὴν γραφίδα τῆς μελανδόχης,
Ὡς ἂν τὸ βαθὺ τῆς σοφῆς γλώττης θέρος
Τροφὴν γεωργηθεῖσαν ἀσπουδεὶ φέροι.

CXXXIX. Πρὸς τὸν αὐτοκράτορα.

Ἃ μὲν βλέπων πόῤῥωθεν ἐστοχαζόμην
* Τῆς νῦν πονηρᾶς ἐκτροπῆς τῶν ἐλπίδων,
Αὐτοκράτορ μέγιστε, τί χρὴ συγγράφειν;
Οὐ γὰρ ἀποχρήσει τις ἐνταῦθα χρόνος,

ψαῦσις. German. Cpol. cod. Coisl. 278, fol. 110 r°: Οὐδὲν τῶν τερψιθύμων τὴν γυναῖκα ἡδύνει. Theodor. Hyrtacen. *Not. des mss.* t. VI, p. 10: Καὶ τερψιθύμου μελῳδίας ἐμφορηθῶ.

[1] Hanc vocem ignorat *Thesaurus*, qui tantum affert σιτοπομπία. Habent σιτοπομπός, sed sine exemplo, *Dictionn. gr.-fr.* ed. Planche et Pillon, et Alexandre. *Synaxar.* Xanthopuli, cod. Paris. 1585, fol. 324 v°: Καὶ τὴν σιτοπομπίαν κωλύσειν ἐπαπειλησάντων.

Κἂν εἰς ἀριθμοὺς ἐκταθῇ δυσευρέτους.
Φοβεῖ δὲ καὶ τὸ πῦρ με τῆς ἀθυμίας,
Μή τινα καπνὸν ἐκδραμεῖν ἀναγκάσῃ,
Καὶ τοῖς λογισμοῖς ἀντιτάξῃ τὴν ζέσιν,
Ἢ τοὺς ἀγωγοὺς τῆς πνοῆς καὶ τῶν λόγων
Εἴρξῃ Φραγέντας εὐχερῶς ἡ πυκνότης.
Ἃ δὲ γράφειν ἄμεινον αὐτὸς ἂν λέγοις·
Τὴν γὰρ ἀπαράμιλλον[1] ἣν ἔχεις Φύσιν
Καὶ τὴν ἀνυπέρβλητον[2] ἣν εὗρες χάριν
Ὁρῶ λογισμῶν τεχνικῶν ὑπερτέρας·
Εἰ δὲ προληφθεὶς ἐν μυχοῖς τυρβασμάτων[3],
Οὓς ἡ κρίσις ὤρυξε τοῦ σοῦ δεσπότου
Σίδηρον ὀργῆς ἐμβαλοῦσα τῇ κτίσει,
Εἴργεις προχεῖσθαι τὸν γλυκὺν ῥοῦν[4] τῶν λόγων,
Μήπως δροσισθῇ τῆς ψυχῆς μοι τὸ ζέον,
* Τί χρή με ποιεῖν; ἠρεμοῦντα μὴ γράφειν;
Ἀλλ' οὐκ ἐφικτόν ἐστιν ἀνθρώπου Φύσει
Πρὸς τὴν τοσαύτην ἀντέχειν περίστασιν.
Κεκράξομαι γοῦν τῆς βοῆς ἠπειγμένης,
Καὶ τῶν Φυσικῶν ἐκτακέντων ὀργάνων,
Τείνας τὰ νεῦρα τῆς γλυφίδος[5] τῶν λόγων·
Τάχα τις ἀτμὸς ἐκδοθεὶς τῶν ἐγκάτων
Τὸ ξηρὸν ἀντίφραγμα τῆς λύπης λύσει.
Ἐγὼ τροφῆς ἄγευστον οὐκ ἔσχον Φύσιν·

[1] Vid. cod. Flor. cxii, 11.

[2] Supra cod. Esc. cxxxix, 4: Ἀνυπέρβλητον βάσιν. Cod. Flor. cxii, 64: Ἀνυπέρβλητον Φύσιν. Et in edit. Wernsd. p. 78: Αἱ πράξεις ἀνυπέρβλητοι. Meliten. 1944: Σχέσιν ἀνυπέρβλητον πρὸς τὸν αὐτοῦ πατέρα. Id. 1971: Οὗτος ἦν ἀνυπέρβλητος κατὰ τὴν ἡλικίαν. Conf. cod. Paris. 892, fol. 2 r°; *Act. SS.* Oct. IV, p. 113, et Sept. VIII, p. 30.

[3] Conf. cod. Esc. ccxiii, 158.

[4] Cf. supra lix, 29.

[5] Nusquam memoratum in re musica. Conf. supra i, 64.

Πηλὸς γάρ εἰμι καὶ ϖαλίνσῖροφος[1] κόνις·
Κἂν μέν τις ἰκμὰς ἐκ τροφῆς μοι ϖηγνύῃ
Τὰ νεῦρα καὶ τὰ χόνδρα καὶ τοὺς ὑμένας
Καὶ τὴν καθ' εἱρμὸν ξυμϐολὴν τῶν ὀσῖέων,
Τοῦ ζωτικοῦ ϖνεύματος ἐσκεδασμένου
Πρὸς τὴν φυσικὴν τῶν μελῶν εὐεξίαν,
Ἢ καὶ τὸν ἁρμόζοντα τῇ κράσει τόνον,
Δι' οὗ τὸ θερμὸν εἰσϐαλὸν τῇ καρδίᾳ
Ζωῆς ἀφορμὰς ὀργανοῖ ϖολυτρόπους,
Ἐν ζῶσι φιλῆς· εἰ δὲ μὴ, τοὐναντίον,
* Ὅταν βιασθὲν ἐκλυθῇ τὸ συνδέον·
Μαραίνεται γὰρ τῆς ψυχῆς ἡ θερμότης,
Κρατύνεται δὲ τῆς ϖνοῆς ἡ ψυχρότης,
Ἀμϐλύνεται δὲ τῶν μελῶν ἡ σῖεῤῥότης,
Σκεδάννυται δὲ τῶν φλεϐῶν ἡ ϖυκνότης[2],
Καὶ κατὰ μικρὸν ἡ φύσις ϖαρέρχεται.
Τί τοῦτο; καὶ ϖῶς; ἀγνοῶ γὰρ τὸν τρόπον.

CXL. Εἰς εἰκόνα τοῦ τιμίου Προδρόμου.

Τὸν Πρόδρομον κήρυκα τοῦ ζῶντος Λόγου,
Τὸν Ζαχαρίου τὸν ϖροφήτην τὸν μέγαν,
Ἄφωνον, ἀλλὰ ζῶντα μικροῦ σε βλέπω.
Ἢ γὰρ ϖάλαι κέκμηκας ἐξ ἀσιτίας,
Ἢ τὴν λαλιὰν ἐγκοπεὶς ἐπεσχέθης·
* Ἡ γὰρ ὑπερφώνησις[3] ἐξέτηξέ σε,
Ὡς οὐδὲ θανὼν τὴν σιγὴν ἐκαρτέρεις·

[1] Supra xiv, 256 : Εἰς τὴν χαμερπῆ καὶ ϖαλίνσῖροφον κόνιν. Pisid. *De vanit.* : Ὁ (leg. ἡ) ϖαλίνσῖροφος κόνις. Germ. Cpol. cod. Coisl. 278, fol. 213 v° : Πράγματι γὰρ οὐχ ὑπῆρξεν ὁ Ἰορδάνης τότε ϖαλίνσῖροφος.

[2] Conf. supra xiii, 9.

[3] Vox addenda lexicis.

Ἢ πᾶσιν ἁπλῶς ὑποδεικνὺς τὸν τόμον
Αὐτὸς νοητῶς προσλαλεῖς τῷ δεσπότῃ·
Τῷ γοῦν Μιχαὴλ πλαισμάτων ζήτει λύσιν.

* CXLI. Τῷ Δομεστίκῳ[1].

Ὕδωρ μὲν ἡδὺ, μὴ κινούμενον χύδην,
Εὔοσμον ἢ πότιμον οὐκέτ' ἂν μένοι·
Νοσεῖ γὰρ ἑστώς· ἡ δὲ τοῦ φίλου φύσις,
Ἂν οὐκ ἔχῃ κίνησιν εἰς χρείαν φίλου,
Νεκρός τις ἐστὶν ἐκ ταφῆς ἀποστρόφου·
Ὡς γὰρ σεσηπὸς καὶ μυδῶν τι σαρκίον
Ἀηδίαν ἄῤῥητον ἀνθρώποις φέρει.
Τῆς σῆς δὲ, πανσέβαστε, χειρὸς ἡ χύσις
Ἄλλοις μὲν ὡς ἔοικεν ἀφθόνως ῥέει·
Εἰσὶ γὰρ ἐν σοὶ καὶ φιλάνθρωποι φλέβες,
Αἳ χρυσοδίνην[2] ὄλβον εἰργάσαντό σε·
Τὸν σὸν δὲ Φιλῆν, τὸν πολὺν φιλατζύμην,
* Παρατρέχει πόῤῥωθεν ἐκλείποντά με·
Στάσιν δὲ τὴν κίνησιν ἐν μέρει βλέπων
Δέδοικα μὴ καὶ σῆψιν ἡ χύσις φέρῃ.
Πλὴν ἐσκιαγράφησα τὴν χρείαν ἅπαξ,
Καὶ ζωγραφῶ τὸ σχῆμα χειρὶ δευτέρᾳ·
Τάχα δὲ καὶ τρὶς ἐγχέω μου τὰς χρόας,
Ὡς ἂν καθαρὸν ὀργανώσω τὸν τύπον.
Εἰ δ' οὖν, ἀποστὰς τοῦ κενοῦς τύπους γράφειν
Οἴσω τὸ λυποῦν καὶ φθερῶ τὰς ἐμφάσεις
Ὡς εἰς τραχυνθὲν ἐγγραφεῖσας πυκτίον.
Ἄριστε πανσέβαστε, συγγίνωσκέ μοι·
Καὶ γὰρ τὸ θαῤῥεῖν ἀπὸ τοῦ στέργειν φέρω.

[1] Id est Atzyme magno Domestico. Conf. v. 12. — [2] Cf. cod. Esc. CXXXVI, 4.

CXLII. Εἰς τὸν τελώνην καὶ τὸν Φαρισαῖον[1].

Ἂν οἶδεν ὑψοῦν μετριάζων ὁ τρόπος,
Καὶ τῦφος ἡμᾶς εὐχερῶς ἀνατρέπειν,
Ἐκ τοῦ τελώνου καὶ Φαρισαίου βλέπω.

CXLIII. Εἰς τὴν ἐξορίαν τοῦ Ἀβραάμ.

Ἐξῆλθεν Ἀδὰμ τῆς Ἐδὲμ καὶ δακρύει·
* Τί, τέκνον Ἀδὰμ, εἰ φρονηθὲν ἐκλάπης,
Πολλῶν ἀγαθῶν ἐκπεσὸν μὴ δακρύεις;

CXLIV. Εἰς τοὺς κεκοιμημένους.

Οὓς, δέσποτα, ζῶν ὡς Θεὸς[2] μεθισΊάνεις,
Ἴθυνον ὡς πρόβατα ποιμὴν εἰς χλόην,
Ὡς ἂν ἀμελχθῇ τῆς τρυφῆς τὸ ζῶν γάλα.

CXLV. Εἰς τὸν ἄσωτον.

Ἄσωτος υἱὸς εὐγενῶς ἐπισΊρέφων
Τῆς πατρικῆς ἔτυχεν εὐνοίας πάλιν·
Ἄσωτε πισΊὲ, δεῦρο, μιμοῦ τὸν τύπον.

CXLVI. Εἰς τὴν προσκύνησιν τοῦ τιμίου καὶ ζωοποιοῦ σΊαυροῦ.

Σταυροῦ παρ' ἡμῖν προσκυνούμενον ξύλον
Τὸ καταραθὲν ἐξ Ἀδὰμ Θραύει ξύλον·
Ὁ γὰρ κόρος παρῆλθεν ἐξ ἀσιτίας.

* CXLVII. Εἰς τὸν τυφλόν.

Ἄνθρωπε, τυφλὸν ὀμματωθέντα βλέπων
Γενοῦ Σιλωὰμ[3] τῇ ψυχῇ σου δακρύσας·
Ὁ γὰρ Ἰησοῦς μυσΊικῶς πάρεσΊί σοι.

[1] Conf. cod. Esc. LIII et LIV. — [2] Prius erat ὁ Θεός. — [3] Joann. IX, 7.

CXLVIII. Εἰς τὰς ᾠδάς.

Ψυχῆς λογισμοὺς ἐμμελεῖς θρηνητρίας[1],
Κοινὲ γλυκασμὲ, συμπαθῶς, σῶτερ, δέχου,
Καὶ παραμυθοῦ δυσφοροῦσαν καρδίαν.

* CXLIX. Πρὸς τὴν δέσποιναν[2].

Ἰοὺ βασιλὶς, καὶ Φιλῆς ἔμπνους πένης·
Καὶ γὰρ περιὼν δυσπραγεῖ καὶ δεικνύει
Καὶ μέχρι λεπτοῦ καὶ ψιλοῦ χαίνει τρύφους,
Ὁ καὶ πρὸ θηλῆς εὐπαθεῖν εἰθισμένος
Ἐξ ἀνακωχῆς καὶ χλιδῆς ἐγγαστρίου.
Τί γοῦν περιττῶν τῷ σπορεῖ δεῖ φροντίδων,
Τοῖς γραμματισταῖς ἐκδοθέντος τοῦ βρέφους;
Μᾶλλον δὲ τί χρὴ μὴ τὸ πῦρ τὸ παμφάγον
Ποθὲν προελθὸν εἰσρυῆναι τοῖς λόγοις,
Παρὸν πρὸ μισθῶν καὶ σχολῆς καὶ μαστίγων
Τρυφῶντα λαμπρῶς ὁντινοῦν μὴ δακρύειν;
* Τί μὴ γεωργὸς εὑρεθεὶς ἐξ ἀρβύλης
Τὸ χῶμα τῆς γῆς ἀντὶ βίβλων ἐσκόπουν;
Οὕτω γὰρ ἂν ἔχαιρον εἰς ὥραν θέρους,
Τὴν χειμερινὴν συγκομίζων ἐλπίδα.
Ἢ πῶς ἐμαυτὸν εἰσπνοὴν[3] ἐζευγμένον
Ἀνεὶς γεωργοῖς γνωστικῶν παιδευμάτων
Εἰς αὔλακας[4] τῆς τεχνικῆς ἠροτρίων;

[1] Theodor. Prodrom. cod. Par. 400, fol. 114 r° : Γυμνὴ γυμνόπους πορευῇ κατὰ τὰς θρηνητρίας.

[2] Cod. Flor. fol. 196 v°, et cod. M. fol. 85, cum hoc titulo : Τοῦ Φιλῆ εἰς ἑαυτόν.

[3] Fort. εἰς πνοὴν ἐζ.

[4] Simili metaphora cod. Escur. CXCI, 47 : Τοῦ βίου τὰς αὔλακας; CCXI, 3 : Τὰς τῆς ψυχῆς αὔλακας ἀρδεύσατέ μοι; CCXIII, 38 : Τραυμάτων αὔλακας. Codex Flor. CCXIII, 141 : Ἡ τῆς τελευτῆς αὖλαξ. Georg. Pisid. *De exped. Pers.* I, 102 : Τοῦ λόγου τὰς αὔλακας.

Καὶ γὰρ ὁ πατὴρ τῷ ζυγῷ τῶν ἐλπίδων
Τὰς ἀναγωγὰς τῆς τριβῆς ἀπευθύνων,
Καὶ μασῖίγων βούκεντρα πολλάκις φέρων,
Τὰς τῶν λογισμῶν ἐγκοπὰς ἐκαρτέρει.
Σπείρω μὲν οὖν τὸ χρῆμα τῶν μαθημάτων,
Ἱδρῶν μεταξὺ καὶ δροσίζων τὸν σπόρον,
Ὡς ἂν πιανθεὶς ἐκφυῇ τῆς καρδίας·
Κομίζομαι δὲ τῆς ἀρᾶς φεῦ τὴν κνίδην,
Ῥυέντος εὐθὺς τοῦ πυροῦ τῶν ἐλπίδων.
Τίς οὐκ ἐπαινεῖ τοὺς νομεῖς τοὺς ἀγρότας,
Οἳ ταῖς ἀμολγαῖς τῆς τροφῆς τῶν ἀρνίων
* Ἐπὶ μαλακῆς ἐντρυφῶσι τῆς πόας,
Καὶ τὰς ὑλακὰς τῶν κυνῶν τῶν συσσίτων
Νυκτὸς φύλακας εὐτυχοῦσιν ἀτρόμους;
Εἴ τις δὲ καὶ πρόχειρος αὐλὸς ἐνθάδε,
Τέρπανδρε, σιγῶν[1] ἀκροῶ τῶν ᾀσμάτων·
Καὶ θάμνος αὐτοὺς εὐθαλὴς ἀναψύχει,
Καὶ ῥεῖθρον ἡδὺ καὶ πνοή τις ἐν θέρει,
Κἂν ὄμβρος ὀξὺς ἐκρυῇ μετὰ κρύους,
Κἂν πνεῦμα, κἂν χάλαζα, κἂν βαθὺς γνόφος,
Ἢ ῥῆγμα γῆς, ἢ τεῖχος, ἢ κλὼν, ἢ λίθος,
Ἢ φρυγάνων σύμπλυξις[2] αὐτοῖς ἡ σκέπη.
Ἐγὼ δὲ ποιμὴν εὑρεθεὶς ἐπὶ ξένης
Μητρὸς γυναικὸς καὶ βρεφῶν προμαζίων,
Νυμφῶν τε χηρῶν καὶ γραῶν καὶ πρεσβύτου,
Καὶ τῶν ἐφεξῆς ἀῤῥένων καὶ θήλεων,
Ἁρμόζομαι φεῦ τῶν ἰάμβων τὴν λύραν
Εἰς τὰς ἐμαυτοῦ συμφορὰς ἀντισῖρόφως,

[1] Cod. Τέρπανδρε σιγῶν, ἀκρ.

[2] Philes, *De plantis*, 174: Ἀνθίσῖαται δὲ τῆς χαλάζης τοῖς λίθοις Ἢ τοῦ σῖέγους σύμπλυξις.

Καὶ τῆς ἀμολγῆς ἐκροφῶ τῶν δακρύων,
* Καὶ ζῶ παροικῶν ὡς κακοῦργος ἢ ξένος·
Φίλος δέ μοι πᾶς γίνεται δάκνων κύων,
Καὶ θὴρ τιθασὸς καὶ φθορεὺς ἂν ἰσχύῃ·
Καὶ γὰρ βασιλεὺς ὁ τροφεὺς τῶν Αὐσόνων,
Πρηστῆρας[1] ὀργῆς ἀφιείς μοι συντόνους,
Τὴν θρεπτικὴν ἔφλεξε τοῦ νέμους χλόην·
Πῶς τῶν ὑφαντῶν μὴ κροτήσω τὸν πόνον,
Λαλοῦσαν αὐτοῖς ἐντινάξας κερκίδα[2],
Καὶ σφίγμα ῥυθμοῦ τεχνικοῖς κλώσας μίτοις[3],
Ἕως ὑφανῶ τὴν στολὴν τὴν ἐκ λόγων;
Ἀμφίστομον γὰρ καὶ παλίνδρομον[4] βέλος,
Γοργῶς παρ' αὐτοῖς τὴν ὑφὴν διατρέχον,
Ὁρῶν ὁ λιμὸς τῆς βολῆς ἀποτρέχει,
Καὶ βόθρος αὐτοῖς καὶ κρεμαστὴρ καὶ βρόχος,
Καὶ σφαῖρα καὶ κτεὶς καὶ ποδῶν μετενθέσεις[5],
Τροφῆς ἀφορμαὶ καὶ βίου κατάστασις.
Ἐμοὶ δὲ χιτὼν δυστυχῶς ὑφασμένος,
Ἢ πέπλος ἀρθεὶς εἰς κρεμάθρας ἐλπίδων,
* Ῥυθμὸς καθαρὸς καὶ γραφὴ νενησμένη,
Καὶ μέτρα πυκνὰ καὶ σφυρῶν ἄτερ πόδες·
Οὔκουν ἐπαχθὴς τοῖς βαναύσοις ἡ σφύρα,
Μᾶλλον δὲ καὶ μογοῦσιν αὐτοῖς ἐμπρέπει·
Τὸ πῦρ, ὁ καπνὸς, ἡ κατ' ὄψιν ἀσβόλη,
Ὁ θερμὸς ἱδρὼς, ἡ λαβὶς, ἡ γυμνότης,
Ἡ δερματίνη μηχανὴ τοῦ πνεύματος,

[1] Cod. Esc. CCXIII, 57 : Πρηστῆρσιν ὀργῆς τὴν καλὴν θήγων σπάθην.
[2] Conf. supra v, 4.
[3] Vid. supra CXXXIII, 1.
[4] Cod. Flor. CXLIV, 1 : Τὸν παλίνδρομον φίλον; CCXV, 135 : Καὶ γίνεται παλίνδρομος καθάπερ ὁ καρκίνος. Idem, ed. Wernsd. p. 76 : Καὶ γίνεται παλίνδρομος ὁ ποταμὸς τῶν κρότων.
[5] Vox addenda lexicis.

Ὁ μύδρος, ὁ θροῦς τῶν ἐπ' ἄκμονος ψόφων,
Καὶ τἄλλα παρ' οἷς εὐπραγοῦσιν ἐκ πόνων·
Ἐμοὶ δὲ πῦρ μὲν, ἡ κατὰ φύσιν ζέσις,
Ἣν ἡ πτερωτὴ μηχανὴ τοῦ πνεύμονος
Ταῖς εἰσαγωγαῖς τῆς πνοῆς ἀναψύχει,
Σίδηρος ἠχῶν ἐκ πυρᾶς, ἡ καρδία·
Ἄκμων, ὁ χάρτης, καὶ λαβὶς, ὁ κάλαμος·
Λέξις δέ τις εὔρυθμος ἐνθάδε, σφύρα·
Τὰς γὰρ περιττὰς ἐξοχὰς ἀπαμβλύνει.
Εἰμὶ δὲ σαφὴς ἀνθρακεὺς ἐκ τῆς θέας·
Καὶ γὰρ ὁ καπνὸς[1] τῆς ψυχῆς ἀνατρέχει.
* Πλὴν ἔστι μοι φλὸξ ὁ πνιγεὺς οὗτος πόνος
Ἱδρῶσι θερμοῖς τὴν περίστασιν τρέφων,
Ἀλλ' οὐ μαρασμῷ συστολῆς ὑποτρίβων,
Ὡς πῦρ ὁ χαλκεὺς ἐκ ῥιπὸς διαβρέχων.
Ποῖ[2] δῆτα πορθμὶς καὶ μολιβδὶς καὶ βόλος,
Καὶ νῆτρον ἁπλοῦν καὶ φυτόπλοκος[3] κάλως,
Καὶ κλῶσμα λινοῦν, καὶ ῥαφὶς ἀπὸ ξύλου,
Καὶ ζῶσμα λιτὸν εἰς ἀνολκὴν κρασπέδων,
Καὶ μάζα, καὶ δᾷς, καὶ τροχίσκοι πίτυος,

[1] Conf. cod. Flor. c, 2.

[2] Fort. leg. ποῦ pro ποῖ.

[3] Hac voce augenda lexica, quibus accedant aliæ in πλοκος desinentes: Ἀγγελόπλοκος, Theod. Stud. cod. Coisl. 94, fol. 239 r° : Ἐξ οὗ καὶ ὁ τῆς δικαιοσύνης σοι στέφανος οὐρανόθεν ἀγγελόπλοκος. — Θεοαπόπλοκος, Anon. cod. Paris. 2420, *De horoscop.* 12. — Θεοϋπόπλοκος, Anon. cod. Parisin. 2506, fol. 5 r° : Ἡ δουλικὰς ἔχουσι πράξεις ἢ θεοϋποπλόκους. — Καλοστιχοπλόκος, Theodor. Prodrom. codex Paris. 396, p. 701 : Τὸ ἐπιθυμοῦν γραμματικοὶ καὶ καλοστιχοπλόκοι. — Καννοπλόκος, S. Ephr. *Opp.* t. II, p. 176 B. — Σωματόπλοκος, Gregor. Naz. cod. Par. 400, fol. 192 v° : Ἡδοναῖς πλεκόμενοι σωματοπλόκοις. Adde Δολοπλοκέω, cod. Par. 1491, fol. 70 v°. — Ἰαμβοπλοκέω, Arsenius, Præf. in Philen, *De animal.* : Κἂν τῷ ἰαμβοπλοκεῖν θαυμαζόμενος. — Λογοπλοκέω, Tzetz. in Hermog. apud Cramer. *Anecd. Par.* t. IV, p. 144.

Ὡς ἂν ἐμαυτὸν καὶ τὰ φίλτατα τρέφω
Ἰχθῦς ἀνασπῶν τῆς νομῆς ἐγκολπίους;
Ἐπεὶ δὲ φασὶ δικτυεῦσι τὸν βίον
Τὸ σῶμα κυκᾶν τῆς χυτῆς ἅλμης πλέον,
Πλευρίτιδας γὰρ καὶ πονηρὰς ἐκκρίσεις,
Καὶ ῥεῦμα λαιμοῖς πνευστιώσης ἀγχόνης
Ἐκ τῆς καθ' ὑγρῶν ἐμβολῆς ἐπεισφέρειν,
Σκυτεύς με λαβὼν εὐφυῶς διδασκέτω
Πῶς δεῖ βρόχον κλώσαντα λεπτὸν ἐκ λίνου,
* Καὶ συὸς ἐνδήσαντα τοῖς ἄκροις τρίχας,
Καὶ κηρὸν ἐντήξαντα καὶ πίσσης μέρος,
Ὀξυστόμῳ δήπουθεν ἐγχειριδίῳ
Βυρσῶν συναιρεῖν εὐτελεῖς ἀποσπάδας,
Καὶ δημιουργεῖν ἐξ ἀνάγκης ἐμβάδας.
Πλὴν ἡ κοπὶς φοβεῖ με, καὶ ταύτης πλέον
Ἡ παντοδαπὴ τῆς βαφῆς δυσοδμία,
Κἂν αἶσχος οὐδὲν τῆς τροφῆς μόνης χάριν
Μελεμβαφεῖς[1] ὄνυχας εἰς χεῖρας φέρειν.
Λαγώτροφος[2] γοῦν εὑρεθεὶς κυνοτρόφος[3]
Δυνήσομαι ζῆν εὐτυχῶς ἢ μετρίως.
Ἀλλ' οὐχ ὁρῶ τὸ κέρδος οὐδ' ἄν τις λέγοι·
Καὶ γὰρ ὁ κίρκος ὀρνίθων δεήσεται,
Βλωμοῦ δὲ καὶ στέατος ἡ κύων, ὅσου·
Ῥήξει δὲ τὸν χιτῶνα πυκνή μοι βάτος
Πρὸς ταῖς κυνικαῖς ἐκδρομαῖς πονουμένῳ·

[1] Pro μελαμβαφεῖς. Cod. Flor. ccxiii, 321 : Μελαμβαφεῖς χιτῶνας ἠμφιεσμένοι. Georg. Pisides, in Heraclium, cod. Vat. 1126, fol. 55 v° : Μελεμβαφὲς πέδιλον. Vide Jacobs. *Lection. Stob.* Ienæ, 1827, in-8°, p. 5. Formam μελέμβαφος adhibet Tzetzes, *Ep.* 68 : Σὺ δὲ μελίπηκτον ἀλλ' οὐ μελέμβαφον ψαθαρὸν ἀπέσταλκας ἐπὶ πίνακος.

[2] Vox addenda lexicis. Sed fort. λαγωφθόρος, — φόνος, vel simile.

[3] Supra 1, 19 : Νομεῖς κυνοτρόφους.

Ῥαγήσεται δὲ τῶν πεδίλων ὁ βρόχος,
Ῥυήσεται δὲ καὶ τὸ πᾶν ἴσως δέρας
* Τοῖς ἐκτιναγμοῖς τῶν ποδῶν καὶ τοῖς λίθοις·
Οὐδεὶς γὰρ ἡμῖν καὶ περὶ κτήνους λόγος,
Τῶν ὑπὲρ ἡμᾶς δυσφορούντων ἱππέων.
Καλὸν φιλῳδὸς καὶ παρὼν στρουθὸς γέρων·
Στομοῖ[1] γὰρ αὐτὸν εἰς τὸ θέλγειν ὁ χρόνος·
Καὶ λίνα λεπτὰ καὶ στροφαὶ γλώττης νέων,
Καὶ κλάσμα συκῆς καὶ σχεδὸν ζῶντες ψάρες,
Καὶ λύγος ἰξῷ καὶ κλοπῇ κεχρισμένος·
Ἢ καὶ πτερυγίζοντες ἐκ ποδοστράβης
Στρουθοὶ νεαλεῖς καὶ προκείμενοι πλάνοι.
Αἱ μὲν γὰρ ᾠδαὶ τῆς ὑποπτέρου λύρας
Τὰς ἀγέλας κηλοῦσι τῶν ἐλευθέρων·
Οἱ φύλακες δὲ τῶν μεμηχανημένων
Αἱροῦσιν ὀξεῖ τὴν καλὴν θήραν δρόμῳ.
Πλὴν, ὦ βασιλὶς, οὐχ ὁ πᾶς ταῦτα χρόνος·
Οὐδ' ἔστιν εὑρεῖν ὁρμαθοὺς ἐσφαγμένων
Ἔαρος, ἢ χειμῶνος, ἢ θέρους ὅλου.
Ζηλῶ μὲν οὐκοῦν τῆς τρυφῆς τὸν ἔμπορον,
* Τὸν κερματιστὴν, τὸν σοφὸν ζυγοστάτην,
Τὸν ἐξ ἀριθμῶν εὐτυχῆ καὶ δακτύλων,
Καὶ τὸν σοβαρὸν καὶ δριμὺν τραπεζίτην,
Εἰ μηδὲ λεπτὸν παρακερδάνας λάθοι·
Πλὴν οὐκ ἐπαινῶ τὰς θαλάσσας, τὰ σκάφη,
Τὸ πειρατικὸν, τὰς πνοὰς, τοὺς κινδύνους,
Καὶ τοὺς κατὰ γῆν δυσμενεῖς ὁδοστάτας,
Καὶ τὰς ἐπαχθεῖς εἰσφορὰς τῶν λημμάτων,
Οἷς οἱ τελῶναι ζῶσι κερκώπων[2] βίον.

[1] Cod. στομεῖ. — [2] Cod. κερκόπων.

Τοὺς τέκτονας δὲ τοὺς κεκανονισμένους
Ἐκ τῆς παρ' αὐτοῖς τεχνικῆς κλεπτουργίας[1],
Ἀπὸ ξύλου πρισθέντος ἡ λόχμη τρέφει·
Καὶ γὰρ σμίλη, τέρετρον, ἀξίνη, πρίων,
Καὶ σπαρτίον κόκκινον ἐκ γῆς ὀστράκων
Ἄλυπον αὐτοῖς ὀργανοῦσι τὸν βίον·
Ἐγὼ δὲ ναρκῶν ὑπὸ τῆς ἀπειρίας
Τεθηγμένον δέδοικα σιδήρου στόμα·
Πλὴν ὅς γε καλῶς οὐδὲ πάτταλον ξέει,
Πῶς ἂν κιβωτὸν τεκτονεύσοι καὶ θρόνον,
Καὶ καταγωγὴν, καὶ τριήρη, καὶ κλίνην;
Ἆρ' οὖν ἰατρῶν ἐκμιμήσομαι κρίσεις,
Πρὸς τὰς ῥυπαρὰς τῶν κλινηρῶν ἐκκρίσεις
Σφυγμοὺς ἐρευνῶν ταῖς λαβαῖς τῶν δακτύλων,
Καὶ φάρμακα δρῶν καὶ ψιλὴν τέμνων φλόγα,
Καὶ δημιουργῶν ἐξεπίτηδες μύθους,
Ὡς ἂν τὸ λυποῦν εὐμαρέστερον μένοι,
Τῆς ἡδονῆς τὰ πλεῖστα χαυνούσης πάθη;
Ἢ τόξα νευραῖς ἐκτενῶ κατὰ Σκύθας,
Καὶ τοὺς ὀϊστοὺς Περσικῇ θήξας ῥίνῃ
Χωρεῖν κατ' ἐχθρῶν ἐκβιάσω τὴν φύσιν;
Τὸ γὰρ σιδηροῦν οὐκ ἐπαχθές μοι κράνος,
Ὅταν ἔχω τρέφουσαν εὐθὺς ἐλπίδα·
Ποθῶ δὲ κοντὸν καὶ νεόσμηκτον[2] σπάθην,
Καὶ τὴν ἀγαθὴν εἰς τὸ σώζειν ἀσπίδα

[1] Hac voce carent lexica, quibus addi possunt: Γαλακτουργία, cod. Coisl. 216, fol. 49 v°. — Ἰσουργία, Cyrill. *Opp.* t. I, p. 361 C: Τὴν πρὸς Ἕλληνας ἰσουργίαν. — Πρωτουργία, Idem, tom. IV, p. 1056 D: Ἰουδαίοις μὲν οὖν τὸ πᾶν τοῦ τολμήματος ἐπιγράψαι τις ἂν, καὶ τὴν τῆς πρωτουργίας εἰκότως ἂν οἶμαι καὶ καλῶς ἀναθείη γραφήν. — Σκαιουργία, Anon. cod. Par. 400, fol. 13 r°: Τί τοῦτο τὸ σύῤῥαμμα τῆς σκαιουργίας;

[2] German. Cpol. cod. Coislin. 278,

Τοῖς ἀρεϊκοῖς ἐνσφαδάζων[1] ἀμφίοις·
* Πλὴν τίς ἰατρὸς ἀσφαλῶς πάντα κρίνει;
Πῶς δ' εὔστοχος πᾶς εἰς τὸ βάλλειν τοξότης;
Ποῖος δὲ νικᾷ πανταχοῦ γῆς ὁπλίτης;
Ἀλλ' εἰ μὲν ἐξῆν ἀπὸ τῆς πείρας κρίνειν,
Τοὺς γὰρ λόγους κρύπτουσιν αἱ περιστάσεις,
Παῖς ἂν ἰατρῶν τοῖς νοσοῦσιν εὑρέθην
Πρὸς οὖρα καὶ κλυστῆρα καὶ τἄλλα βλέπων·
Ἐπεὶ δὲ πολλαῖς ἐντυχὼν βίϐλοις πάλαι
Τῶν φαρμάκων ἔμεινα μὴ γνοὺς τὰς φύσεις[2],
Μισῶ καθαρῶς καὶ τὸ τῶν ὅπλων σέλας,
Καὶ τὴν ἐπὶ τὸν ἵππον εὐελπιστίαν,
Καὶ τοὺς μερισμοὺς τῶν ἐπικτήτων σκύλων·
Ἢ γὰρ φονευτὴς ἐν μάχαις γενήσομαι,
Ἢ καὶ φονευθεὶς ἀθλίως οἰχήσομαι.
Ἥλιε καὶ γῆ, πῶς φέρω τὴν αἰσχύνην;
Εἰ γάρ τις ἀνὴρ εὐφυῶς εἰδὼς γράφειν
Βούλοιτο λοιπὸν ζωγραφῆσαι τὸν βίον,
Οὐκ ἂν παρελθὼν τὸν τροχὸν[3] τῶν πραγμάτων,
* Πεινῶντα Φιλῆν καὶ Φιλῇ τέκνα γράφοι.
Τίς, ὦ βασιλὶς, ἐξ ἀμηχάνων πόρος;
Τί μὴ πτερωθεὶς καὶ διαδρὰς ἐκ μέσου
Τῶν πραγμάτων ἔμεινα χωρὶς ἐν βίῳ;
Ἢ καὶ καθ' ὑγρῶν τὴν σιγὴν ἐκαρτέρουν,
Καὶ τῶν πενιχρῶν εἰστιώμην ἰχθύων;
Ποῖος Γαληνὸς ἀμϐλυνεῖ μοι τοὺς πόνους;

* fol. 222 v°: Καὶ ὡς νεόσμηκτον ἔσοπτρον ἀποτελέσωμεν τὴν ψυχήν. In *Thesauro*, v. Κάτοπτρον ex Constant. *Cærim.* p. 4, 22 indicatur.

[1] Vox addenda lexicis.

[2] Finis hujus periodi excidisse videtur.

[3] Cf. supra LXXXI, 1.

Ποῖος δὲ καμφθεὶς εὐσεβὴς Ἱπποκράτης
Ἀνασῖελεῖ τὸ ῥεῦμα[1] τῆς ἀθυμίας;
Ποῖός με τελχὶν ἐκ βολῆς τεθηγμένης
Παρῆκε νεκρὸν ἀγνοοῦντα τὴν μάχην;
Ποίῳ, χρόνε, φθείρεις με δηλητηρίῳ;
Ὦ φῶτα νυκτῶν εἰς διάσκεψιν λόγων,
Καὶ νύκτες εἰς φῶς τῷ καθεύδειν ἐκ πόνων,
Οἵων με νυκτῶν συγκαλύπῖετε σκότῳ!
Θαλῆς[2] ὁ δεινὸς φυσικοὺς εὑρεῖν λόγους
Συζῆν γυναιξὶ τοὺς σοφοὺς οὐκ ἠξίου·
Τὰς γὰρ περιτῖὰς ἐπῖοεῖτο φροντίδας,
* Μήπως ἐπ' αὐτῶν ὡς ἐπὶ πλοῦ φορτίδων,
Ἀθυμίας λαίλαπος ἀντιπνευσάσης,
Τοῦ νοῦ βαρηθὲν κινδυνεύσῃ τὸ σκάφος[3].
Ἐγὼ δὲ μὴ γνοὺς δυσῖυχῶς ἐπεζύγην,
Καὶ μὴ καταγνοὺς Ἀτῖικῆς λειπανδρίας
Δυοῖν ἀριθμὸν ἐκ μιᾶς παίδων ἔχω.
Κράτης μὲν οὖν ἔπειθεν Ἀρχίππαν[4] λέγων
Αὐτῷ συνοικεῖν τὴν σῖολὴν ἠλλαγμένην,
Ὡς ἡ κυνικὴ δογματίζει σεμνότης·
Ἡ δὲ πρὸς ἡμᾶς δυσφορεῖ τοὐναντίον,
Εἰ μηδὲ καινὸν καὶ χρυσοῦν πέπλον φέροι.
Ὦ Σώκρατες, τί τοῦτο; πῶς ἔτι σῖέγω;
Μετάδος ἡμῖν μὴ φθονῶν τοῦ φαρμάκου.

[1] Cf. supra CXXII, 16.

[2] Vide Diog. Laert. I, 26, et Stob. *Florileg.* ΞΗ, 29 et 34.

[3] Eadem metaphora utitur Theodorus Hyrtac. *Not. des mss.* t. VI, p. 7: Τό τε τοῦ νοῦ σκάφος ἐπὶ πρύμναν ἦλθεν ἀνατετράφθαι. Metaphora apud Nostrum frequentissima. Conf. not. ad cod. Flor. LXXIV, 6.

[4] Non Ἀρχίππα sed Ἱππαρχία dicebatur Cratetis philosophi cynici uxor, cujus vitam scripsit Diog. L. VI, 96. Ibi Menag. Conf. et Boisson. *Not. des mss.* t. XI, p. 33 et sqq.

Ποίας, Ἀρισ7ότελες, ἀνάγκης χάριν
Τὸ Σωκράτους φάρμακον εὐψύχως ϖίνεις
Οὐ συκοφαντῶν συσχεθεὶς ϖερισ7άσει;
Τί δ' οὐχὶ ταὐτὰ καὶ Φιλῆς ϖέπονθέ σοι;
Μή μοι σιδηρᾶν γαλεάγραν τις φέροι·
* Ζηλοῦν γὰρ οὐ χρὴ τὸν σοφὸν Καλλισθένην[1],
Εἰ θὴρ κατ' αὐτοῦ δυσμενὴς ἀφίεται.
Μένιππε[2] καὶ δύσ7ολμε[3] Μητρόκλεις[4] γέρον,
Καὶ κλεινὲ Διόγενες, οὓς ἄγχει βρόχος[5],
Εἰ καὶ θανατῶ, μηδὲ γινώσκοισθέ μοι·
Σπεύσιππε[6], τὸν σκύλακα ῥιπ7εῖς εἰς φρέαρ·
Εἶτα τελευτᾷς δυσθυμῶν[7] ὡς ὁ Κρόνος,
Σκώψαντος αὐτὸν ἐμβριθῶς τοῦ δεσπότου·
Καὶ τίς τελευτὴν οὐ σ7υγεῖ μικροψύχων;
Ποθῶ κυνικὸν οὐκ ἀναίσχυντον βίον,
Τὰς Ἀρκαδικὰς[8] τῆς καλύπ7ρας ἐκτάσεις,
Τὸν εὐτελῆ χιτῶνα τῆς ἀκτησίας,

[1] Diog. L. de Callisthene Olynthio, V, n. 5 : *Δόξας γὰρ Ἑρμολάῳ συμμετεσχηκέναι τῆς εἰς Ἀλέξανδρον ἐπιβουλῆς ἐν σιδηρᾷ ϖεριήγετο γαλεάγρᾳ, φθειριῶν καὶ ἀκόμισ7ος.* Vid. etiam Suidam s. v. Καλλισθένης.

[2] De Menippo Cynico vid. Diog. L. VI, cap. VIII.

[3] Vox addenda lexicis, quibus accedant Θρασύτολμος, Anon. cod. Paris. 2506, fol. 25 r° : *Ἀθλητὰς, θρασυτόλμους, φιλοπολέμους*, et Συντολμητής, Isidor. Pel. I, 292.

[4] Conf. Diog. L. VI, cap. VI.

[5] Diog. L. VI, n. 24 : *Συνεχές τε ἔλεγεν εἰς τὸν βίον ϖαρεσκευάσθαι δεῖν λόγον ἢ βρόχον.* Id. VI, 95, de Metrocle : *Ἐτελεύτα δὲ ὑπὸ γήρως ἑαυτὸν ϖνίξας.* Id. VI, 100, de Menippo : *Πάντων σ7ερηθῆναι καὶ ὑπ' ἀθυμίας βρόχῳ τὸν βίον μεταλλάξαι.*

[6] Speusippum aiunt præ ira catulum in puteum jecisse. De quo cf. Diog. L. IV, 1.

[7] Cf. infra CXCVII, 43.

[8] «Pilei Arcadici et Laconici meminit Dio Prusæus in oratione XXXV. Meminit Laconici et Synesius in orat. de Regno; quos cum pueri in statuis spectarent, eos ludibrio habuisse testatur; propter eorum magnitudinem videlicet.» Menag. in Diog. L. VI, 102.

Τὸν Φοινικοῦν ζωσῆρα[1] τῆς εὐανδρίας,
Καὶ τοὺς τραγικοὺς τῆς κονίσῆρας ἐμβάτας.
Κατείργομαι δ' οὖν, καὶ τοσοῦτον ὄντα με
Ὁ κλαυθμυρισμὸς ἐκνικᾷ τῶν φιλτάτων·
Τὴν γὰρ φύσιν ἄμαχον ἡ σχέσις κρίνει·
Τίς Ἀλκιβιάδης με, τίς δὲ Χαρμίδης,
Καὶ θερμὸς[2] ἀθήνηθεν εἰς οἶκτον Κρίτων[3]
Τοῦ νῦν παρασῖὰς ἐξελεῖται κινδύνου;
Ἀλλ' ὦ βασιλὶς ἐκ θεοῦ κεχρισμένη,
Εὐσπλαγχνίας ἄβυσσε[4] μὴ κενουμένη,
Σὺ δὴ βασιλὶς[5] καὶ Φιλῆς ἔμπνους πένης.

CL. Εἰς θηριακάριον[6].

Ἔχων ἰατρεῖόν σε τὴν χρυσῆν θίβην
Ἀναργύρως ἅπασαν ἐξαίρω βλάβην,
Ὑφ' ἧς τὸ θερμὸν τῶν φλεβῶν ἀποτρέχει·
Τὸ φάρμακον γὰρ σωσῖικὴν ἔχει ζέσιν.

CLI. Εἰς τὸ αὐτό[7].

Ἐνταῦθα σωτὴρ ὁ φθορεὺς πῶς εὑρέθη;
Καὶ γὰρ πάλαι τέθνηκεν, ἀλλ' ἤδη ζέει
Μεταβαλὼν τὴν ψύξιν εἰς θερμὴν κρᾶσιν.
Ὦ πῶς ὁ νεκρὸς δυσμενὴς[8] λύει νόσους!

[1] Conf. cod. Flor. xciii, 8.

[2] *De anim.* 1779 : Καὶ θερμὸν εἰς κίνησιν ἀφροδισίων.

[3] Crito, Atheniensis, Socratis familiaris, de quo Plato in Phædone et alibi.

[4] Cod. Escur. clxxxvii, 1 : Εὐσπλαγχνίας ἄβυσσε καὶ καλῶν χύσις. Similis metaphora, Anon. ap. Cramer. *Anecd. Paris.* tom. IV, p. 327 : Εὐσπλαγχνίας ἄβυσσος οὐ μετρουμένη.

[5] In codd. Flor. et Mon. Τί τοῦτο καὶ πῶς καὶ Φ.

[6] Hanc vocem non exhibet *Glossar. med. et infim. græcitatis*; pro qua infra θηριακὴ in cod. Flor. Vid. *Catal. codd. Esc.* p. 41, ubi θηριακάριν.

[7] Cod. Flor. fol. 208 r° : Εἰς θηριακήν. De eadem re alia tetrasticha in cod. Flor. cciii-ccv.

[8] Cod. Flor. δυσμενεῖς.

CLII. Εἰς τὸ αὐτό.

Ἔνσπονδον[1] ἐχθρὸν εἰς χρυσῆν κρύψας θίβην
Πλουτῶ κρεμαστὸν ἀντιφάρμακον δάκος,
Καὶ σύνθετον πῦρ καὶ διάβροχον ζέσιν
Εἰς νέκταρ ὀπτὸν καὶ λυσίπονον[2] κράσιν.

* CLIII. Εἰς τὸ αὐτό.

Ἐκ τῶν ἀκανθῶν οἶδεν ἡ φύσις ῥόδον,
Ἐκ τῶν ἐχιδνῶν εὗρεν ἡ τέχνη κρᾶσιν
Ἀναιρετικὴν φθαρτικῶν σπαραγμάτων·
Ὦ τίς τοσοῦτον ὄλβον ἐγνώρισέ μοι!

CLIV. Εἰς τὸ αὐτό.

Καταδικασθεὶς τὴν ἐμὴν πτέρναν βλέπειν,
Τί τοῦτο ποιεῖς καὶ προβάλλεις τὸ στόμα;
Ὄφι στυγητὲ, μὴ προβῇς, μηδ' ἐνδάκῃς,
Ἐπεί σε νεκρὸν εἰς τὸ φάρμακον φέρω.

CLV. Εἰς τὸ αὐτό.

Ὁ χρυσὸς ὁ πρὶν ὠχριῶν ὡς ἐκ νόσου
Νῦν ἐστὶν ὡς πῦρ καὶ χλιδῶν κάλλος φέρει·
Μὴ γοῦν τὸν ἰὸν ἐξελῶν τῷ φαρμάκῳ
Παντὸς πάθους ἔμεινε δεινοῦ βελτίων;

CLVI. Ἐκ προσώπου τοῦ μεγάλου Δρουγγαρίου[3] εἰς τὸν τίμιον Πρόδρομον.

Ἔχει μὲν ἡ θάλασσα[4] τοῦ ῥευστοῦ βίου
Πολλὴν καθ' ἡμῶν καὶ σφριγῶσαν τὴν ζάλην·

[1] Cod. ἔνσποδον et mox δάκα.

[2] Cod. Flor. cxx, 4: Κάλπιν λυσιπόνων γέμουσαν φαρμάκων.

[3] Joann. Ducas Muzalon; vid. v. 16.

[4] Eadem metaphora apud German. Cpolit. cod. Coisl. 278, fol. 207 v°: Ὁ

Κυκᾷ γὰρ αὐτὴν ἡ πνοὴ τῶν πραγμάτων
Ὡς ἀσχέτου λαίλαπος ἐμβριθεστέρα·
* Σὺ δὲ ξένον ζέφυρον[1] ἐλπίδων χέων
Σοφῶς κυβερνᾷς τῆς ψυχῆς μου τὸ σκάφος[2],
Μήπως ὁ βυθὸς τῶν κακῶν τῶν ἐν μέσῳ
Αὔτανδρον αὐτὸ συγκαλύψῃ τῷ γνόφῳ.
Οὐκοῦν ἐπί σε τὸν κυβερνήτην βλέπων
Ἐφίσταμαι δὴ τῇ θαλαττίᾳ χύσει
Τὰς βασιλικὰς τεκτονεύων ὁλκάδας,
Ἃς οὐρίῳ πνεύματι καὶ πλησιστίῳ
Στόλον κατ' ἐχθρῶν εὐδραμοῦντα δεικνύοις·
Μετὰ δὲ τὴν ῥέουσαν ἐν βίῳ ζάλην[3]
Εἰς ὅρμον ἡμᾶς πνευματικὸν ἰθύναις.
Ὁμώνυμός σοι ταῦτα Δούκας Μουζάλων[4],
Ὦ λύχνε φωτὸς, καὶ μέγας Δρουγγάριος.

CLVII. Εἴς τινα γνήσιον.

Ἔτι κεχηνώς εἰμι· ποῦ δὴ τὸ τρύφος;
Ἔτι τὸ διψῆν εἰς ῥοὰς τῷ Ταντάλῳ·
Μέχρι τίνος τὸ μέλλον εἰς θνητὴν φύσιν,
Ὦ φιλίας τράπεζα καὶ κρατὴρ[5] λόγων;

CLVIII. Ἐπιτάφιοι εἰς τὸν Ἐφέσου τὸν Χειλᾶν[6].

Ἔφεσος εἰ ζῇ σου παρελθόντος, μάκαρ,

ἐπὶ σωτηρίᾳ τῶν ἀνθρώπων τῇ θαλάσσῃ τοῦ βίου ἐνδημήσας. Cod. Esc. CLXXXII, 2 : Τὸ τοῦ βίου πέλαγος. Cf. etiam cod. Flor. LXXIV, 1.

[1] Cf. supra LIX, 33.

[2] Cod. Esc. CLXXXII, 4 : Σοφῶς κυβερνῶν τῆς ψυχῆς μου τὸ σκάφος.

[3] Cf. supra XCVIII, 2.

[4] Cf. supra CXXXII.

[5] Supra X, 7 : Τὴν τῶν λόγων κύλικα.

[6] Joannes Chilas (vid. infra CLX, 2), metropolita Ephesius, qui ad imperatorem Andronicum Palæologum senio-

Σὺ θαυματουργῶν ἐμψυχοῖς σου τὴν πόλιν·
Σὲ γὰρ ἀνέπνει, κἂν διέστησε φθόνος·
Οὐ νεκρὸς[1] οὖν σὺ, ζῇς δὲ καὶ σώζεις πάλιν[2].

CLIX. Εἰς τὸ αὐτό.

Ἐχρῆν παρ' ἡμῖν οἷσπερ ἐγνώσθης, μάκαρ,
Ἐπιγραφῆναι τῇ σορῷ σου τὸν φθόνον[3],
Ὡς ἂν ὅπως τέθνηκας ὁ ξένος μάθοι·
Πλὴν ἀλλὰ κρυπτὸς, οὐ σαφὴς ἦν ἐν βίῳ.

CLX. Εἰς τὸ αὐτό.

Ἐφεσίων πρόεδρος, ὁ στεφανίτης
Ἰωάννης[4], τὸ θαῦμα τῆς ἐκκλησίας,
Χειλᾶς ἐκεῖνος, ὃς θεῷ δοὺς τὸ στόμα
Κεῖται φθονηθεὶς ὑπὸ βασκάνων γνάθων.

CLXI. Εἰς τὸ αὐτό.

Οὐ σὰρξ ὁ θανὼν, ἀλλὰ νοῦς ἦν ἐξ ὕλης.
Νοῦς δὲ φθορᾶς ἄγευστος οὐκ ἂν ἐῤῥύη·
Πλὴν ὁ φθορεὺς ἔκρυψε καὶ τοῦτον φθόνος,
Ὡς τὴν κάτω ῥέουσαν ὁ χρόνος φύσιν.

CLXI. A.

Ἰδοὺ τελευτᾷ καὶ παρ' ἀνθρώποις λόγος,
* Καὶ νοῦς καθαρὸς τῶν παθῶν διαῤῥέει·
Τὸν κείμενον γὰρ τὸν σοφὸν νοῦν τῶν λόγων
Ὡσεὶ κόνιν ἔκρυψεν εἰς γῆν ὁ φθόνος.

rem scripsit de processione Spiritus S. Cf. Fabric. *Bibl. gr.* XI, p. 655.

[1] Cf. infra CLXIII, 4.

[2] Prius erat πόλιν.

[3] Cf. infra CLXIV, 1.

[4] Idem versus infra CLXVII, 1.

CLXII. Εἰς τὸ αὐτό.

Τὸν Ἰωάννην συμπαθῶς θρηνητέον[1],
Τὸν ἀρχιθύτην[2] δακρύειν νομιστέον,
Ὃς οὐ παρῆλθεν ὡς περιττὸς ἐν βίῳ,
Ἀλλ' ὢν ἀγαθὸς ἔργον εὑρέθη φθόνου.

CLXIII. Εἰς τὸ αὐτό.

Εἰ σάρκινος σὺ, ποῦ σε δακρύειν δέον;
Φυγεῖν γὰρ οὐκ ἔδει σε τὸν κοινὸν νόμον·
Εἰ νοῦς δὲ λεπτὸς, πῶς παρελθὼν ἐκρύϐης;
Οὐ νεκρὸς[3] οὖν σὺ, θαῦμα δὲ ζῶν εὑρέθης.

CLXIV. Εἰς τὸ αὐτό.

Ἔδει γραφῆναι τῇ σορῷ σου τὸν φθόνον[4],
Οὗ μακρὸν ἀγώνισμα θανὼν εὑρέθης·
Ἔζης γὰρ ἂν ἄληκτον ἐν βίῳ χρόνον,
Εἰ μὴ φθὰς αὐτὸς ὑπὸ γῆν ἔκρυψέ σε.

CLXV. Εἰς τὸ αὐτό.

Ἰωάννου θανόντος, ὢ τῆς ζημίας!
Τοὺς πρὶν τελευτήσαντας οὐ χρὴ δακρύειν·
Καὶ γὰρ τὸ κοινὸν ἀγαθὸν τῶν ἐν βίῳ
* Κεῖται παρ' αὐτοῖς εὐτυχοῦσιν ἐν τάφοις.

[1] Greg. Naz. tom. II, p. 31 C nov. edit. : Ὅτι θρηνητέοι μᾶλλον ἡμῖν οἱ κακοὶ τῆς ἔνδον νόσου.

[2] German. Cpolit. cod. Coislin. 278, fol. 204 v° : Ἄνθρωπος δὲ θεὰν ἔλαχε τὴν κοιλίαν καὶ ἀρχιθύτης ταύτης κεχειροτόνηται. Jo. Staurac. in S. Demetrium, codex Coislin. 146, fol. 44 r° : Καὶ κατὰ Θεσσαλονίκην ὁ ἀρχιθύτης ἰδοὺ, καὶ ὁ ὁδηγὸς ἀφανὴς εἰσήει τὴν πόλιν.

[3] Supra CLVIII, 4 : Οὐ νεκρὸς οὖν σὺ, ζῇς δὲ καὶ σώζεις πάλιν.

[4] Cf. CLIX, 2.

CLXVI. Εἰς τὸ αὐτό.

Ἄγρυπνε, μακρὸν ὕπνον[1] ὑπνοῖς ἐνθάδε,
Τὸν ἐν βίῳ δύσοισῖον ἀμείψας πόνον·
Μετὰ δὲ μικρὸν ἐξαναστήσῃ πάλιν,
Ὅπως λάβοις ἔπαθλα τῶν ἄθλων χάριν.

CLXVII.

Ἰωάννης[2], τὸ θαῦμα τῆς ἐκκλησίας,
Κεῖται σιωπῶν ὑπὸ τόνδε τὸν λίθον·
Ἄλλην γὰρ εὑρὼν σύνοδον παρ' ἀγγέλοις
Τὰς συνόδους παρῆλθε τοῦ κάτω βίου.

CLXVII. A.

Κεῖσθαι παρά σοι χάριν εἰκὸς τῷ φθόνῳ·
Ἔργον γὰρ αὐτοῦ σὺ παρελθὼν εὑρέθης·
Ὅμως πλέον ζῇς καὶ θεὸν, μάκαρ, βλέπεις,
Ὃν οὐκ ἐφικτόν ἐστιν ἀνθρώποις βλέπειν.

CLXVII. B. Εἰς ἐγκόλπιον τὸν ἠγαπημένον.

Ὃν εἶχεν ἐγκάρδιον ὁ Χριστὸς φίλον,
Πῶς ἂν ῥυπῶν ἄνθρωπος ἐν στέρνοις φέροι;
Ὅμως τὸ φιλάνθρωπον ἐξ ἑκατέρων,
Κἂν αὐτὸς ὢ κάκιστος ἐξ ἑκατέρων.

CLXVIII. Εἰς δακτύλιον αὐθωρόν.

Ὠχρὸς φονευτὴς, συμφορῶν γέμων πλάνος.
Ἐγὼ σὸς ἐχθρός εἰμι, σὺ δέ μοι φίλος.
Πρὸ τοῦ τέλους ἔχεις με δακτύλου τάφον.
Ἄγει νεκρὸς τὸν ζῶντα, κἂν ὁ ζῶν φέρῃ.

[1] Cf. supra LXXVII, 6. — [2] Idem versus supra CLX, 2.

Ἡ σφενδόνη θέλγητρον ἐν τῷ δακτύλῳ.
Ἐμὲ βλέπων, ἄνθρωπε, μὴ φρόνει μέγα.
Στενοῦ βίου γνώρισμα καὶ φθόνου τύπος
Ἡ σφαιροειδὴς[1] συσΊροφὴ τῆς σφενδόνης.
Ἡ σφενδόνη γνώρισμα τοῦ σΊενοῦ βίου.
Ὁ κόσμος ὠχρὸς, ὁ χρυσὸς πάντως νέκυς.
Χρυσοῦ πλάνης ἄφυκτον ἐν σφαίρᾳ σκότος.
Ἐν σφενδόνῃ δάκτυλος, ἐν χρυσῷ βίος.
Ἄψυχον ἔμπνουν ὡραΐζειν τίς χάρις;
Εἰκῇ, χρυσὲ, πλανᾷς με, κἂν σΊέργῃς τέως.
Ῥεύσεις πρὸς ἄλλον ἐξ ἐμοῦ, καὶ τίς χάρις;
Ὄψιν ὁ χρυσὸς τακεροῦ φέρει φθόνου.
Πόσοι χρυσὸν κρύπΊουσιν ἀνθρώπων τάφοι!
Χρυσῆ κρεμάθρα καρδιῶν ἡ σφενδόνη.
Ἐξ ὠχρότητος τίς ἐν ἡμῖν φαιδρότης;
* Ὅρα, χρυσὸς μέν εἰμι, πλὴν χύδην ῥέω.
Ἥξεις πρὸς ἄλλον, κἂν ἐμὲ σΊέργῃς τέως.
Χθὲς[2] τίνος ἦσθα; νῦν δ' ἐμός· τίνος δ' ἔσῃ;
Εἰ λίπος εἶχες, κέρδος ἂν ἦν σοι πλέον.
Μὴ πρὸς τὰς ἀρχὰς, πρὸς δὲ πᾶν τέλος σκόπει.
Ὤνησά που τρεῖς, ὤλεσα δὲ μυρίους.

[1] Cod. Flor. LXXXI, 15 : Ὡς σφαιροειδεῖς καὶ καταλεύκους ῥάγας. *De eleph.* 95 : Καὶ σφαιρομόρφου ξυμβολῆς εἰργασμένος. Pro σφαιρομόρφου cod. Paris. habet σφαιροειδοῦς, quod minus placet. Meliten. 966 : Σφαιροειδεῖ κυκλοφερεῖ (leg. σφαιροειδῆ κυκλοφερῆ) ταύτην κατασκευάσας. Adverb. σφαιροειδῶς occurrit in carmine *De animal.* 1150.

[2] Idem versus, cod. Flor. XXXIX, 2.

CLXIX. Εἰς τὸ ἅγιον εὐαγγέλιον.

Ἐνταῦθα, πισ7ὲ, τὴν Θεοῦ πόλιν βλέπων
Ἐκ τῶν πυλῶν μάνθανε τὴν σωτηρίαν·
Εἰ δὲ προελθὼν ἐμπορεύσῃ τὴν χάριν,
Ἐν οὐρανοῖς τὸ κέρδος εὑρεῖν ἰσχύσεις.

CLXX. Εἰς τὸ αὐτό.

Τῶν δεσποτικῶν ἐντολῶν τὸ βιβλίον,
Ὃ δυνατοὶ κυκλοῦσιν ὡς Θεοῦ θρόνον,
Ἱλασμὸν ὠργάνωσεν ἐκ χρυσαργύρου
Κομνηνοφυὴς Μακρηνὸς[1] Γεώργιος.

CLXXI. Τῷ μεγάλῳ σ7ρατοπεδάρχῃ.

Σὲ μὲν βασιλεὺς ὁ κρατῶν γῆς φωσφόρος,
Ἀκτῖνα λαμπρὰν ἀφιεὶς πρὸς ἑσπέραν,
* Παρέσχεν ἡμῖν τῶν καλῶν τὴν αἰθρίαν[2]·
Οἰχήσεται γὰρ ὁ κρυμὸς τῶν βαρβάρων
Ῥυεὶς καθ' ἡμῶν ἐκ νεφῶν ψευδορκίου[3]
Καὶ Σικελικῆς δυσμενοῦς ἐπομβρίας.
Ἐγὼ δὲ τῆς σῆς ἐμφορηθεὶς λαμπάδος
Μιμήσομαι μὲν τὴν βοὴν τῶν τετ7ίγων·
Κεκράξομαι δὲ καὶ κροτήσω τὰς νίκας
Πανηγυρικῆς ἡδονῆς ἔαρ[4] χέας·
Ἡ σή με λοιπὸν, ὦ σ7ρατηγὲ, χρησ7ότης
Καθάπερ ἰκμὰς θρεπ7ικὴ δροσιζέτω·
Τηρεῖν γὰρ εἰκὸς τὴν μαγάδα[5] τῶν λόγων,

[1] Macrenus quidam, vectigalium exactor, memoratur ap. Cantacuz. tom. II, p. 279.

[2] Cf. supra XVIII, 122.

[3] Cod. ψευδορκίους ex correctione.

[4] De hac nota metaphora cf. supra XIV, 538.

[5] *De animal.* 498 : Τοὺς ἄρρενας δὲ τῆς γονῆς τῶν τετ7ίγων Ποιεῖ φιλῳδοὺς ἡ μαγὰς τῆς ἰξύος.

Ὡς ἂν ὁ ῥυθμὸς εὐδρομῇ τῆς ἰξύος,
Ὅταν κατ' ἐχθρῶν ἐντινάξῃς τὴν σπάθην,
Ὡς πρὸς χλόην δρέπανον εἰς ὥραν θέρους
Ἀνὴρ γεωργὸς ἐντρυφῶν τῶν ἐλπίδων.

CLXXII. Ἐκ προσώπου τοῦ Φιλαρέτου[1] τῇ θεομήτορι χαριστήριοι.

Εἰ μητρικὴν στείρωσιν εἰς γῆρας λύεις
Τεχθεῖσα τοῦ θανόντος ἀνθρώπου χάριν,
* Καὶ τῶν καλῶν τὴν στεῖραν εὐλογεῖς φύσιν
Τεκοῦσα Χριστὸν τὸν θεάνθρωπον Λόγον,
Τί καινὸν ἂν ἤμειψας εἰς εὐτεκνίαν
Καὶ τὴν καθ' ἡμᾶς ἐν γοναῖς ἀτεκνίαν;
Οὐκοῦν δέχου τὸν παῖδα τὸν σεσωσμένον
Τῇ σῇ δι' ἡμῶν προσπεφευγότα σκέπῃ·
Ἐγὼ δ' ἐμαυτὸν ἀντὶ πάντων εἰσφέρω·
Κοσμῶ δὲ τὴν σὴν εἰκόνα χρυσαργύρῳ
Δεικνὺς ὅσον τὸ φίλτρον ἐκ τῶν μετρίων.
Ἀλλ' ὡς ἄτεκνον ὄντα τὸν σὸν ἱκέτην
Εὔτεκνον ἀπέφηνας, ἁγνὴ παρθένε·
Οὕτω με καὶ νῦν κατὰ τόνδε τὸν βίον
Εὔκαρπον[2] ἀνάδειξον ἐκ τῶν πρακτέων·
Καὶ γὰρ ἄνικμός εἰμι καὶ στεῖρος τέως,
Καὶ τὴν τομὴν δέδοικα τῆς ἀκαρπίας,
Καὶ τὴν ἀπειλὴν τῆς φλογὸς τῆς ἀξύλου·
Κἂν δεύτερον δῷς, κἂν μετὰ τοῦτον τρίτον,
Καὶ τοῦτο σὸν τὸ δῶρον, ὦ κοινὴ χάρις·
* Τῆς φύσεως γὰρ εὐγενίζεις τοὺς νόμους
Ὑπὲρ φύσιν τεκοῦσα τὸν παντεργάτην[3].

[1] Cf. cod. Esc. CXCVIII.
[2] Cf. cod. Flor. XLIV, 52.
[3] Cod. Flor. CCXIII, 170: Ἐν ᾧ πεφιλαλοῦσι τὸν παντεργάτην. Meliten. 1279: Οὗτος γὰρ πλάσμα πέφυκε πρῶτον τοῦ παντεργάτου. Id. v. 1448.

Ὁ Νικόλαος ταῦτά σοι Φιλάρετος
Κἀν τοῖς τύποις εἴρηκε, κἀν τῇ καρδίᾳ.

CLXXIII. Πρός τινα τῶν γνησιωτάτων.

Ἔαρ ἐμὸν σὺ, κἂν ἀτεχνῶς οὐ φθίνῃς·
Οὐ γὰρ ἔχει κίνησιν ἡ σὴ θερμότης
Πρὸς τὸν πολὺν χειμῶνα[1] τῆς ἐμῆς τύχης·
Ἀλλ' ὡς ἐν ἀκμῇ καὶ σφριγᾷς καὶ προσΐθῃς,
Καὶ φυλλομανεῖς[2] τῇ χλιδῇ τῆς καρδίας,
Καὶ καρπὸν εὐπέπαντον[3] ὠδίνεις βρύων,
Ἐπεὶ βασιλεὺς τοὺς χυμοὺς ἀποθλίβει·
Κἀγὼ χελιδὼν ἐκμελὴς ὑπὸ κρύους·
Ἔτι γὰρ ἡ πλέρωσις οὐκ ἔθαλψέ με·
Ἂν δὲ σκεπασθῇ τῇ στολῇ τὸ σαρκίον
Τῆς σῆς ἐναργοῦς εὐπορῆσαν αἰθρίας,
Ὦ φίλτατον φῶς, ὦ ποθεινή μοι θέα,
Καὶ νοῦ καθαρὲ καὶ φύσις ἀσύγκριτε,
* Κεκράξομαι[4] δὴ καὶ τρανώσω τὴν χάριν.

CLXXIV. Αὐθωρὸν εἰς τὸν λόγον τῶν φώτων.

Ἰδοὺ παθῶν ἔρημον ἡ βίβλος φέρει
Καὶ ῥοῦν λογικὸν καὶ παλίνστροφον χύσιν
Ἰορδάνου τὸ ῥεῖθρον ἐκμιμουμένην·
Προέρχεται γὰρ ἐκ φλεβῶν ἐγκαρδίων,
Καὶ πάλιν εἰς νοῦν μυστικῶς ὑποστρέφει·

[1] Conf. cod. Esc. CLXXXIII, 4.

[2] Philes, ed. Wernsd. pag. 58 : *Καὶ φυλλομανοῦν τῇ χλιδῇ τῶν πραγμάτων.* Supra CVII, 2 : *Τὸ φυλλομανοῦν καὶ χλιδῶν σοι βιβλίον.* Cod. Flor. XXX, 8 : *Καὶ φυλλομανῇ καὶ σκιάζῃ καὶ βρύῃ.*

[3] Vox addenda lexicis. Supra LXI, 128 : *Τὸν καρπὸν εὐπέπαντον ἑξῆς δεικνύει.* Cod. Esc. CLXXXIV, 2 : *Καὶ καρπὸν εὐπέπαντον ἀρετῶν φέρον.*

[4] Supra CLXXI, 9 : *Κεκράξομαι δὲ καὶ κροτήσω τὰς νίκας.*

Καὶ γίνεται θάλασσα, καὶ φεύγειν θέλει
Τὴν γνωστικὴν αἴσθησιν ἐξ εὐτεχνίας,
Κἂν ἡ λαμυρὰ τῆς γραφῆς ἐπομβρία
Ποιῇ καθαρὰν ἐν συνέξει τὴν φύσιν·
Βαπτίζεται δὲ τῆς ψυχῆς ἡ γυμνότης,
Ὅταν ἐπιστῇ τῶν παθῶν ἐλευθέρα
Τοῖς καινοποιοῖς τοῦ σκοποῦ καθαρσίοις·
Ἀνάπτεται δὲ καὶ πυρὸς φλὸξ ἐνθάδε,
Καὶ δείκνυται φῶς τῷ σκοποῦντι τὸν λόγον
Ἀναιρετικὸν τῆς ἀκαταληψίας·
Σκαλεύεται γὰρ ἐκ πυράγρας ἐνθέου
* Τῆς ῥητορικῆς τῆς κρατίστης ἡ ζέσις·
Καὶ πνεῦμα λοιπὸν εἰς τὸ πῦρ τοῦτο τρέχει,
Καὶ μαρτυρεῖ τὴν χάριν αὐτῇ τὴν ξένην·
Εἰ μὴ γὰρ ἦν ἐκεῖνο λαλοῦν ἐνθάδε,
Καὶ δημιουργοῦν καὶ προάγον τοὺς λόγους,
Οὐκ ἂν ἀτεχνῶς ἡ θεόφθογγος[1] φράσις
Ἐφ' ὑδάτων ἤχησεν, ὡς Δαβὶδ[2] λέγει.

CLXXV. Πρὸς τὸν αὐτοκράτορα.

Ἐγὼ[3], βασιλεῦ, τἄλλα μὲν πάντα στέγω·
Καὶ γὰρ ἔχω βάναυσον ἐν λύπαις φύσιν,
Ὅταν ὁ καιρὸς καὶ τὸ πῦρ καὶ τὴν σφύραν
Καὶ τοὺς ὑπουργοὺς τῶν κακῶν ἐπεισφέρῃ[4]·
Καὶ γίνομαι φεῦ δυσδιάγνωστος θέα[5],
Τῆς ἀσβόλης ἔσωθεν ἐξωθουμένης[6]

[1] Cf. supra CII, 3.

[2] Psalm. XLV, 3.

[3] Hi versus 1-9 supra inveniuntur XXVIII, 6, ubi Ἥλιε καὶ γῆ pro Ἐγὼ, βασιλεῦ.

[4] Supra τῆς πνοῆς συνεισάγῃ.

[5] Supra δύσμορφος ἐξ ἀθυμίας, sine φεῦ.

[6] Supra ἐκκενουμένης pro ἐξωθουμένης.

Ἐπὶ τὸ λευκὸν τῆς δορᾶς καὶ τὰς φλέϐας·
Καὶ μὴν ὑπ' ἄλλων ἐλπίδων[1] κουφίζομαι·
Τὰς γὰρ ἀμοιϐὰς τῶν πόνων φαντάζομαι·
Τὸ δὲ βλέπειν πόῤῥωθεν εἰς τὰς εἰσόδους
* Καὶ τοὺς ἐπὶ τὸ δεῖπνον εὐτυχηκότας,
Οἷς αὐτὸς ὁ κράτιστος ἐμπνεῖς τοὺς λόγους,
Οὐ τῶν ἀνεκτῶν, οὐδὲ τῶν ἴσων κρίνω.
Ἀλλ', ὦ φύσις εὔσπλαγχνε καὶ ζωηφόρε,
Εἰ μή τι δεινὸν εἰργασάμην ἐνθάδε,
Τὴν τῶν λόγων ἔμπνευσιν ἐγκαίνιζέ μοι,
Καὶ τὸν γλυκασμὸν τῆς ῥοπῆς τῶν ὀμμάτων,
Καὶ πρὸς τὰς εἰσόδους με τὸν δοῦλον κάλει·
Χωρὶς γὰρ αὐτῶν οὐδ' ἀναπνεῖν ἰσχύω[2],
Κἂν μικρὸν ἀπήχημα τολμήσας γράφω.

* CLXXVI. Εἰς τὸν ἅγιον Σάϐαν[3].

Τὰς τοῦ Σατὰν φάλαγγας ὑπόδρα βλέπων
Κάλῳ πτερὸν πόῤῥωθεν ἑλκούσας μάτην,
Καί τινα κραυγὴν ἀφιείσας ἐκ βίας,
Ὡς ἀπὸ νηῶν λῃστρικόν τινα στόλον·
Γελᾷς μεταξὺ κἂν τὸν ἔμπροσθεν χρόνον
Γελαστικὴν τὴν φύσιν οὐκ εἶχες, πάτερ,
Εἰς ἕξιν ἐλθὼν τοῦ πονεῖν καὶ δακρύειν.
Πλὴν ἀλλ' ἐπεκρότησεν εὐθὺς τὰ στίφη,
* Σὺ δ' εἶπας αὐτῶν ἐκγελᾶν τὴν αἰσχύνην,
Εἰ μηδὲ κινεῖν τὸ πτερὸν δύναιντό σοι,

[1] Supra x, 72 : Καὶ ταῖς ἀγαθαῖς ἐλπίσι κουφίζομαι. Theod. Stud. cod. Par. 891, fol. 260 v° : Καὶ ὅλος εἰμὶ προθυμούμενος καὶ εὐφραινόμενος καὶ κουφιζόμενος ταῖς ἐλπίσι.

[2] Hic versus supra xxviii, 24. De voce ἀπήχημα, v. seq., conf. Mai *Bibl. Patr.* tom. VI, p. 417.

[3] Conf. Fabric. *Biblioth. græc.* X, p. 319.

Ὦ νοῦ πτερωθεὶς[1] πρὸς Θεὸν τοῖς πρακτέοις,
Καὶ νῦν σὺν αὐτοῖς εὐθυμῶν τοῖς ἀγγέλοις.

CLXXVII. Εἰς τὸ αὐτό.

Οὐ κνώμενος σὺ τοῦ πτεροῦ τῷ γαργάλῳ
Κινεῖς τὸ θερμὸν εἰς διάχυσιν, πάτερ·
Σχεδὸν γὰρ οὐδὲν τοῦ γελᾶν μέτεστι σοι
Πενθεῖν σεαυτὸν εὐγενῶς εἰθισμένῳ·
Γελᾷς δὲ σεμνῶς πρὸς τὸ δεῖγμα τοῦ πτίλου,
Ἐφ' οὗ τὸ Σατὰν ἀδρανὲς διαβλέπεις.
Πλὴν ὑποχωρῶν ὡς ῥαγεὶς οὗτος κάλως
Τὸ δρᾶμα πενθεῖ συντεθὲν πρὸς αἰσχύνην·
Συμπνίγεται γὰρ τῷ πτερῷ τῆς χάριτος,
Ὦ νοῦ πτερωτὰ τῆς σχολῆς τῆς ἐνθέου.

* CLXXIX[2]. Πρὸς τὸν αὐτοκράτορα[3].

Σός ἐστι Φιλῆς, κἂν σιγᾷ, σὸς, κἂν γράφῃ·
Σός ἐστιν ἀλγῶν, σὸς δὲ καὶ χαίρων πάλιν·
Τί γοῦν τὸ μακρὸν τῆς βραδυτῆτος νέφος,
Ἥλιε, ταῖς σαῖς ἐγχρονίζει λαμπάσιν;

CLXXX. Ἐκ προσώπου τοῦ Ἀτζύμη[4] κυροῦ Γεωργίου πρὸς τὸν ἀρχιστράτηγον.

Ὀξυδρόμου πνεύματος ὑπάρχων φύσις,
Πτεροῖς[5], Μιχαὴλ, τῆς πνοῆς μοι τὸν δρόμον,
Καὶ τὴν πονηρὰν ἐκδιώκεις[6] ἀγχόνην,
Καὶ ψυχαγωγεῖς τὴν ἐμὴν θᾶττον φύσιν.

[1] Cf. supra X, 15.

[2] Carm. CLXXVIII jam editum ex cod. Esc. sub n° CCLXXXVIII.

[3] Cod. Flor. fol. 111 r°.

[4] Conf. supra CIX.

[5] *Corp. Inscr.* n. 3398.

[6] Prius erat *ἐκδιώκοις* et *ψυχαγωγοῖς*.

* CLXXXI. Εἰς τὸν μέγαν Νικόλαον[1].

Ἂν εἰς ὕλην σώματος ἐμπνέων ἔτι
Τερασlίων ἄφρασlον ἐπλούτεις χάριν,
Νῦν πνεῦμα καὶ φῶς ἐν μεθέξει τυγχάνων,
Καὶ νοῦς πlερωτὸς[2] καὶ τρανῶς Θεὸν βλέπων,
Πῶς θαυματουργῶν τοῖς βροτοῖς λήξεις, μάκαρ;
Ἐπεί με λοιπὸν τῆς φυλακῆς ἐῤῥύσω,
Καὶ τῆς φυλακῆς τῶν παθῶν ἐλευθέρου,
Αὐτὸς δὲ σαυτὸν ἀντὶ σώσlρου νῦν δέχου,
Κἀν τῇ ψυχῇ γραφέντα, κἀν τῷ πυκτίῳ·
Καὶ γὰρ ἔχεις δύναμιν οὗ πράτlειν θέλεις.

CLXXXII. Πρὸς τὸν αὐτοκράτορα[3].

Εἰ χρὴ πολιὰν εὐλαβεῖσθαι πρεσβύτου,
Ἰδοὺ πολιᾶς ἡ χιὼν εἶδος φέρει·
Τὴν δὲ προτιθεὶς ἐκταθεῖσαν ὁ χρόνος
Βοᾷ δι' ἡμᾶς τῷ κτύπῳ τοῦ πνεύματος·
Πῶς οὖν, βασιλεῦ, πῶς, Θεοῦ σlεφηφόρε,
Πῶς τὴν πολιὰν αἰσχυνεῖς τοῦ πρεσβύτου;

CLXXXIII. Εἰς παναγιάριον[4].

* Τρυφὴν ἔχων ἄῤῥευσlον ἐκ σοῦ, παρθένε,
Τῆς σωματικῆς οὐ πlοοῦμαι τὸν κόρον·
Σὺ γὰρ γεωργεῖς μὴ σπαρέντα τὸν σlάχυν,
Ὃς οἶδε πισlοὺς μυσlικῶς διατρέφειν.

* CLXXXIV. Πρὸς τὸν αὐτοκράτορα.

Ἐμοὶ, βασιλεῦ, τὴν Σιὼν τὴν ἁγίαν,

[1] Cod. Flor. fol. 111 v°. Vid. Fabric. X, p. 298.
[2] Cf. supra CLXXVI, 11.
[3] Cod. Flor. fol. 111 v°.
[4] Cod. Flor. fol. 111 v°. De eadem re vid. Indicem s. h. v.

Ἐμοὶ, βασιλεῦ, τὴν Σιὼν ἰδεῖν δίδου·
Ποθῶ γὰρ αὐτὴν ὡς Θεοῦ ζῶντος πόλιν·
Ἀσπάζομαι δὲ τῇ ψυχῇ καὶ τὴν κόνιν,
Ἐφ' ἧς Ἰησοῦς ὁ γλυκὺς διατρίβων
Εἰς οὐρανοὺς ἀνῆγε τὴν κάτω φύσιν.
Ἥλιε, φωτὸς ἱλαροῦ δεῖξον χύσιν·
Δεῖ γάρ με φυγεῖν τῶν παθῶν τὴν ἑσπέραν[1],
Ὄρος λιπανθὲν τῇ δρόσῳ τοῦ πνεύματος,
Ὡς ἂν μένοις ἄσειστον εἰς πάντα χρόνον,
Καρποὺς γεωργοῦν κοσμικῆς μοναρχίας,
Τὴν ἐξ Ἀερμὼν[2] ἐν Σιὼν δός μοι δρόσον·
Ὑφ' ἧς ὁ Δαβὶδ ψαλμικῶς ἀναψύχει
Ἀνομβρίᾳ[3] τέρποντος ἐκλείποντά με.
* Ζωῆς ἐγὼ τὸν τάφον ἀθρῆσαι θέλω·
Νεκρὸς γὰρ εἰμὶ καὶ μυδῶν ἄνευ τάφου.
Δὸς χεῖρα, ναὶ δὸς χεῖρα καὶ κούφιζέ με·
Ἡ γὰρ ζέσις[4] φλέγει με τῆς προθυμίας,
Κἂν ἀγανακτῇ καὶ μεθέλκῃ τὸ βρέφος,
Μενῶ φυσικῆς ἐγκρατέστερος μάχης.
Αὐτοκράτορ, τολμῶντι συγγίνωσκέ μοι.

CLXXXV. Πρὸς τὸν βασιλέα.

Αὐτοκράτορ μέγιστε, τί πταίσαντί μοι
Μακρὰν σιωπὴν ἀντιδίδως τῶν λόγων;
Καὶ μὴν κεχηνὼς ἀκροῶμαι καὶ βλέπω,
Καὶ γίνομαι ζῶν τῆς τριβῆς ὡροσκόπος,

[1] Similis metaphora invenitur infra CCXXXVIII, 5 : Τὴν τῶν λυπηρῶν ἐκδιώκεις ἑσπέραν.

[2] Psalm. CXXXII, 3.

[3] Infra CLXXXVI, 1 : Ἀνομβρίᾳ τρέφοντος ἐκλείποντά με. Quod malim.

[4] Supra XLVIII, 11 : Ἡ γὰρ ζέσις φλέγει με τῆς ἀθυμίας. Conf. CX, 1.

Εἴ που τις ἐλθὼν τῆς ἐμῆς χρείας χάριν
Ἐρεῖ τὰ καὶ τὰ βασιλεὺς πέμψας λέγει·
Οὐκ ἔσΊιν οὐδὲν δυσχερὲς θέλοντί σοι·
Θεοῦ γὰρ ἰσχὺς ὑπερεκράτυνέ[1] σε,
Καὶ τοῦ γένους κάλλισΊον εἰργάσατό σε,
Δεικνὺς ἐπὶ σοὶ τὴν κατ' ἄνθρωπον φύσιν,
* Ὡς πρὶν ἁμαρτεῖν συγγενῆ τοῖς ἀγγέλοις.
Πῶς οὖν σιωπῶν οὐδ' ἀπόκρισιν δίδως,
Ὁ πλουτοποιὸς[2], ὁ γλυκὺς ὑπὲρ μέλι;
Ὃ γὰρ πάλαι προὔθηκας ἐξῃτησάμην,
Ὡς ἂν ἐπ' αὐταῖς ταῖς γραφαῖς τῶν δακτύλων
Καὶ ζῶντα καὶ νύσσοντα θεσπίσῃς λόγον,
Πρὸς τὸν λογισΊὴν οὐκ ἀπόντα τὸν μέγαν·
Οὕτως ἀθυμεῖ καὶ σπορεὺς καὶ τοξότης,
Οὕτως ἁλιεὺς καὶ δρομεὺς κυνηγέτης,
Ὅταν μάτην ἕκασΊος ἐλπίσας τύχοι.
Ἄλλον μὲν οὖν κάμνοντα μὴ παρατρέχων,
Ὡς καὶ Γαληνὸς καὶ βραβεὺς εὐεξίας,
Ἄλλῳ προθυμοῦ δεξιοῦσθαι φαρμάκῳ·
Τὸν σὸν δὲ Φιλῆν εἷς ἀνασΊήσει λόγος,
Ὃν καὶ πρὶν ἐψύχωσας ἐξ εὐσπλαγχνίας.

CLXXXVI. Πρὸς τὸν βασιλέως σύγγονον.

Ἀνομβρίᾳ[3] τρέφοντος ἐκλείποντά με
Δρόσιζε ταῖς σαῖς μυσΊικαῖς ἐπομβρίαις[4]·
* Ὡς οὐρανὸς γὰρ ἄλλο συνάγεις ὕδωρ
Στολὴν φέρων μέλαιναν ὡς νεφῶν γνόφον.

[1] Hac voce augenda lexica. Ὑπερκρατής ex Hesych. afferunt.
[2] Supra XXXIII, 16.
[3] Supra CLXXXIV, 14 : Ἀνομβρίᾳ τέρποντος ἐκλείποντά με.
[4] Conf. supra XIII, 125.

CLXXXVII. Εἰς εἰκόνα τοῦ ἀρχισΊρατήγου.

Νοῦς, πνεῦμα καὶ φῶς καὶ πυρὸς φλὸξ ἐνθάδε·
Ὁ νοῦς ὁρατὸς, ἡ πνοὴ πεπηγμένη·
Τὸ φῶς ὑφεσΊῶς, καὶ τὸ πῦρ, πῦρ οὐ φλέγον
Αἰδοῖ καθαρῶς τῶν τριχῶν καὶ τῶν πΊίλων,
Μὴ καὶ τὸ λεπΊὸν συμφλεγῇ τῶν ἀμφίων,
Καὶ τῆς κόμης τὸ σφίγμα ληφθὲν ἀθρόον·
Ἅπαν δὲ τὸ πρόσωπον ὃ, ξένε, βλέπεις
Ἦν ἂν ἐρυθρὸν ὡς τὸ πῦρ κἂν τοῖς τύποις,
Εἰ μή τις αἰδὼς μυσΊικῆς λειτουργίας
Ὕπωχρον ἀντέγραψεν ἐξ εὐτεχνίας.

CLXXXVIII. Εἰς[1] σΊαύρωσιν ἐν λίθῳ τῷ ἀπὸ τοῦ ζωοδόχου τάφου.

Τὸ σῶμα ΧρισΊοῦ τάφος οὐκ ἔχει σΊέγειν[2]·
Ἐκ τῆς σοροῦ δὲ καὶ βραχὺς ἴσως λίθος
Τοῦ σΊαυρικοῦ σχήματος ἐν μέσῳ φέρει,
Τὸν τοῦ Γαβαθᾶ ζωγραφῶν θεῖον τόπον[3].

* CLXXXIX. Εἰς[4] ἐγλυμμένους μάρτυρας.

Οἱ[5] μάρτυρες νικῶσι καὶ λίθων φύσιν,
Οἳ ζῶσι μικροῦ καὶ δοκοῦσιν ἐμπνέειν,
Κἂν ὠχριῶσι καὶ σιγῶσιν ἐνθάδε,
Χέαντες εἰς γῆν μαρτυρικῶς τὸ ζέον.

[1] Cod. Mon. fol. 95 : Εἰς λίθον ἀπὸ τοῦ ζ. τ. Jam edidi in meo *Catal. codd. Escur.* p. 44, cum hoc titulo : Εἰς τὴν ἀπὸ σοροῦ λίθον τοῦ ἁγίου τάφου φέρουσαν. De eadem re vid. epigramma cod. Florent. CCXXVIII.

[2] *Catal. Monac.* male σΊέγην.

[3] Sic ex correctione; prius erat τύπον. Supra XLV, 2 : Ὡς εἰς Γαβαθᾶ τὸν χρυσοῦν ἔνδον τόπον.

[4] Cod. Flor. fol. 278 v°, cum hoc titulo : Εἰς μάρτυρας γλυφέντας ἐν μαρμάρῳ.

[5] Cod. Flor. male εἰ μάρτυρες.

CXC. Εἰς τὸν εὐαγγελισΤὴν Θεολόγον.

Ἄνθρωπε, σιγῶν τὸν Ζεβεδαίου βλέπε·
Καθήμενος γὰρ εἰς χρυσῆν κήπου χλόην
Μετεγγράφει[1] τὸ δόγμα τῆς σωτηρίας·
* Εἰ δ' οὐχὶ καὶ τὸ πρῶτον ἀθρεῖς βιβλίον,
Εἰς οὐρανοὺς ἐκεῖνο, καὶ μὴ θαυμάσῃς·
Αὐτὸς γὰρ αὐτὸ μυσΤικώτερον βλέπει,
Τὸν νοῦν ἔχων ἄντικρυς οὐρανοδρόμον,
Ὃν οἱ τὸ τετράμορφον[2] ἱσΤορηκότες[3]
Εἰς ἀετοῦ γράφουσιν ὀξυδορκίαν.

* CXCI. Εἰς ναὸν τῆς θεομήτορος[4].

Θεοῦ Λόγου σκήνωμα τὸν ναὸν δέχου·
Πύλη γὰρ εἶ σὺ καὶ τρυφὴ καὶ χωρίον
Καὶ ζῶν ὕδωρ καὶ κῆπος ἀῤῥεύσΤου[5] χλόης.
Σοῦ μὲν γὰρ ἀκρόγωνος[6] ἐτμήθη λίθος,
Ὃς τὰς φύσεις συνῆψε τὰς ἀσυμβάτους·
Ἐγὼ δ' ἐπ' αὐτῷ καὶ τὰ βάθρα πηγνύω,
Καὶ τὰς ψυχικὰς ἐλπίδας καθιδρύω·
Ἄλλως δὲ πῶς ἔδει με, σεμνὴ παρθένε,

[1] Cod. Escur. CLIX, 43 : Μετεγγραφῆναι τοῖς θεοῦ με δακτύλοις. Codex Florent. XLI, 13 : Τοῖς σωσΤικοῖς σου βιβλίοις μετεγγράφοις Γυναῖκα κἀμὲ καὶ τὰ δοῦλα φίλτατα.

[2] German. Cpolit. cod. Coisl. 278, fol. 118 v° : Ὁ ἐπὶ τῶν χερουβίμ φησι καθήμενος θεὸς ἃ τετραπρόσωπα ἡ Γραφὴ λέγει, παρέδωκεν ἡμῖν τετράμορφον τὸ εὐαγγέλιον. Chrysippus Hierosol. *In S. Joann. Evang.* codex Parisin. 513, fol. 103 r° : Τὸν δὲ πολυόμματα καὶ τετράμορφα ζῶα καὶ τροχοὺς πυρίνους, καὶ ἀκαταπαύσΤους ὕμνους βλέπειν ὑπέδειξεν. Pisides, *Hexaem.* 170 : Τετραμόρφῳ εἰκόνι.

[3] Cod. οἱσΤορηκότες.

[4] Cod. Flor. fol. 278 v°, qui addit ἐκ προσώπου τοῦ Λιβαδαρίου. Conf. infra v. 16.

[5] Cod. Flor. ἀῤῥεύσΤον (*sic*).

[6] Conf. supra XXXIII, 7.

Βωμὸν πονηρὸν[1] εὑρεθέντα πρακτέων,
Εἰς κάλλος ἐλθεῖν μυστικῆς νεουργίας;
Γένοιτο γοῦν ἐμοί τε καὶ τοῖς Φιλτάτοις
Ὁ τῆς προσευχῆς οἶκος οὑτοσὶ σκέπη[2]
Τὴν ἐμπαθῆ λύουσα[3] τοῦ βίου ζάλην·
Οἶκος δὲ κοινὸς τῆς τρυφῆς τὸ χωρίον,
Ὅταν ἐπιστῇ τῶν ἀμοιβῶν ὁ χρόνος.
Κομνηνοφυὴς ταῦτα Λιβαδάριος[4]
Θεόδωρός σοι ταῦτα τολμήσας ἔφην[5].

* CXCII. Εἰς εἰκόνα τοῦ δεσπότου Χριστοῦ.

Θεὸς Φυσικῶς ἐκ Θεοῦ πατρὸς Λόγος,
Ἐνταῦθα, Χριστὲ, σαρκικῶς πῶς ἐγράφης;
« Ναὶ, Φησὶν, ἡ σὰρξ οὐ παρῆλθε τὴν Φύσιν,
Σαρκὸς δὲ χωρὶς τίς Θεοῦ Φύσιν γράφει;
Σὰρξ οὖν ἐγὼ σὴ, πλὴν Θεὸς πάλιν μένω·
Ξένον τὸ μυστήριον, ὃ σκοπῶν σίγα. »

* CXCIII. Αὐθωρὸν εἰς ἀνάγνωσιν.

Ἰδοὺ λογικῶν οὐρανῶν ὕψος βλέπων,
* Καὶ σῶμα λευκὸν καὶ νεφῶν εἶδος μέλαν,
Καὶ Φῶς καθαρὸν ἀστραπῆς κεκρυμμένης,
Καὶ πνεῦμα κινοῦν τῶν νεφῶν τὰς ἐντάσεις,
Καὶ Φθέγμα λαμπρὸν ὡς Θεοῦ βροντῆς κτύπον,
Ἐν τῇ κατὰ νοῦν ἀκροώμενος κρίσει
Ἀγωνιῶ καθάπερ ἐν περιστάσει,

[1] Malim πονηρῶν.

[2] Cod. Flor. σκ..η. Read. qui addit: « Litteræ abrasæ legi non possunt. »

[3] Cod. Flor. λύουσαν.

[4] Forsan *Libadaire*, de quo Lebeau, *Hist. du Bas Emp.* XI, p. 7.

[5] Cod. Paris. ἔφη, et supra ἔφην. Cod. Flor. ἔφη.

Σχεδὸν δεδοικὼς μὴ ῥαγεὶς ὄμβρος μέγας
Δόξῃ κυκᾶν τὴν κτίσιν ὥσπερ ἐν ζάλῃ·
Πλὴν οὗτος ἡμᾶς τῶν ψυχῶν ὁ προστάτης,
Ὁ πατριάρχης, ὁ βραβεὺς τῶν θαυμάτων,
Τὴν πνευματικὴν τεκτονεύσας ὁλκάδα,
Πρὸς τὸν γαληνὸν ἰθυνεῖ πλοῦν[1] τὸν λόγον,
Σώζειν διδαχθεὶς μὴ ῥυῇ τὸ πᾶν γένος·
Κατὰ δὲ μικρὸν ὑποτήκων τὴν χύσιν
Βαλεῖ καθαρὸν εἰς ψυχῶν χώραν σπόρον[2],
Τὴν γλῶτταν ὡς ἄροτρον ἠρέμα στρέφων,
Ὡς ἂν ἐπιστὰς εἰ παρὸν θέρος βλέποι,
Τὸν στάχυν ἁδρὸν συγκομίζοι τοῖς πόνοις·
* Αἰνιγματώδη ταῦτα, πλὴν σαφῆ πλέον.

* CXCIV. Εἰς ἐγκόλπιον[3].

Ὁ μὲν λίθος τὸ χρῶμα δεικνύει μέλαν·
Ἐμοὶ δέ τις ἔλλαμψις ἐντεῦθεν βρύει·
Ἡ γὰρ τὸ φῶς τεκοῦσα τῆς σωτηρίας
Σέλας τριλαμπὲς[4] ὑπανῆψεν[5] ἐνθάδε,
Τὸν Ζαχαρίου, τὸν πρόεδρον Μυρέων,
Καὶ τὸν σταθηρὸν ὁπλίτην Γεώργιον.

* CXCV. Εἰς μοναχῶν τράπεζαν.

Ἐπεί με γυμνὸν τῆς τρυφῆς ὑπεξάγει[6]

[1] Cf. supra x, 88.

[2] Cod. *σπόρον*, et supra *σποράν*.

[3] Cod. Florent. 280 r°, in quo : *Εἰς ἐγκόλπιον τὴν θεομήτορα.*

[4] Anon. cod. Paris. 362, fol. 29 v° : *Τριλαμποῦς θεότητος αἴγλη μία.* Codex Paris. 400, fol. 3 v° : *Φῶς τὸ τριλαμπέστατον.*

[5] Figur. Cod. Escur. ccxxii, 10 : *Τεραστίων ἔλλαμψιν ὑπάναπτέ μοι.* Eustath. *Opusc.* p. 170, 48 : *Καὶ τῆς κατὰ ψυχὴν εἰς θεὸν καὶ τὰ θεῖα ὑπαναπτομένης θερμότητος τῷ παραμόνῳ τοῦ θαύματος.* Id. p. 178, 16 : *Καὶ τὸν τυραννικὸν εἰς πλέον θυμὸν ὑπανάψαντι.*

[6] Vid. supra lxxvii, 1.

Τῆς βρώσεως τὸ ξύλον, ὃ Γραφὴ[1] λέγει,
Τροφῆς, Λόγε, τράπεζαν ἐσκεύασά σοι
Τὴν τοὺς μοναχοὺς ἐσΊιῶσαν ἐνθάδε·
Σὺ μὲν γὰρ ἡμῖν τὰς τροφὰς ἐπιβρέχεις
Σοφὸς προμηθεὺς εὑρεθεὶς, εὐεργέτα·
Ἐγὼ δέ σοι τὸν οἶκον ἀντὶ καλύβης,
Ὡς πρὶν ὁ σεμνὸς Ἀβραὰμ, ἐπηξάμην,
Καὶ ποικίλα χρώματα τοῖς τύποις χέας
Τὰς ἐμφάσεις προὔθηκα τῶν σεσωσμένων·
Τυχεῖν γὰρ ἡμῖν τῆς Ἐδὲμ δώσεις πάλιν,
Ἧς οἶδεν Ἀδὰμ τὴν τρυφὴν κεκλεισμένην.
Βαρθολομαῖος ἐκ βασιλείου γένους,
Τῶν ἱσΊοριῶν ζωγραφῶν τὰς ἐμφάσεις,
* Ἀτουέμης ἀχρεῖος ἐν μονοτρόποις
Τῷ δεσπότῃ σοι ταῦτα τολμήσας ἔφην.

CXCVI. Πρὸς τὸν αὐτοκράτορα[2].

Θεοῦ βασιλεῦ, τῆς ψυχῆς μοι τὸ ζέον[3],
Θεοῦ βασιλεῦ, τῆς ψυχῆς μοι τὸ ψύχον,
Τὸ νεῦρον, ἡ φλὲψ, ἡ χλιδὴ τῶν ὀμμάτων,
Τὸ χόνδρον, ἡ σὰρξ, ἡ ψεκὰς τῆς καρδίας,
Ὁ τοὺς μερισμοὺς τῶν μελῶν μου συνδέων,
Ὅταν ἀθυμῶν ἐξαμείβω τὸν τόνον,
Ἡ φαιδρότης, ἡ τέρψις, ἡ θυμηδία,
Ἡ χρησΊότης, ἡ χάρις, ἡ κρυπΊὴ δρόσος,
Ἡ ζωοποιὸς τῶν ἐμῶν λόγων κρᾶσις,
Ἡ τεκνοποιὸς τοῦ βροτῶν γένους φύσις,
Ὁ βασιλεὺς τὸ θαῦμα τοῦ κοινοῦ κρότου,
Ἐνταῦθά τις ἔπηλυς ἀγρότης γέρων,

[1] Genes. II, 9. — [2] Cod. Vat. fol. 179 r°. — [3] Idem versus infra 69.

Ὅσον μόναι παρεῖχον αἱ τρίχες κρίνειν
* Τῇ πρὸς τὸ λευκὸν ἐκτροπῇ κεχρωσμέναι,
Ἡϐῶν δὲ σαφῶς καὶ σφριγῶν καὶ γεννάδας,
Ἐν τῇ πρὸς ἀκμὴν τῆς φυῆς εὐεξίᾳ,
Μόλις νομισθεὶς εὐτυχεῖν πρὸς τῶν ξένων·
Ὡς ὄψεται δὴ καθαρῶς[1] τὴν πατρίδα,
Τὴν γαμετὴν, τὰ τέκνα, τοὺς ἐκ τοῦ γένους,
Τὸν οἶκον αὐτὸν, τοὺς συνήθεις, τοὺς φίλους,
Ὅτε πρὸς ᾠδὰς εἶχεν ἐξιτηρίους
Χρησὰς ἐν αὐταῖς ὀργανώσας ἐλπίδας,
Αἴφνης πεσὼν ἄφωνος ἠρέμα τρέμων,
Καὶ τῇ μεταξὺ συσολῇ τῆς καρδίας
Εἰς ἐσχάτην ὄρχησιν ἠρεθισμένος,
Τὴν μακρὰν ἐσείλατο τῆς φθορᾶς τρίϐον.
Μὴ τοῦτο πᾶς ἄνθρωπος, ὃ Γραφὴ λέγει,
Μὴ τοῦτο κοινὸν οἶδεν ἡ φύσις πάθος;
Οὐκοῦν ἐπειδὴ τῆς ψυχῆς μου τὴν λύπην
Ὁ συχνὸς οὐκ ἔλυσε τοῦ πόνου χρόνος,
Ἢ πίσις, ἢ χάριτες (εἰ δίδως) λόγων,
* Ἢ πατριάρχης καὶ Θεοῦ πείθων φύσιν,
Ἢ συγγνότης ἄμετρος, ἢ ῥοῦς δακρύων,
Ἢ μετρία κώφευσις[2] ἐξ ἀθυμίας,
Ἢ πένθος ἠχοῦν εἰς μυχοὺς ἀποκρύφους,
Ἢ νοῦς ἀτεχνῶς ἐκλυθεὶς πρὸς τοὺς λόγους,
Ἢ καρδίας ἔκτηξις, ἢ μελῶν κλόνος,
Ἢ πνεῦμα πυκνὸν ἐκ λιμώδους ἀγχόνης,
Ἢ νυκτερινὸν ἢ μεθ' ἡμέραν δέος,

[1] Prius erat καθαρός.

[2] Cod. Vat. xxv, 56 : Τὴν πατρικὴν κώφευσιν ἀθρόον λύεις. German. Cpol. cod. Coisl. 278, fol. 40 r° : Μὴ καὶ κωφεύσεως ἐν ταυτῷ καὶ ἀφωνίας αἴτιόν σοι γενοίμεθα σήμερον.

Ἐκ τῆς πρὸς ἐχθροὺς μυστικῆς ὑποψίας,
Αὐτοκράτορ, δέδοικα μὴ ταυτὸν πάθω,
Μᾶλλον δὲ μὴ καὶ χεῖρον ἐξ ἀθυμίας·
Ὁ γὰρ γέρων ἐκεῖνος οὐκ ἐδυσθύμει[1].
Τί τοῦτο καὶ πῶς καὶ πόθεν καὶ πρὸς τίνος,
Αὐτοκράτορ μέγιστε, τί σιγᾷς ἔτι;
Θαῤῥῶ γὰρ ὡς δεῖ καὶ προάγω τὸν λόγον
Παθῶν καθαρὰν τὴν συνείδησιν φέρων,
Εἰ μὴ βίου λέγοι τις ἀπροσεξίαν[2],
Ἣν οἶδεν αὐτὸς ὁ βραβεὺς πάντων Λόγος·
* Ἀλλ', ὦ φύσις κρίνουσα τὰς πάντων φύσεις
Ἐν συλλογισμοῖς γνωστικῆς εὐτεχνίας[3],
Εἰ μὲν πονηρὸν τὸν Φιλῆν δοῦλον κρίνεις,
Ἔταζε καὶ μάστιζε, μὴ φείδου πλέον,
Μὴ κατὰ μικρὸν τοῖς κακοῖς εἰθισμένος
Φθορεὺς ἐναργὴς εὑρεθῇ τῶν πραγμάτων·
Εἰ δὲ πρὸς αὐτοῦ, βασιλεῦ, τοῦ σοῦ κράτους
Καὶ τοῦ σε δοξάσαντος εἰς τὸ συμφέρον,
Εὔνους ὁ Φιλῆς ἀκριβῶς πάντα τρόπον
Καὶ σὲ πνέων, κράτιστε, καὶ σοὶ ζῶν μόνῳ,
Καὶ σοῦ προτιμῶν οὐδαμῶς οὐδὲν μέγα,
Νῦν δεῖξον ὡς χρὴ δεξιοῦσθαι καρδίαν
Πένητος ἀνδρὸς, ἀλλὰ σὴν ζῶντος χάριν,
Πένητος ἀνδρὸς, δυστυχοῦντος ἐκ πόνων.
Εἰ δ' οὖν, βασιλεῦ, τί με δεῖ πράττειν λέγε
Πεινῶντα καὶ διψῶντα καὶ τεθλιμμένον·

[1] Supra CXLIX, 233 : Εἶτα τελευτᾷς δυσθυμῶν ὡς ὁ Κρόνος.

[2] German. Cpolitan. codex Coislin. 278, fol. 22 r° : Θεραπεύεσθε ἀπὸ τῶν ἐξ ἀπροσεξίας ἐπισυμβαινόντων ψυχικῶν νοσημάτων. Pantaleon, in S. Michael. cod. Paris. 501, fol. 126 v° : Γνῶμεν οἵους καρποὺς προξενεῖ ἡ τῆς ἰδίας προαιρέσεως ἀπροσεξία καὶ βούλησις.

[3] Conf. supra CLXXIV, 7.

Εἰ δ' οὐδὲ τοῦτο, τί με θαυμάζειν δέον,
Ὅταν σιωπῶν τοὺς ἐμοὺς κρύπτῃς λόγους,
* Καθάπερ οὐδὲν ὄντας ἢ κενὸν κτύπον,
Θεοῦ βασιλεῦ, τῆς ψυχῆς μοι τὸ ζέον[1];
Ὡς δοῦλος οἰκτρὸς ταῦτα τολμήσας ἔφην.

CXCVIII[2]. Αὐθωρὸν εἰς τὸν Περὶ τῆς προσκυνήσεως τῆς εἰκόνος λόγον καὶ εἰς μάρτυρα[3].

Εἰκών τις ἐστὶν ὁ προκείμενος λόγος
Σοφῶς πονηθεὶς τῷ γραφεῖ Γρηγορίῳ·
Καὶ γὰρ κεραννὺς τεχνικὴν πᾶσαν χρόαν
Ἐν τῇ καθαρᾷ τῆς ψυχῆς μελανδόχῃ,
Τὸ μαρτυρικὸν εὐφυῶς κάλλος γράφει,
Καὶ δημιουργεῖ ζῶντα μικροῦ τὸν τύπον,
Πνοῆς χέας δύναμιν ὠργανωμένην,
Καὶ δεικνὺς ὡς ἔξεστιν ἀνθρώπου φύσει
Πλάττειν γραφικὴν καὶ ψυχὴν αὖθις γράφειν.
Ὁρᾶτε λοιπὸν ὡς ὁρᾶν χρὴ τὸν λόγον
Εἰς εἰκόνος μίμησιν ἐκτεθειμένον,
* Οἱ προσκυνηταὶ καὶ βραβεῖς τῶν εἰκόνων,
Μή τις μεταξὺ τῆς γραφῆς τῆς ἐμψύχου
Καταφρονητὴς εὑρεθεὶς τῆς εἰκόνος
Εἰκῇ θορυβῇ καὶ καλύπτῃ τὸν λόγον·
Καὶ γὰρ ἐπ' αὐτὸν τοῦ Θεοῦ τὸν ὁπλίτην
Ἐντεῦθεν εἰκὸς τὴν τιμὴν ἀνατρέχειν·
Ἢ μᾶλλον εἰπεῖν πρὸς Θεὸν τὸ πᾶν βλέπει,
Δι' οὗ καθαρῶς ἐκνικῶσι τὴν πλάνην

[1] Idem versus supra I.
[2] Carmen CXCVII jam supra editum.
[3] Cod. Mon. fol. 137, cum hoc titulo : Αὐθωρὸν εἰς λόγον τοῦ Νύσης πρός τινα μάρτυρα. Quæ homilia Gregorii Nysseni inter deperditas collocanda.

Οἱ παρὰ μικρὸν ἄγγελοι στεφανῖται,
Χωροῦντες εἰς σίδηρον, εἰς πῦρ, εἰς ὕδωρ·
Τῷ γὰρ λογισμῷ πυρπολοῦντες τὴν φύσιν
Τὰ ῥευστὰ[1] χαλκεύουσι τοῖς πόνοις μέλη.

CXCIX. Αὐθωρόν.

Ὁ Χατζίκης[2] τὸν πρέσβιν ἐστόμωσέ με,
Καὶ τοῦτο μισθὸς πρὸς Φιλῆν τῷ Χατζίκῃ·
Καὶ δὴ στίχων δίδωμι ῥυθμῷ Χατζίκην.
Εἴ τις με γοῦν ἔροιτο, Ποῦ γῆς Χατζίκης;
Ἐρῶ πρὸς αὐτὸν, Εἰς Καφᾶν[3] ὁ Χατζίκης·
* Ὅθεν τις ἥκων εἶπεν, Ἰδοὺ Χατζίκης·
Οὐ γὰρ Φάσις οὐκ εἶχεν ἄνδρα Χατζίκην.
Νῦν ὡς ἀληθῶς ἔστιν ἡμῖν Χατζίκης·
Νῦν οὐκ ἀπαράγωγος ὡς πρὶν Χατζίκης·
Τὸ συμμαχεῖν γάρ ἐστιν αὐτοῦ Χατζίκῃ·
Οὕτω πολύς τις ἐστὶ παρὼν Χατζίκης·
Καὶ πάλιν ἀπὼν οὐ βραχὺς ὁ Χατζίκης·
Φιλεῖν γὰρ εἰκὸς ἐξιόντα Χατζίκην
Τοὺς συμμάχους ἄξοντα καθὰ Χατζίκην·
Εἰ δ' οὐκ ἐφικτὸν συμμαχεῖν τῷ Χατζίκῃ,
Ἡ κλῆσις οὐδέν ἐστιν, ἀλλ' ἢ Χατζίκης.
Ὦ πῶς Σεβαστόπολιν[4] ἀφεὶς Χατζίκης,
Καὶ πάντα μικροῦ τὰ προσόντα Χατζίκῃ,
Προσῆλθεν ἡμῖν ὡς συνήθης Χατζίκης!
Ἡ σὴ γὰρ αὐτὸν εἷλκε σειρὴν Χατζίκην,
Ἡμῶν βασιλεῦ πρὸς Θεοῦ καὶ Χατζίκῃ.
Ἴδοιμι λοιπὸν ἐν βραχεῖ τὸν Χατζίκην

[1] Cod. Mon. τὰ ῥᾷστα χαλκέουσι.
[2] Cf. supra XVIII, 41 sqq.
[3] Supra XVIII, 40.
[4] Supra XVIII, 52.

Τοὺς συμμάχους ἄγοντα· τῷ γὰρ Χατζίκῃ
* Προσῆκον ἡμῖν συμμαχεῖν ὡς Χατζίκῃ·
Εἰ δ' οὖν, ὅσους εἴρηκε Χατζίκης ἄγειν
Κελτοὺς πρὸς ἡμᾶς εὐνοοῦντας Χατζίκῃ,
Δοίη τοσούτους ἀντὶ Χατζίκῃ χρόνους
Ὁ δημιουργὸς καὶ Φιλῇ καὶ Χατζίκῃ,
Σοὶ δὴ, βασιλεῦ, τῷ βραβεῖ τοῦ Χατζίκη·
Φασὶ γὰρ αὐτὸν ἀπαριθμεῖν Χατζίκην
Εἰς χιλιάδα συνδραμοῦσαν Χατζίκῃ,
Καὶ τὸν δρόμον τείνοντας ἐκ γῆς Χατζίκῃ
Πρὸς τὴν καθ' ἡμᾶς ὡς φιλοῦντας Χατζίκην.

CC. Πρὸς τὸν αὐτοκράτορα.

Ὁ σὸς βασιλεὺς, ὁ βραβεὺς τῶν κτισμάτων,
Χιτῶνα καινὸν συντιθεὶς ἀπὸ χλόης,
Ἣ νήθεται μὲν ἐξ ἀποκρύφου κρόκης,
Ὑφαίνεται δὲ τῷ προσήκοντι χρόνῳ,
Στολίζεται δὲ ταῖς βαφαῖς τῶν ἀνθέων,
Τὴν πρὶν ἀκαλλῆ καὶ ψιλὴν γῆν φαιδρύνει.
Σὺ δ', ὦ βασιλεῦ, τὸν Φιλῆν παρατρέχεις,
* Τὴν γῆν με τὴν σὴν, τὴν πατουμένην κόνιν.
Καὶ ποῦ θεμιτὸν εἰς φιλάνθρωπον φύσιν,
Ἣ Χριστὸν αὐτόν ἐστιν ἐκμιμουμένη;
Οὐ κρύπτεται γὰρ οὐδαμῶς ἡ γυμνότης,
Εἰ καὶ τὸ πεινῆν συσκιάζοι τις τάχα.

CCI. Τῷ σοφωτάτῳ Ξανθοπούλῳ κυρῷ Θεοδώρῳ.

Γυμνόν με, σαυτὸν ἐντολαῖς[1] ἐγὼ βλέπεις,
Καὶ ψυχρὸν εἰς ἔνθαλψιν ἀμφίων πνέεις[2]...

[1] Fort. ἐν στολαῖς Σηρῶν.

[2] Desunt quædam. Fort. excidit folium. Vox ἔνθαλψις addenda lexicis. German. Cpol. cod. Coisl. 278, fol. 16 v°:

* Εἰ ζῶμεν ἀμφοῖν εἰς ἀσύμβατον τύχην·
Φίλαυτε σεμνὲ, σὺ δὲ ναρκᾷς ἐν ζέσει,
Καὶ τὴν φιλικὴν εἰσφορὰν οὐ συλλέγεις·
Χαρισμάτων ἔρανε, δὸς χρυσῆν κρόκην,
Δι' ἧς ὑφανῶ τοῦ πόθου τὰ νήματα.

CCII. Πρός τινα τῶν φίλων.

Ὦ νοῦ σΊολισΊὰ γνωσΊικῆς ἱσΊουργίας[1],
Ὡς νῆτρον εὐθὲς τὴν σοφὴν γλῶτΊαν σΊρέφων,
Κλωθοῦς πονηρᾶς τῷ Φιλῇ τέμνε βρόχους,
Καὶ θάλπε γυμνὸν τοὺς χρυσοῦς κλώσας μίτους
Εἰς τὴν ὑφαντὴν ἐκ τριχῶν εὐκοσμίαν·
Καὶ γὰρ τὸν ἱσΊὸν τῶν καλῶν σου πρακτέων
Πρὸς ὕψος ἐκ γῆς οὐρανοῦ μοι πηγνύεις,
Ὡς ἂν ὑφανθεὶς ἐξ ἀδήλου κερκίδος
Χιτὼν φαεινὸς τὴν ψυχήν σου λαμπρύνοι
Ταῖς πέντε ΧρισΊοῦ προσΊεθεῖσαν παρθένοις.

CCIII. Αὐθωρὸν εἰς τὸν λόγον τῶν φώτων[2].

Εἰς τὸν ποταμὸν τῆς γραφῆς τῆς ἐνθέου
Τὴν γλῶσσαν ὠθῶν, ὡς προφήτου[3] διφθέραν,
Διχῇ διαιρῶ καὶ συνάπΊω τὸν λόγον·

Πάντως δὲ οὐδ' ἂν αὐτὸς ὁ ἀσΊεράρχης καὶ κοσμολαμπὴς ἥλιος τὰς ἡνίας ἐνδοὺς τὸν οἰκεῖον διίππευε δρόμον παμφαὲς ἀκτινοβολῶν καὶ παγκόσμιον, εἰ μὴ πολλοὺς εἶχε θεατὰς καὶ τοὺς τὴν ὠφέλειαν καρπουμένους ἐκ τῆς ἐλλάμψεώς τε καὶ τῆς ἐνθάλψεως.

[1] Supra v, 3 et cxiii, 25. Id. *De bombyce*, 39 : Χιτὼν λογικὲ πρακτικῆς ἱσΊουργίας. Conf. cod. Flor. cxxv, 15. Vocem ἱσΊούργημα, qua carent lexica, usurpat Jo. Tzetzes, *Ep.* 71, pag. 63 : Τοιαῦτα μὲν τὰ ἐν Θήβαις καὶ ἐκ Θηβῶν ἱσΊουργήματα, ὡς ἔοικε, τοῦ (leg. τοῖς τοῦ) Ἰσμηνοῦ ποταμοῦ καλλυνόμενα ῥεύμασιν. Adde et θεοϊσΊούργητος ex German. Cpolit. cod. Coisl. 278, fol. 197 r°: Τὸν θ. καὶ ἄνωθεν ὑφαντὸν χιτῶνα.

[2] Gregor. Naz. *Opp.* t. I, pag. 677.

[3] Fort. respectu ad Esaï. viii, 1.

* Γρηγόριος[1] γὰρ ὁ σχεδὸν ζῶν Ἡλίας,
Δίδωσι διπλῆν εὐτυχεῖν μοι τὴν χάριν.
Τὴν γοῦν κιϐωτὸν[2] τῆς ψυχῆς τὴν ὀλϐίαν
Ἕκασῖος ὑμῶν εἰσϐαλεῖν σπουδαζέτω,
Μή τις λογισμὸς δυσμενὴς ἐπιτρέχων
Τὴν γνωσῖικὴν ὕπαρξιν ἁρπάσας λάθῃ·
Παρὸν διελθεῖν ἐξ ἀνύδρων πυθμένων
Εἰς γῆν ἀγαθὴν μυσῖικῆς παγκαρπίας.
Ὁ γὰρ Ἰησοῦς, ἡ φιλάνθρωπος φύσις,
Κἀνταῦθα φανεὶς εὐμαρίζει τὸν πόρον,
Καὶ δημαγωγῶν εὐκλεῶς διεξάγει
Τοὺς τῆς κιϐωτοῦ δεξιοὺς ἐπισῖάτας.
Μὴ τοῦτο καὶ βάπῖισμα καὶ σῖρατηγίαι;
Μὴ τοὺς παλαιοὺς ἐκνικῶμεν τοῖς νέοις;
Μὴ τὰς ἀμυδρὰς καὶ σκιώδεις ἐμφάσεις
Εἰς φῶς ὑφεσῖῶς εὐτυχοῦμεν πραγμάτων;
Πλὴν εἴ τις ἐσῖὶν ἐξ ὑμῶν ὄρος μέγα,
Τὸν ὄγκον[3] ἀφεὶς τῆς ψυχῆς προσελθέτω·
* Τοὺς γὰρ ταπεινοὺς[4] οἶδεν ὑψοῦν ἡ χάρις,
Ἀνθίσῖαται δὲ καὶ καθέλκει τὸν τῦφον.
Εἴ τις σκολιὸς καὶ τραχὺς τὴν καρδίαν,
Τὸ τοῦ τρόπου δύσῖριπῖον εὐμαριζέτω,
Μή τις ἀπηνοῦς ἐγκοπεὺς λιθοξόου
Τὰς αὐτοφυεῖς[5] ἐξοχὰς ἀποσπάσῃ.

[1] Id est Gregorius Naz.

[2] Supra LIX, 10 : Καὶ τὴν κιϐωτὸν τῆς ἐμῆς γλώτῖης δέχου. Append. IV, 9 : Ὦ κιϐωτὲ παντοδαπῶν θαυμάτων. Id. *De officiis*, v. 127 : Κιϐωτὸς κράτους.

[3] Cod. ὄγγον.

[4] Luc. I, 52.

[5] Sup. XIV, 151. Philes, ed. Wernsd. p. 112 : Τοὺς δ' αὐτοφυεῖς ἀκναφεύτους ἀχρόους, Ἐφ' οἷς (cod. Paris. οὓς) τὸ λευκὸν ἐγκρατέσῖερον μένει. Cf. Isidor. Pel. *Epist.* II, 53; *Biblioth. Patr.* Mai, t. IV, p. 260; Eustath. *Opusc.* p. 7, 42; Meliten. vers. 906, cod. Paris. 1447,

Εἴ τις καλῶν ἔρημος, ὀφθήτω κρίνον,
Ὃ ψαλμικῶς τέθηλεν εἰς πάντα χρόνον,
Καλῶς πιανθὲν τῇ δρόσῳ τοῦ Πνεύματος.
Εἴ τις παθῶν ἄνθραξιν[1] ἐξικμασμένος
Μισεῖ τὸν αὐχμὸν καὶ ποτοῦ χρείαν ἔχει,
Πηγὴν θεωρῶν ἐκμιμείσθω δορκάδα.
Εἴ τις ῥυπαρὸς ἐκ παθῶν ὀλεθρίων,
Ἅπαν τὸ δυσέκνιπτον[2] ἀποκλυζέτω,
Μή τις μολυσμὸν[3] τὴν ψυχὴν περιξέσῃ,
Καὶ δαπανηθῇ πᾶς ὁ γενναῖος πόνος.
Ἐνταῦθα γὰρ δὴ τοῦ προκειμένου λόγου
Ῥυθμίζεται μὲν ἀκοὴ καὶ καρδία,
Κοιμίζεται δὲ συμφορῶν μέγας κλύδων[4],
Ἀμβλύνεται δὲ δυσχερὴς ἅπας πόνος,
Κουφίζεται δὲ μυστικῆς λύμης βάρος,
Στηρίζεται δὲ τῆς ψυχῆς ἡ χαυνότης,
Ἐντείνεται[5] δὲ τῶν φρενῶν ἡ λεπτότης,
Ἀνοίγεται δὲ γνωστικῆς θύρα στέγης,
Πλουτίζεται δὲ δυσπραγῶν ἅπας τρόπος·
Λιμὸς δὲ καλῶν εὐχερῶς ἀποῤῥέει,
Τρυφὴ δὲ πολλῶν ἀγαθῶν ἐπεισρέει[6],
Καὶ γίνεται τὸ κέρδος ἐντεῦθεν μέγα.

fol. 4 r°, et Theod. Prodrom. ed. Mai, I, 26. Adverbio αὐτοφυῶς utitur Proclus *In Tim.* p. 27, et verbo αὐτοφυέω Meliten. v. 940.

[1] Cf. supra XXXI, 2.

[2] Supra XIV, 184 : Καὶ πρὸς τὸ δυσέκνιπτον ἐσκιρωμένους. Cod. Flor. CCXV, 207 : Μεγάλη καὶ δυσέκνιπτος ἐν τοῖς θνητοῖς ἡ πλάνη. Id. *De animal.* vers. 1969 : Ἡ δευσοποιὸς καὶ δυσέκνιπτος χρόα.

[3] Fort. μολυσμός. Conf. supra XIII, 157.

[4] Hi duo versus 40 et 41 supra XL, 80, cum varietate συστέλλεται pro ἀμβλύνεται. Conf. Append. VIII, 7-9.

[5] Conf. supra XIII, 8.

[6] Supra XCVIII, 6 : Καὶ ῥεῖθρον οἰδοῦν

Σκοπεῖτε λοιπὸν οἱ παρόντες τὸν λόγον,
Καὶ πᾶν ὑλικὸν ἐξελόντες Φορτίον,
Ὡς ἱματισμὸν ἐμβριθῆ ταῖς καρδίαις,
Καὶ τὰς νοητὰς εὐτυχοῦντες λαμπάδας,
Ἃς ἡ ζέσις δίδωσι τῆς προθυμίας,
Τοῖς γνωστικοῖς ῥεύμασι βαπτίζεσθέ μοι·
Τὸ γὰρ θορυβεῖν ἢ καθεύδειν ἐν μέσῳ
Κρυπτὸν μολυσμὸν ταῖς ψυχαῖς παρατρίβει·
* Πλὴν ὁ προφήτης, ἡ φερώνυμος χάρις,
Ὁ μυσταγωγὸς τῶν ἀποῤῥήτων λόγων,
Καὶ νυμφαγωγὸς τοῦ θεανθρώπου Λόγου
Τὴν δέῤῥιν αὐχῶν, τῆς καμήλου τὰς τρίχας,
Τὸν εὐγενῆ πλόκαμον ἐξ ἀλουσίας,
Τὴν φαιδρὰν ὠχρότητα τῆς ἀσαρκίας,
Τὸ στυγνὸν ἀγώνισμα τῆς ἐρημίας,
Τὸ λιτὸν ἐντρύφημα τῆς ἀσιτίας,
Τὸ πικρὸν ἢ δύσοδμον ἢ νόθον μέλι,
Καὶ τὰς ἀηδεῖς ἢ δροσώδεις ἀκρίδας,
Πάρεστιν ὡς ὁρᾶτε μικροῦ βαπτίσων,
Καὶ παραγυμνοῖ ταῖς ψυχαῖς τὴν ἀξίνην [1],
Ἣν ὁ κριτὴς ἔθηξε τοῖς χαύνοις λίθοις·
Ἀλλ' ὡς ἐφικτὸν τὴν τομὴν φυλακτέον,
Καὶ τὰς κεφαλὰς τῶν δρακόντων φευκτέον,
Οἳ παραφωλεύουσιν [2] ἐν ταῖς καρδίαις·

ταῖς ὀπαῖς ἐπεισρέον. Cod. Flor. cxxxii, 3 : Πρὸς τοὺς ἐπεισρέοντας ἐνθάδε ξένους. Id. *In Cantacuz.* v. 38 : Καὶ τοὺς ἐπεισρέοντας ἐχθροὺς ἐκθλίβει. Ibidem, v. 186 : Καὶ τοὺς ἐπεισρέοντας ἀφθόνως τρέφει.

[1] Vid. Matth. III, 10.

[2] Hac voce carent lexica. Cod. Flor. cxi, 21 : Τὰ γὰρ παραφωλεύοντα φεύγει τὴν κρᾶσιν πάθη. ccxiv, 90 : Συχναῖς ἐρευγαῖς ἐκδιώξαις τοὺς πόνους, Οἳ παραφωλεύουσι καὶ θλίβουσί με. Cod. Vat. xiv, 17 : Καὶ παραφωλεύουσαν ἐν τοῖς ἐγκάτοις.

Μᾶλλον δὲ ταύτας δυσμενῶς ἐπηρμένας
Χρισ7ὸς καθαιρῶν συμπατεῖ καὶ συντρίϐει.
* Τοῖς γοῦν λογισμοῖς τῆς Γραφῆς προσεκτέον [1],
Ἐξ ὧν ὁ καρπὸς βλασ7άνει τοῦ Πνεύματος·
Σὺ δ' ἐξαανασ7ὰς καὶ πλατύνας τὸ σ7όμα,
Καὶ τὴν λαλοῦσαν εὐτρεπίσας ὁλκάδα,
Τῆς σῆς γε φωνῆς ἀντὶ λαίφους ἠρμένης,
Τὴν τοῦ λόγου θάλασσαν εὐλόγει, θύτα.

CCIV. Χαρισ7ήριοι τῇ Θεοτόκῳ ἐκ προσώπου τοῦ Ἀδριανουπολίτου κυροῦ Μαλαχίου.

Καὶ πάντα μὲν δὴ τὰ σ7ρατηγήματά σου,
Θεοῦ σ7ρατηγὲ μητροπάρθενε [2], ξένα·
Καὶ γὰρ διὰ σοῦ δυσμενῶν πίπ7ει σ7ίφη,
Καὶ τέρπεται μὲν ὁ σ7ρατὸς τῶν Αὐσόνων,
Ἀμϐλύνεται δὲ Περσικὴ πᾶσα σπάθη,
Συντρίϐεται δὲ τοξικῆς τόλμας κράτη,
Συσ7έλλεται δὲ Σικελῶν μέγα θράσος,
Κοιμίζεται δὲ κοσμικὴ πᾶσα ζάλη [3],
Πλατύνεται δὲ τὸ σ7ενὸν τῶν ἐλπίδων,

[1] Cod. Flor. CXCVIII, 68 : Ἔργου πρὸ παντὸς τῷ Θεῷ προσεκτέον. German. Cpolit. cod. Coislin. 278, fol. 115 r° : Προσεκτέον οὖν ἵνα μὴ καταισχύνωμεν τὴν δωρουμένην εὐγένειαν. Id. f. 212 r°; Procl. *In Tim.* pag. 22; Theod. Stud. cod. Paris. 891, fol. 233 v°; cod. Coislin. 87, fol. 297 v° : Πρ. μή πως τὰ τοῦ λιμένος ἐν τῷ πελάγει σκορπίσωμεν. S. Nilus, cod. Paris. 1054, fol. 13 v° : Πρ. μᾶλλον ἑαυτοῖς.

[2] Cod. Flor. LXVIII, 17 et CCXX, 2. Add. Jo. Damasc. I, 680; *Spicil. Rom.* t. V, p. 332; cod. Par. 250, fol. 93 r°, et cod. Parisin. suppl. 287, fol. 19 r°. Manuel Holobolus, ap. Boisson. *Anecd. gr.* t. V, p. 178 : Παρθενομήτωρ κόρη. Conf. Ephr. Syr. *Opp.* tom. III, p. 546, et cod. Paris. 250, fol. 21 r° et 115 v°. Vox nova παρθενομητρόθεος usurpatur a Basilio Patrensi, ap. Mai. *Bibl. Nov. Patr.* t. VII, part. 1, pag. XII : Τὴν ἁγίαν παρθενομητρόθεον.

[3] Conf. cod. Flor. CXXIII, 15.

Σμικρύνεται δὲ συμφορῶν ἀμετρία,
Καὶ πᾶν ἀπηχὲς καὶ βαρὺ θρήνων μέλος
Εἰς κοσμοτερπεῖς ἐξαμείβεται κρότους.
* Τὰ δὲ πρὸ μικροῦ τίνα, καὶ τίνος χάριν,
Τῆς[1] Σικελικῆς ἐνταθείσης ὀφρύος,
Ἐκ τῆς καθ' ἡμῶν Περσικῆς ὁμαιχμίας[2];

* CCV. Τῷ Ζαρείδῃ[3].

Δέχου παρ' ἡμῶν οὓς ὑπεσχόμην σῖίχους,
Εἰπεῖν δὲ ταυτὸν ἥνπερ ἐζήτεις χάριν.
Σὺ δὲ πρὸς ἡμᾶς τὴν κορύνην τὴν φίλην
Ὁ σῖεῤῥὸς ἀντίπεμπε καὶ γίγας φίλος.
Καὶ γὰρ ἐφ' ἡμᾶς ὁ φθορεὺς ἕρπει φθόνος,
Καὶ κρυπῖὸν ὡς ἄτολμος ἁρπάζων βέλος,
Ὃ τὸ πρὶν ἠκόνησεν εἰς ψεύδους λίθον,
Κατασῖρατηγεῖ τῶν ἐμῶν συνταγμάτων.
Ἔσῖω γε μὴν εὔσῖικτος αὐτῇ λαμπρότης
Ἐκ τῆς καθαρᾶς τοῦ χρυσοῦ λεπῖουργίας,
Ὡς ἂν τὸν ἐχθρὸν ἐκφοβῇ καὶ μακρόθεν
Τοῦ φωτὸς ἐκτείνασα τὰς ἀνακλάσεις,
Ὡς νευρά τις εὔξεσῖα τοξότου βέλη·
Ῥᾳσῖη δέ μοι φαίνοιτο καὶ κούφη σῖρέφειν,
Σιδηρίου μέλανος ἐσκευασμένη,
Ἡ γὰρ ἐν αὐτῷ τῶν φλεβῶν[4] εὐταξία
Τὴν αὐτόθεν κίνησιν ἐμφαίνουσί[5] μοι·
Τὰ δ' ἐκτόπως ἔχοντα τῶν ὅπλων βάρη

[1] Vers. 14 et 15 supra XVIII, 6 et 7.

[2] In marg. legitur ζήτει. Finis excidit. Cf. CCXIV, 13.

[3] Fort. Joanni Zaridæ, de quo Cantacuz. I, 26, et ad quem scripsit Maxim. Planudes. Conf. codex Monac. n° 50. Ap. Cantacuz. Ζαρίδης.

[4] Quid hic φλέβες? Fort. delend. v. 15, qui ad aliud carmen pertinet.

[5] Leg. ἐμφαίνουσά μοι.

* Πολλάκις ἐχθροῦ δυσμενέστερα βλέπω·
Ταύτην δὲ λαβὼν τῆς ἐμῆς ἐφεστρίδος,
Ὅταν ὁ θυμὸς ἀκρατῶς ὑπερζέσῃ,
Κτενῶ πονηροὺς εἰσπεσόντας ἀθρόους,
Καὶ τοὺς ἐν ἀγροῖς οὐχ ὑποτρέσω λύκους,
Οὓς εἰς λεόντων ἐξαμειφθέντας θράσος
Ἡ στεῤῥότης ἔδειξε τῆς ἁμαρτίας·
Οὐ γὰρ ἀγεννὴς καὶ Φιλῆς ἐν ὁπλίταις,
Ὅταν ἔχῃ σύναρσιν ἀπὸ τῶν φίλων.

CCVI. Πρὸς τὸν αὐτοκράτορα.

Θηλὴ, βασιλεῦ, θρεπτικῶν προσταγμάτων,
Τὸ πορφυροῦν ἔχουσα τοῦ κράτους γάλα[1],
Τάχ' ἂν τὸ σὸν τρίδουλον[2] αὐξάνοι βρέφος
Τὸν πατρόθεν τρέφοντα μαστεῦον πόρον.

* CCVII. Τῷ μεγάλῳ στρατοπεδάρχῃ.

Ἐγὼ[3], στρατηγὲ, τὸν μὲν ἔμπροσθεν χρόνον
Ἑκὼν ἄκων ἔστεργον οὓς εἶχον πόνους·
Ἐπεὶ δὲ τὴν σὴν εὐτυχῶς εἶδον φύσιν,
Ἐξ οὗ τὸ λυποῦν ἐντραπὲν συνεστάλη,
Τὸ σχῆμα λαβὼν τῆς διόπτρας[4] τῶν λόγων,
Ἀσκαρδαμυκτὶ πρὸς τὸ σὸν κάλλος βλέπω,
Οὗ κατ' ἐμαυτὸν ζωγραφῶν τὰς ἐμφάσεις,
Ὅτε στρατηγεῖς πανταχοῦ τῆς ἑσπέρας,
Σοϐῶν τὸν ἑσμὸν[5] τακτικῶς τῶν βαρϐάρων,
Καὶ τῶν Ἰταλῶν τὸν θρασὺν εἴργων δρόμον,

[1] Conf. supra XIII, 24.

[2] Ephræm. *Chron.* 254, et Theod. Prodr. IV, 48 ed. Mai.: *Καὶ πάλιν ἐργασάμενος τῷ κράτει σου τριδούλους.*

[3] Conf. cod. Escur. XCI, 1, 2 et 5, ubi idem versus.

[4] Cod. *διόπρας*. Cf. supra LV, 16.

[5] Conf. cod. Esc. CCXIII, 110.

Ἔχω προσῆκον τῇ νόσῳ τὸ φάρμακον·
Κἂν ἀπὸ θηλῆς κλαυθμυρίζοι τὰ βρέφη,
Ῥιγοῖ γὰρ αὐτοῖς δυσπαθῶς τὰ σαρκία,
* Χιτῶνας αὐτὸς ἐξυφαίνεις ἐλπίδων,
Φοιτῶν πρὸς ἡμᾶς ὁ γλυκὺς εὐεργέτης.
Πλὴν ἴδε τοὺς σοὺς εὐμενῶς ὑποστρέφων,
Καὶ θάλψον ἡμᾶς τὴν χρυσῆν ζέσιν χέας.
Ὁ γὰρ καθιστῶν συγχυθείσας τὰς πόλεις,
Καὶ τοὺς περιχαίνοντας[1] ἐχθροὺς συντρίβων,
Καὶ τεῖχος αὐτοῖς ἐμποδὼν στήσας μέγα,
Μή τις καθ' ἡμῶν δυσμενὴς ἐπιτρέχοι,
Μᾶλλον δὲ τοῖς χάραξι τοῦ μεταιχμίου
Παντὸς κεφαλὴν δυσμενοῦς διακλάσας,
Πῶς οὐχὶ κἀμοῦ τοὺς δριμεῖς εἴρξεις πόνους
Τὸ κέρδος ἐνθεὶς καὶ χρυσοῦν τεῖχος κτίσας;
Τί δὲ, στρατηγὲ, καὶ πρὸ τῆσδε τῆς τύχης
Οὐ μᾶλλον ἡμᾶς εὐπραγοῦντας εἰστίας;
Τροφεῦ προμηθεῦ, τοὺς δὲ μέχρι σου ξένους
Οὐκ ἔστιν εὑρεῖν δυστυχοῦντας ὀλβίους,
Ἐμοὶ δὲ νικᾷς εὐχερῶς καὶ τοὺς λόγους,
Ἀνατρέπων τὸ σχῆμα τῆς εὐτεχνίας
* Ἐν τοῖς δι' ἡμᾶς τακτικοῖς σου πρακτέοις·
Τὴν γὰρ ἀναζέσασαν ἐξ Αἴτνης[2] φλόγα
Καὶ μέχρις ἡμῶν εἰσρυεῖσαν ἀσχέτως,
Καὶ πάντα μικροῦ πυρπολήσασαν τόπον,
Τῆς βαρβαρικῆς ἐκριπιζούσης ὕλης,

[1] Infra ccxiv, 30 : Τοὺς κυκλόθεν χαίνοντας ἐχθροὺς ἐκτρίβων. Cod. Escur. cxci, 15 : Καὶ τοὺς περιχαίνοντας ἔσθ' ὅτε ξένους Ἀναψύχει λάπτοντας ὀζῶδες γάλα. Id. *De anim.* 1273 : Μάτην περιχαίνοντας αὐτοὺς δεικνύει.

[2] Infra ccxiv, 22 : Σβέννυσι τὴν ἀρθεῖσαν ἐξ Αἴτνης φλόγα.

Αὐτὸς ποταμοὺς γνωσlικοὺς ὑπερχέας
Καὶ κατὰ δυσμῶν ἐκτοπίσας ἀσχέτως,
Κλεινὲ σlρατηγὲ, συντόνως ἀπέσβεσας·
Καὶ νῦν ὁ καπνὸς τῶν φονευτῶν ἐῤῥύη,
Καὶ σώζεται πᾶς εὐγενῶς ἀναπνέων.
Ὦ τῆς μεγάλης ἧς ἔτυχες φύσεως!
Τηρεῖς γὰρ ἀπὼν καὶ παρὼν σώζεις πάλιν[1],
Καὶ τὴν πολιὰν τῆς παρακμῆς δεικνύεις
Ἐν τῇ πρὸς ἀκμὴν τῆς φυῆς εὐταξίᾳ.
Τίς γὰρ, τὸ σὸν πρόσωπον εἰ βλέπει μόνον,
Οὐκ εἰς τὸ λοιπὸν σωφρονέσlερος μένει;
Τίς τῶν σlρατηγῶν τῶν σοφῶν τῆς Ἑλλάδος
Ἀντέσχεν ὡς σὺ δεξιῶς τοῖς βαρβάροις;
Τίς εὐθὺς ἐῤῥύθμισεν ἔργῳ τὸν λόγον[2],
Λόγῳ δὲ πάλιν ἔργον; οἰχέσθω φθόνος.
Πῶς ἡλίου δύναμιν ἢ τάχος φέρων
Τὸ σχῆμα τῆς γῆς εὐφυῶς διατρέχεις;
Τίς οἶδεν ὡς σὺ τὸν σlρατὸν διεξάγειν,
Καὶ ταῖς καθ' ἡμῶν ἐκδρομαῖς ἀντιτρέχειν,
Καὶ τοῖς μαχηταῖς ἐντινάσσειν τὴν σπάθην,
Καὶ νοῦν σlαθηρὸν ταῖς τομαῖς ἐφισlάνειν,
Καὶ τὰς μεταξὺ δυσχερεῖς περισlάσεις
Ψυχῆς ἀγαθῆς ἐμβριθεῖ τόνῳ σlέγειν;
Ἕως ὁ καιρὸς τῆς σφαγῆς παρατρέχων
Στεφανίτην ἥδισlον ἡμῖν σε γράφοι,
Ὡς ἀπὸ βαφῆς ἐθνικῆς κεχρωσμένον[3].
Ἀνατολή σοι μάρτυς[4], ἀλλὰ καὶ δύσις,

[1] Infra CCXIV, 17: Τὴν δὲ σὴν σώζεις πόλιν.

[2] Conf. Boisson. *An. gr.* III, 60.

[3] Cod. κεχρωμένον.

[4] Infra CCXIX, 17: Μάρτυς ἑῴα πᾶσα, δυσμὴ δὲ πλέον.

Καὶ πᾶς τις ἐχθρὸς, εἰ λαθὼν πέφευγέ σε,
Καὶ μᾶλλον ἡμεῖς, ὑπὲρ ὧν συνεπλέκου,
Τὴν σὴν ἀτεχνῶς ἀγαθὴν ἴσμεν τύχην.
Τίς ἄρα πατὴρ οὐκ ἐπεύχεται ζέων
* Τῇ σῇ τὸν υἱὸν ἐμφερεῖ[1] φύσει βλέπειν;
Ποίᾳ δὲ μητρὶ προσφιλὴς ὁ παῖς πάλιν,
Ἂν μή τι τῶν σῶν εὐτυχῇ γνωρισμάτων;
Τίς οὐκ ἐπαινεῖ τοὺς γονεῖς τοὺς ὀλβίους,
Ἐξ ὧν τοσοῦτο κέρδος ἀνθρώποις ἔφυς;
Ἆρ' οὐχὶ σεμνότητος εἰσφέρεις τύπους
Νέοις τε καὶ γέρουσι καὶ τούτων μέσοις,
Τῆς ἡδονῆς τὸ κέντρον ἀμβλύνων φόβῳ,
Καὶ πᾶν τὸ δεινὸν τῶν παθῶν πῦρ[2] σβεννύων,
Μὴ δαπανηθῇ τῆς ψυχῆς τὸ συμφέρον;
Ὢ νοῦς ἑαυτὸν τοῖς καλοῖς προγυμνάσας,
Ὡς ἂν ὁ διπλοῦς εὐστοχῇ στεφανίτης
Τὰς τῶν ἀμοιβῶν ἀντιπέμπων ἐλπίδας,
Ὡς τοὺς ὀϊστοὺς ἐκ φαρέτρας τοξότης!
Ἀλλ', ὦ στρατηγὲ, δυσπραγοῦντά με βλέπων,
Ἀφ' οὗπερ αὐτῆς ἐξιὼν τῆς πατρίδος
Ἐπῆλθον εἰς γῆν δυστυχῶς ἀλλοτρίαν,
Ὀξὺς βοηθὸς ἐν περιστάσει γίνου,
Καὶ τοῦ βίου κοίμισον ἡμῖν τὴν ζάλην[3],
Μή πως βυθισθῇ τῆς ψυχῆς μου τὸ σκάφος[4],
Καὶ τῶν λυπηρῶν τὸν βαθὺν λῦσον ζόφον[5]

[1] Leg. ἐμφερῆ.

[2] Id. Append. I, 117 : Ὦ χαῖρε παθῶν πυρὸς ἀπαλλάξασα.

[3] Cf. supra XCVIII, 2.

[4] De hac metaphora conf. cod. Flor. LXXIV, 5.

[5] Cod. Flor. CI, 7 : Τῶν ἀηδῶν ἐξελαύνει τὸν ζόφον. Id. CVI, 10. Jo. Eugenicus, cod. Paris. 2075, fol. 227 r°: Εἶδον ἐκλείψασαν τὴν τὸν ζόφον τῆς δυστυχίας ἡμῖν παραμυθουμένην σελήνην.

Εὐεργεσιῶν ἐμβαλών μοι λαμπάδα[1].
Ναὶ δεῖξον ἡμῖν τῆς ψυχῆς τὴν αἰθρίαν[2],
Ὑφ' ἧς τὸ δεινὸν ἐξελαύνεται κρύος,
Ὃ συμφορῶν πήγνυσι τοῖς ξένοις νέφος[3].
Οἱ γὰρ φίλοι χαίνοντες ἐμβλέπουσί μοι,
Οἳ τὴν πρὸ μακροῦ τῶν ἐμῶν φθορὰν πόνων
Ἀνεῖργον ἐν σοὶ δυσχεραίνοντες μόνον,
Ὡς οὐ πρὸς ἡμᾶς καὶ πτερῶν εἶχες τάχος·
Μὴ γὰρ Φιλῆς, ἔφασκον, ἀλγήσει πλέον,
Ἂν ὁ στρατηγὸς ὁ γλυκὺς ἀναδράμοι;
Ἢ συστελεῖ γίγαντι χειμὼν δακτύλους,
Οὓς οἶκτος εὐθὺς ἐκτενεῖ πρὸς τὰς δόσεις;

* CCVIII. Τῷ πανσεβαστῷ.

Ἐγὼ κυνικός εἰμι καὶ σαίνων φίλος,
Καὶ καθυλακτῶ[4] πανταχοῦ τῶν βασκάνων.
Ζητοῦντι λοιπὸν εὐγενῆ φαγεῖν κρέα
Δὸς ἢ λαγωὸν ἢ χρυσοῦν δήπου βρόχον.

CCIX. Τῷ πανσεβαστῷ Δομεστίκῳ.

Εἰ βραχέος δέλφακος ἡ σχοῖνος χάριν,
Ἣν ὀξέως ἔκλωσεν ἡ παροιμία,
Τί χρή με ποιεῖν, ἐντελεῖς εἴ τις νέμοι,
Καὶ ταῦτα χειρὸς ἐκταθείσης ἀφθόνου;
Δομέστικος γὰρ ὁ χρυσοῦς εὐεργέτης
* Τάχ' ἄν με νωθρὸν καὶ βραδὺν ταύτῃ κρίνοι,
Μὴ πρὸς τὸ λαβεῖν ἀσχέτως ἐγκείμενον.

[1] Vid. supra cxxiv, 3.

[2] De eadem metaphora conf. codex Flor. xcix, 8.

[3] Cod. Flor. cxi, 5.

[4] Anon. cod. Paris. 39, fol. 118 r°: Ὅπερ μὴ κακῶς ἐὰν ὑπὸ τῶν θυμικῶν κινημάτων καθυλακτούμενον ἐκταράσσεσθαι παρεγγύησε.

CCX. Τῷ μεγάλῳ στρατοπεδάρχῃ.

Σὺ μὲν δι' ἡμᾶς δυσπαθεῖς ἀνενδότως
Εἰς νυκτερινὰς καὶ καθέδρας καὶ στάσεις,
Καὶ τακτικὰ σκέμματα, θερμὲ γῆς Ἄρες,
Ὡς πρὸς μαχητὰς ἐκστρατεύσων βαρβάρους,
Καὶ σατράπου γόητος ὑπεροψίαν,
Μή πως ὁ κοινὸς ἐνταθῇ μᾶλλον κλύδων
Τῇ συγχυτικῇ προσβολῇ τῶν πραγμάτων·
Ἐγὼ δὲ ῥιφεὶς δυστυχῶς ἐπὶ κλίνης,
Τοῦ δοχμίου τένοντος ἐξῳδηκότος,
Ἑκὼν ἄκων [1] ὃ φασιν ἀτρέμας φέρω·
* Πλὴν ἄχθομαι ζῶν εἰς δριμύτερον πόνον,
Ὅταν θορυβῇ καὶ κτυπῇ με τὰ βρέφη
Ζητοῦντα χιλὸν καὶ ποτὸν καὶ διφθέρας
Εἰς ἱματισμοὺς πορφυροῦς καὶ προσφάτους·
Καὶ πᾶς ὁ δῆμος [2] οὗτος ὃς κέχηνέ μοι,
Τροφῆς ἴσως χρῄζοντες ἡμερησίας·
Καὶ γὰρ παρ' ἡμῖν ἀσθενὴς ὁ καμψάκης [3],
Τῆς βασιλικῆς ἐμφραγείσης ὑδρίας.
Τὸν δεύτερον γοῦν συμπαθῶς λῦσον πόνον,
Τὸν πρῶτον ἀφεὶς τῇ πάλῃ τῆς φύσεως·
Γενοῦ δὲ ταχὺς καὶ τροφεὺς καὶ Θεσβίτης,
Ὡς ἂν φθορᾶς ἄγευστος ἐν βίῳ μένων
Σοφαῖς ἀναιρῇς ἐκδρομαῖς τὴν αἰσχύνην,
Ἣ δὴ πρὸ μικροῦ τῷ στρατῷ προσετρίβη.
Οὐδεὶς γὰρ ἡμῶν οὐδὲ καμνόντων λόγος
Τοῖς τῶν φίλων φεύγουσι τὰς περιστάσεις.

[1] Conf. *Thesaur.* s. v. Ἄκων.

[2] Conf. supra XL, 72.

[3] Alludit ad III Reg. XVII, 12, de Elia quem v. 21 nominat.

CCXI. Τῷ ϖροκαθημένῳ τοῦ βεσλιαρίου[1].

Χρισλοῦ μαθητὰ, ϖρακτικὲ ϖλωχοτρόφε,
Κατὰ τὸν ἐγχωροῦντα τῇ φύσει τρόπον,
Ἴδε ϖρὸς ἡμᾶς δυσπραγοῦντας τοὺς ξένους,
Ἴδε ϖρὸς ἡμᾶς οἷς ἐπεκλῶ συχνάκις,
Πρὶν εἰς Ἐριννῦς ἐκτραπῆναι τοὺς λόγους.
Δεινὴ γὰρ ἐνσκήψασα τοῖς νεύροις νόσος,
Ἃ τὴν κεφαλὴν τῷ τραχήλῳ συνδέει,
Ἐπὶ κλίνης ἔχει με κατακείμενον.
Ἐκνεύρισον γοῦν τοὺς ἐμοὺς, σῶτερ, ϖόνους,
Χρυσοῦν χέας φάρμακον εἰς τὴν γασλέρα.
Καὶ γὰρ ὅλως κίνησις οὐκ ἔνεσλί μοι,
Τραχηλιώσης καὶ σφριγώσης τῆς νόσου·
Ναὶ χεὶρ καθαρὰ συσλολῆς ἀποσλρόφου,
Καὶ νοῦ δανεισλὰ ϖρὸς Θεόσδοτον[2] τόκον,
Γενοῦ Γαληνὸς εἰς ἀνάργυρον ϖάθος.

CCXII. Τῷ ϖανσεβασλῷ Δομεσλίκῳ.

Ἕως τίνος τάνταλος οὐκ ὄντος μύθου,
Πότιμε ϖηγὴ δρασλικῶν χαρισμάτων;
Μέχρι τίνος τὸ μέλλον εἰς θνητὴν φύσιν;
Τίς ἐγγυητὴς ὡς μενεῖ τοῦθ' ὁ χρόνος;
Παρῆλθε τὸ χθὲς καὶ τὸ νῦν ϖαρατρέχει·
* Τὸ ϖροσδοκηθὲν οὐχ ὁρῶ· ϖοῦ γὰρ τόδε;
Ὀξὺς ὁ καιρὸς καὶ βραχὺς ὁ ϖᾶς βίος,
Ὃς ϖολλάκις ἔκλεψε καὶ τὰς ἐλπίδας,

[1] Conf. infra CCXVIII.

[2] Carmen *De S. Theodoro*, 76: Πισλοὶ δ' ἐπεντρυφῶσι τοῖς Θεοσδόταις. Nicolaus Cpol. in *Spicil. Rom.* tom. X, p. 162: Τῶν ἤδη ϖρὸς τὴν Θεόσδοτον ὑμῶν ἐξουσίαν ἀπεσλαλμένων.

Ὄμφαξ τρυγηθεὶς καὶ δριμὺς παραυτίκα.
Τὸ γοῦν παρὸν δὸς, ἀλλὰ μὴ τὸ μηκέτι·
Καὶ γὰρ πάλαι δέδοικα τὴν παροιμίαν,
Ἣ τοὺς ἄνους πέπαιχεν ἐλπιδηφόρους[1].

CCXIII. Τῷ αὐτῷ.

Πάλιν ἐφ' ἡμᾶς τὸ χρυσοῦν φῶς ἐῤῥάγης,
Ὑφ' οὗ τὰ πυκνὰ τῆς ἐμῆς ψυχῆς νέφη[2]
Καθάπερ ὑγρὸς ἐξελαύνεται γνόφος.
Τὴν σὴν γὰρ αὐγὴν μυστικὴ τρέφει ζέσις,
Ἣν ἀπὸ δυσμῶν καὶ κρυμοῦ καὶ πνευμάτων
Μεσημβρίας ἄντικρυς ἀκμὴν δεικνύεις.
Καὶ νῦν ἔχω πρώϊμον ἐλπίδων ἔαρ,
Ἀνθοῦν τὸ σὸν πρόσωπον ὡς ῥόδον βλέπων·
Τὸν γὰρ βαρὺν κλύδωνα[3] τῆς λύπης λύεις,
Τὰ τόξα[4] τῶν σῶν ἐξανοίγων ὀφρύων
Ἐπὶ γαληνιῶσαν ὀμμάτων χάριν·
* Κοινὸν δὲ καλὸν ὡς ἀὴρ, γῆ, πῦρ, ὕδωρ,
Ἡμῖν ἀτεχνῶς δυσπραγοῦσιν εὑρέθης,
Ἃ δὴ λυσιτελοῦσι τῇ πάντων φύσει
Κιρνῶντα καλῶς τὴν πρὸς ἄλληλα σχέσιν,
Ὡς ἂν ἔχοι μένουσαν ἡ κτίσις βάσιν·
Μικροῦ γὰρ αὐτὸς καὶ τὸ τῆς ὕλης πάχος,
Κἂν ἀποδημῇς, οὐ περιγράφεις τόπῳ·

[1] Hac voce caret *Thesaurus*, qui tantum exhibet nomen pr. Ἐλπιδηφόρος, vel potius Ἐλπιδιφόρος.

[2] Jo. Chrys. *Opp.* tom. I, p. 107 E: Πυκνῷ τινι νέφει συσκιάζοντες αὐτῶν τὴν ψυχήν. Georg. Pisid. *Hexaem.* 19: Καὶ τὸ πνεῦμά σου φθάσαν Τῷ τοῦ λογισμοῦ ἀντεφύσασεν (cod. Paris. 1302, ἀντεφυσήθη, ut conjiciebat Morel.) νέφει.

[3] Id. metaphorice supra XL, 80: Συμφόρων μέγας κλύδων.

[4] Cod. Escur. XCI, 9: Τὰς γὰρ μὲν ὀφρῦς τόξα γαλήνης κρίνω.

Ἔχει δὲ θησαυρόν σε πᾶσα καρδία
Τὸν λυχνίτην, τὸ ψῆγμα, τὸν μαργαρίτην,
Τὸν παντοδαπὸν τῶν φίλων κοσμήτορα.
Πλὴν ἀλλὰ διψῶ καὶ χρυσῆς χρήζω δρόσου[1],
Τὴν ἀργυρᾶν πόῤῥωθεν ἐκθλίψας φλέβα,
Νοῦ τῶν θεμάτων τῆς ἔω Δομέστικε.

CCXIV. Εἰς τὸν δεσπότην τὸν Χριστὸν τὸν κραταιόν.

Σὸν ἔργον ἡ τμηθεῖσα τοῦ βυθοῦ χύσις,
Καὶ πάλιν εἰς τὸν πρῶτον ἐλθοῦσα δρόμον,
Ὡς ἂν ὁ Μωσῆς εὑρεθῇ σεσωσμένος,
Τοῦ Φαραὼ κρυβέντος εἰς τὸν πυθμένα.
Σὺ γὰρ δυνατὸς καὶ θεὸς θεῶν μόνος,
* Καὶ παμβασιλεὺς καὶ θεοῦ ζῶντος Λόγος,
Ὃς θυρεοὺς καὶ τόξα χειρὶ συντρίβεις,
Ἐχθροὺς καθαιρῶν αὐθαδῶς πεφραγμένους,
Καὶ τοῖς ταπεινοῖς εὐσθενῆ διδοὺς χάριν.
Σὸν ἄρα σαφῶς καὶ τὸ νῦν ἔργον τόδε·
Τῶν γὰρ Ἰταλῶν συμμαχεῖν τεταγμένων,
Εἶτα καθ' ἡμῶν εἰσβαλεῖν ἠπειγμένων
Ἐκ τῆς παρ' ἡμῖν Περσικῆς ὁμαιχμίας[2],
Καὶ τήνδε τὴν σὴν ἄρτι κυκλούντων πόλιν,
Αὐτὸς, κραταιὲ, τὸν κρατοῦντα δοξάσας,
Ὡς ὑπὸ τὴν σὴν προσπεφευγότα σκέπην,
Αὐτοὺς μὲν ὠθεῖς, τὴν δὲ σὴν σώζεις πόλιν[3].
Οἱ μὲν γὰρ ὡπλίζοντο θυμῷ καὶ θράσει
Καὶ τῇ περιττῇ φλεγμονῇ τῶν ἁρμάτων·
Ὁ δὲ πρὸς αὐτοὺς ἀντιτάξας τὸν φόβον,
Ὃν ἔσχεν εὐθὺς πρὸς τὸ σὸν μέγα κράτος,

[1] Cf. CXXII, 21. — [2] Supra CCIV, 15. — [3] Conf. supra CCVII, 43.

Σβέννυσι τὴν ἀρθεῖσαν ἐξ Αἴτνης[1] φλόγα,
Πρὸ τῶν ποδῶν σου δάκρυ συντριβῆς χέας·
* Τὴν γὰρ ἑαυτοῦ δραστικὴν πανοπλίαν
Ψευδῆ τέως κέκρικεν εἰς σωτηρίαν.
Οὐκοῦν πάλιν σὺ καὶ Θεὸς καὶ δεσπότης,
Θεὸς δυνατὸς ἐν πολυτρόποις μάχαις,
Καὶ σῶζε τοῖς σοῖς Αὐσονάρχαις τὸ κράτος,
Καὶ τὰς ὑπ' αὐτοὺς πανταχοῦ φρούρει πόλεις,
Τοὺς κυκλόθεν χαίνοντας[2] ἐχθροὺς ἐκτρίβων·
Νυνὶ δέ σοι τὸ σχῆμα τῶν τεραστίων
Πρὸ τῶν θυρῶν ἔγραψεν εὐνοίας χάριν
Ἰσαακίου τοῦ Ῥαοὺλ[3] ἡ σύζυγος,
Ἣ σαυτὸν ὑπέδειξας εἰς νόμισμά τι,
Πρὸς τὴν ὀργὴν εὐδοκῶν καὶ τὴν κτίσιν,
Καὶ τὸν φρικώδη τοῦτον ἐν θρόνῳ τύπον.

CCXV. Πρὸς τὸν ἐπὶ τοῦ στύλου ἱππότην Ἰουστινιανὸν[4] ὁ αὐτοκράτωρ.

Σὺ μὲν κατ' ἐχθρῶν, ἱππότα στεφηφόρε,
Τὴν ἀπὸ χαλκοῦ δεξιὰν προεξάγων,
Δοκεῖς ἀπειλεῖν τῷ φοβήτρῳ τῆς θέας·
Ἐγὼ δὲ, φησὶν Ἀνδρόνικος αὐτάναξ,
Μισῶν ἀτεχνῶς τὸν διάκενον τύφον,
* Τείνω κατ' ἐχθρῶν πανταχοῦ πολυσπόρων[5]
Τὴν τοῦ κραταιοῦ δεξιὰν κἂν τοῖς τύποις,
Καὶ σοῦ καθαρῶς εὐτυχέστερος μένω,
Στήλην ἔχων ἄρρευστον ἐκ τῆς ἐλπίδος,
Ἣν οὐ κατεκτύπησεν ἢ πῦρ ἢ σφύρα.

[1] Vide supra CCVII, 19.
[2] Cf. supra CCVII, 19.
[3] De Isaacio Raule conf. Cantacuz. tom. I, p. 273.
[4] De statua equestri Justiniani conf. Niceph. Greg. p. 277, 15, ibique not. Boivini.
[5] Conf. cod. Flor. LXXV, 3.

CCXVI. Τῷ Ξανθοπούλῳ κυρῷ Νικηφόρῳ.

Χειρόπλοκον[1] φῶς καὶ διάβροχον[2] βρόχον,
Εἰς κηρὸν, εἰς τήγανον, εἰς τρητὸν ξύλον,
Καὶ δέρμα νεκρὸν ὡς ὑπισχνοῦ μοι δίδου,
* Ὦ λύχνε φωτὸς, ἐκ πυρᾶς ἐγκαρδίου.

CCXVII. Τῷ μεγάλῳ λογαριαστῇ[3].

Ἄνερ σοφῶν κάλλιστε, δὸς δὴ τὸν τρίτον·
Καὶ γὰρ θανατῶ καὶ πνοῆς χρήζω τρίτης·
Μᾶλλον δὲ τοὺς φθάσαντας εἰσπνεύσας λόγους
Γοργῶς ἀναπνεῖν παρὰ τὸν τρίτον θέλω.
Νῦν πέμπε μοι τὸν οἶνον ὡς ὑπεσχέθης,
Ἢ φράζε μηδὲν εἰς τὸν ὕστερον χρόνον
(Οὐ γὰρ τυραννὶς τοῦ ὅρους τῆς ἀγάπης,
Ἀλλὰ σχέσις πήγνυσι), μὴ παίζειν δίδως.

CCXVIII. Τῷ προκαθημένῳ τοῦ βεστιαρίου[4].

Ἔπεμψά σοι τὸν παῖδα τὸν γέροντά μου,
Τὸν σὸν Δανιὴλ, τὸν Φιλῆν τὸν ἀγχίνουν,
Ὃν αὐτὸς ὠδίνησας εἰς ξένον τόκον,
Εἰ μήτραν εἰπεῖν τὴν κολυμβήθραν δίδως,
Ἣν ἡ χάρις εὔτεκνον εἰργάσατό σοι·
Διδάξεται γὰρ ἂν ἐπιτρέψῃς μόνον,
Ὡς πατρὸς ἀντίμιμος ἀρχιποίμενος.
Ἐρεῖ δέ σοι καὶ μῦθον ἀγροίκου τρόπον,
Ψελλισμάτων[5] ἥδιστον εἰσφέρων κτύπον,

[1] Vox addenda lexicis.

[2] Philes, ed. Wernsd. p. 64 : Διάβροχον πόαν.

[3] Conf. cod. Esc. CCXLVII.

[4] Vide supra CCXI.

[5] Supra XL, 72 : Ποῦ φιλτάτου ψέλλισμα; Cod. Escur. CCXIII, 194 : Ἐν τοῖς παραφθέγμασι τῶν ψελλισμάτων.

* Ὅπου νόθον τὸ σίγμα θῆτα[1] γίνεται·
Ἡ γλῶσσα γὰρ δὴ τῶν ὀδόντων ἐκτρέχει,
Τὴν συστολὴν φεύγουσα τῶν παρισθμίων[2]·
Ἴσως ἐν ἀρχῇ δυσφορήσει τὸ βρέφος,
Καὶ πρὸς τὸ σὸν πρόσωπον οὐκ ἂν ἐμβλέποι.
Ἡ γὰρ ὑπ' αἰδοῦς θερμότης τοῦ νηπίου
Πλήσει τὸν ἐγκέφαλον ἀτμῶν προσφάτων,
Καὶ τῆς κεφαλῆς τὴν ῥοπὴν ὑποσπάσει,
Πείσασα τὴν γῆν τὴν προμήτορα[3] βλέπειν·
Εἴ που δέ τις πόπανον αὐτῷ δεικνύοι,
Καὶ μῆλον ὑγρὸν εἰς χλιδῶσαν πορφύραν,
Ἢ καρύων σφαίρωσιν ἢ κώνου σπόρον,
Ἢ καὶ περιτμήματα καὶ παρασπάδας
Ἐκ τῆς ὑφαντῆς τῶν Σκυθῶν χρυσουργίας,
Ὁ παῖς τιθασὸς εὑρεθήσεται σκύλαξ·
Καὶ γὰρ ὁμαλῶς ἐγγιεῖ καὶ δράξεται,
Μετὰ δὲ μικρὸν ἐμφαγὼν καὶ καγχάσει·
Καὶ γὰρ διαχεῖ τὴν ψυχὴν τὸ πρὸς χάριν·
* Ἂν δὲ κτυπηθῇ καὶ χρυσῷ φιλοφρόνως,
Πακτωλέ[4] μου πότιμε καὶ χρυσοῤῥόα,
Δείξει τρανῶς ἐνταῦθα γυμνὴν τὴν φύσιν,
Ὡς ἂν ἑαυτὸν πατρικῇ θάλψῃ ζέσει,
Πανηγυρικῶν εὐπορήσας ἀμφίων.

[1] De hac permutatione confer *Thesaur.* s. v. Θ et Σ.

[2] Vid. cod. Flor. LIII, 30.

[3] Conf. cod. Flor. CCXLIX, 30.

[4] Supra LIX, 4; infra CCXXXIX, 1. Cod. Flor. I, 761: Πακτωλὸς οὗτός ἐστι καὶ Νεῖλος ῥέων. Codex Escur. CCIV, 3, et CLXXXVI, 1: Πάκτωλέ μου πρόελθε καὶ πλούτιζέ με. CXCI, 64: Ἀλλ' ὡς ποταμῶν Νεῖλέ μου χρυσοῤῥόα. Gregor. Monach. ap. Boisson. *Anecd. gr.* V, p. 444: Ῥεῖ δὲ οἷόν τις ἐνθουσιῶν, ποταμίων ῥευμάτων δίκην, ὥσπερ τις χρυσοῤῥόας ὁ Νεῖλος ἤτοι ἀργυροδίνης, ἢ Πακτωλός. Eustath. *Opusc.* p. 332, 9: Πακτωλὸς ὅλος περὶ ἐμὲ, χρυσῷ ῥέων.

CCXIX. *Περὶ τῶν τοῦ θαυμαστοῦ πρωτοστράτορος κεφαλαίων, ἅπερ ἀπὸ τῆς θείας γραφῆς ἠρανίσατο.*

Γλαβᾶς Μιχαὴλ Δούκας ὁ πρωτοστράτωρ,
Ὁ νοῦς ὁ γοργὸς, ἡ φυσικὴ θερμότης,
Ὁ καὶ στρατηγὸς καὶ σοφὸς καὶ γεννάδας,
Λύσας νοητῶς τὸ πτερὸν[1] τῆς καρδίας
Εἰς τὸν χρυσοῦν λειμῶνα[2] τῶν θείων λόγων,
Καὶ παντὸς ἄνθους ἁρπάσας τὸ χρήσιμον,
Ἥδιστον ὠργάνωσε ῥημάτων μέλι,
Καὶ ταῦτα ναρκῶν τῇ νόσῳ τοῦ σώματος
Καὶ τῷ δριμεῖ χειμῶνι[3] τῶν ἔνδον πόνων·
Οἰκῶν δὲ καὶ τὰ σίμβλα[4] τῆς στρατarχίας,
Καὶ τὸν περιττὸν τοῦ στρατοῦ βόμβον στέγων.
Ἔρως γὰρ αὐτὸν κοσμικῆς σωτηρίας
* Ὑπερφυῶν ἔδειξεν ἐργάτην πόνων,
Δι' ὧν καθαιρῶν πανταχοῦ τοὺς βαρβάρους,
Πόλεις ἀνίστη καὶ τόπους ἐλάμβανεν,
Οὓς δυσμενῶν[5] κατεῖχεν ὁπλιτῶν θράσος.
Μάρτυς[6] ἑῴα πᾶσα, δυσμὴ δὲ πλέον,
Καὶ πᾶσα φωνὴ, καὶ ψυχὴ, καὶ πᾶν στόμα·
Μόνος γὰρ οὗτος τὴν κατ' ἄνθρωπον φύσιν
Ἔδειξεν ὡς ἦν ἐκ θεοῦ πρὸ τοῦ ξύλου,
Τὴν γνωστικὴν δύναμιν ἐξ ἔργων χέας.
Οὐκοῦν διελθὼν εὐφυῶς τὸ βιβλίον,
Ἄνθρωπε, καρπὸν ἐκτροπῆς κρείσσω τρύγα[7]·

[1] Supra x, 15.
[2] Cod. Flor. cxxxiv, 10.
[3] Conf. cod. Flor. ci, 41.
[4] Cod. Flor. ccxiii, 14 : Τῆς ἀρετῆς τὸ σίμβλον.
[5] Prius erat δυσμῶν, quod correxit manus posterior.
[6] Vide supra ccvii, 63.
[7] Noster, ed. Wernsd. p. 64 : Ἔνθα τρυγᾷ τὰ δένδρα τῆς ἀφθαρσίας.

Μᾶλλον δὲ λαβὼν τὴν Ἐδὲμ τὴν ἐνθάδε,
Καὶ τὴν γεωργηθεῖσαν ἀφθόνως χάριν,
Σωτηρίας ἔρανον ἡδέως φάγε·
Ὁ γὰρ προμηθεὺς τῆς φυῆς πρωτοστράτωρ
Ἀνειμένον τὸν κῆπον εἰργάσατό σοι.
Βούλει προελθεῖν εἰς φυτοῦ βάσιν ξένην,
Ὡς ἂν καθεσθῇς τῇ σκιᾷ τῇ τῶν κλάδων;
* Ἡ Βασιλείου γλῶσσα καλεῖ σε, δράμε.
Καὶ γὰρ πιανθεὶς τῇ δρόσῳ τοῦ Πνεύματος
Ἐκεῖνος αὐτὸς τῶν γραφῶν ὁ τεχνίτης
Καρποὺς νοητοὺς καὶ σκιὰν ἔμπνουν φέρει,
Καὶ ψυχαγωγεῖ τοὺς προσεκτικωτέρους[1].
Βούλει ποταμὸν καὶ βαθὺ βλέψαι φρέαρ;
Ἰωάννης τὸ γλεῦκος ὁ χρυσοῤῥόας[2]
Ἥδιστον ἄν σοι νᾶμα παρέχοι πίνειν
Ἐκ τῶν ἀγωγῶν τῆς σοφῆς ἐπομβρίας[3]·
Καὶ Γρηγόριος[4] αὖθις, ἡ πτηνὴ φύσις,
Δεικνὺς λόγων δύσγνωστον ἐξ ὕψους βάθος·
Καὶ Μάξιμος[5] δὲ τὴν καλὴν γλῶσσαν στρέφων,
Ἢ κύκνος ἐστὶν ἢ χελιδὼν εἰς ἔαρ·
Ἀηδόνος δὲ φθόγγον ἀκοῦσαι θέλων,
Τὰ Γρηγορίου δεῦρο τοῦ Νύσης μάθε·
Κἂν ὑπεραρθῇς τοῦ Κλίμακος[6] τοῖς λόγοις,
Σκόπει προκύπτων Ἰσαὰκ[7] τὸ μετρίον·
Κἂν μάλα διψῇς καὶ πιεῖν ἔτι γλίχῃ,
* Ὁ Νεῖλος[8] ἰδοὺ καὶ τὸ τοῦ Νείλου στόμα·

[1] Conf. cod. Flor. cxcviii, 112.
[2] Id est S. Joannes Chrysostomus. Fort. leg. Ἰωάνης.
[3] Conf. cod. Paris. ccxxviii, 6.
[4] S. Gregorius Nazianzenus.
[5] S. Maximus Confessor.
[6] S. Joannes Climacus.
[7] Forsan Isaacus Syrus, de quo conf. Fabric. *Bibl. gr.* XI, p. 119.
[8] S. Nilus.

Κἂν πνευματικῶς[1] ἠρεμεῖν αὖθις θέλης,
Ἔχεις τὸν Ἡσύχιον[2] ὡς ἀφ' ἑστίας·
Ὅπου γε καὶ Στηθάτος[3] ὠνομασμένος
Νικήτας αὐτὸς ἡδέως προσφθέγγεται·
Καὶ Μάρκος[4] ἄλλος ὡς λέων ἐρεύγεται,
Καὶ Φιλοθέου[5] μουσικὴ ῥυθμίζεται.
Τοιοῦτόν ἐστιν ἀκριβῶς τὸ βιβλίον·
Σειρὰν[6] δὲ μικροῦ ζωγραφοῦν ἡρμοσμένην,
Κἂν ἧς χαμερπὴς, ὑπανέλκει[7] συντόνως
Ἐπὶ τὰ συντείνοντα καὶ σώζοντά σε,
Μὴ τοὺς κολοιοὺς τῆς γραφῆς διαπτύσεις[8],
Ἕλληνες οὗτοι, μῦστα, καὶ τούτων σύες.
Χρὴ γὰρ ἐπαινεῖν καὶ γεωργοὺς πολλάκις,
Οἳ παραφυτεύουσι[9] τοῖς ῥόδοις θύμους,
Ὡς ἂν ἐκεῖνα μᾶλλον εὐώδη μένοι.
Πλὴν ὡς κιβωτὸς εὐπρεπὴς τὸ βιβλίον,
Χρυσὸν καθαρὸν εὐτυχεῖ καὶ μαργάρους,
Καὶ λυχνίτας ἄντικρυς εὐκόσμων λόγων,
Ἐν οἷς ἀδήλως ἡ ψυχὴ φαιδρύνεται·
Καὶ φαρμάκοις τὸ χρῆμα ποικίλοις βρύει,
Ὅπερ γὰρ ἂν θέλοι τις εὑρεῖν ἰσχύσει,
Τῶν ἀρετῶν δὲ τὴν ὑφεστῶσαν φύσιν

[1] Unde adverbium πνευματικωτέρως, quo carent lexica, ap. Cramer. *Cat. in Epist. ad Galat.* p. 69.

[2] Forsan Hesychius Hierosolymitanus, de quo vid. Fabric. *Bibl. gr.* VII, p. 548.

[3] De Niceta Stethato sive Pectorato, monasterii Studiensis monacho, Fabric. *Bibl. gr.* VII, p. 753.

[4] De variis Marcis conf. Fabric. XI, p. 678.

[5] Philotheus, patriarcha Cpolit. plurimorum canticorum auctor, sæculo XIV clarus, de quo Fabric. XI, p. 513.

[6] Id est quod dicitur Catena Patrum.

[7] Hac voce augenda lexica.

[8] Forsan διαπτύσης.

[9] Cod. παραφυτεύγουσι.

Ὅπως ἔχει κάλλισῖα διδαχθήσεται.
Ὢ νοῦς φυσικῶς τεχνικῆς ὥρας γέμων!
Ὢ νοῦς ϖῖερωτὸς εἰς δεούσας εὑρέσεις!
Ὢ νοῦς ϖεπηγὼς εἰς ἀπόκρυφον βάσιν!
Ὢ φύσις, ὢ χάριτες, ὢ φρενῶν βάθος!
Ὢ γοργότης ἄῤῥητος, ὢ ϖλάτος λόγων!
Ὢ ϖραγμάτων ὄχημα ϖοικιλοτρόπων[1],
Οἷον βλέπων, ἥλιε, σιγᾷς ἐν βίῳ!

CCXX. *Ἐπίγραμμα εἰς ἔπιπλον*[2] *τῇ Θεομήτορι.*

Τὸ τῆς κεφαλῆς τῆς ἐμῆς ἄλγος, κόρη,
Τοῖς τῶν ἰατρῶν ἀντιπίπῖον φαρμάκοις
Ἡ σὴ καθαιρεῖ κοσμοσώτειρα[3] *δρόσος·*
Τοῦ θαύματος δὲ ϖρογράφεις μοι τὸν τύπον
* *Ὀφθεῖσα νυκτὸς καὶ κατασῖράψασά*[4] *με.*
Χρισῖὸς γὰρ αὐτὸς, ἡ κεφαλὴ τῶν ὅλων,
Ἀνεῖλεν ἐν σοὶ τὰς σκιὰς καὶ τὰς νόσους.
Ἀμείϐομαι γοῦν τὴν κορυφαίαν χάριν
Τῷ νῦν ὑφαντῷ τῆς γραφῆς σου κρασπέδῳ·
Καὶ σὺ ϖάλιν δρόσιζε τῇ σῇ με σκέπῃ,
Καὶ ϖαραμυθοῦ τῆς ψυχῆς μου τοὺς ϖόνους.
Ὡς ἐξ Εἰρήνης ταῦτα τῆς ἀρχοντίσσης.

[1] Occasione data, lexicis addam *Ποικιλοφαγία*, schol. in Jo. Climac. cod. Coislin. 87, fol. 154 r° : *Εἴτε ταχυφαγίαν εἴποις, εἴτε ϖοικιλοφαγίαν, εἴτε ϖολυφαγίαν.* Verbum *ϖοικιλοφαγέω* habet *Thesaur.* — *Ποικιλόϐαπῖος*, Theod. Lascar. cod. Paris. 1193, fol. 91 r° : *Σοφία καὶ γὰρ* (fort. *γὰρ καὶ*) *τὸ ϖοικιλόϐαπῖον χρῶμα βοτανῶν κατεκόσμησε.*

[2] Vid. cod. Escur. LXXXIV.

[3] Cod. Escur. XXVIII, 2 : *Οὐ θαῦμα θνήσκειν κοσμοσώτειραν κόρην.* Vox *κοσμοσωτήριος* occurrit ap. Eustath. in *Spicil. Roman.* tom. V, p. 340, et t. X, p. 66, Synod. Cpolit. adversus Soterichum.

[4] Achill. Tat. I, 4 : *Κατασῖράπῖει μου τοὺς ὀφθαλμοὺς τῷ ϖροσώπῳ.*

CCXXI. Ἐπίγραμμα εἰς σ7ήλας βασιλικάς.

Καλὸν πρὸ πυλῶν βασιλεῖς οὕτω γράφειν,
Ὡς καὶ πνοὴν δοκοῦσαν ἐγχεῖν τοῖς τύποις.
Ὁ γὰρ πρὸς αὐτοὺς ὡς πρὸς ἐμψύχους βλέπων
Ἐνάγεται μὲν εἰς ὑπόμνησιν φόβου·
Νευρούμενος[1] δὲ ταῖς ἐκεῖθεν ἐλπίσιν,
Αἳ πολλάκις ἥκουσιν εἰς τοὺς φιλτάτους,
Θαρσεῖ κατ' ἐχθρῶν, κἂν θανεῖν πάντως δέοι·
Ὅταν δὲ θεσπίζωσι καὶ λύσεις φόρων,
Ὁ δῆμος ἀθρῶν τὰς γραφὰς ἀναπνέει,
Καὶ γίνεται παῖς εὐνοῶν τῇ πατρίδι,
* Καὶ κατὰ παντὸς δυσμενοῦς ἐπιτρέχει
Νῦν μᾶλλον οἰκεῖν ἀσφαλῶς ταύτην θέλων.
Τὴν γοῦν καλῶς παθοῦσαν ἐκ τούτων πόλιν
Ἐπισιτισμῷ[2] πλησμονῆς διατρέφων
Ὁ παμβασιλεὺς εὐμενῶς ἐπιβλέποι,
Καὶ τοὺς μὲν ἐχθροὺς ἐκδιώκοι μακρόθεν,
Ὀργῆς ἐπ' αὐτοὺς ὡς θυμοῦ τείνων βέλη[3],
Καὶ πῦρ ἀπε. . . .[4] δρασ7ικῆς ἐπιβρέχων,
Τοὺς ἄρρενας δὲ μυσ7ικῶς ἐνισχύοι
Πισ7οὺς νέμων φύλακας αὐτοῖς ἀγγέλους,
Καὶ ταῖς γυναιξὶ σωφρονίζοι τὸν βίον,
Ὡς ἂν ὁ σεμνὸς εὐλογούμενος γάμος
Πληθὺν[5] μαχητῶν ἐξενέγκῃ τῷ χρόνῳ.

[1] S. Ephr. Syr. tom. III, p. 300 C: Τῇ τῶν μελλόντων ἐλπίδι νευρούμενος.

[2] Conf. infra CCXXV, 1.

[3] Theoph. Ceram. pag. 427 A: Καὶ τείνει μὲν τὸ τόξον τῆς ἀπειλῆς, ἐπέχει δὲ τὸ βέλος τῆς ὀργῆς.

[4] Sic in codice, ubi vox prorsus evanida. Forsan ἀπειλῆς. Respicere videtur ad Ezech. XXXVIII, 22. De verbo ἐπιβρέχω sensu activo usurpato, conf. *In Cantac.* 140.

[5] Cod. πληθήν.

CCXXII. Αὐθωρὸν εἰς ἀνάγνωσιν.

Ἰδοὺ θέρος γῆς ὑπερευθηνουμένης[1]·
Τῶν γὰρ ἀγαθῶν εὐσἸοχεῖ[2] πᾶς ὁ σπόρος·
Εἴ γε τρόπου δύσχρησἸον οὐκ ἔχει κνίδην,
Ἄνθρωπε, λοιπὸν τῆς κριθῆς ταύτης φάγε·
Τῆς γὰρ ψυχῆς τὸ σῶμα λαμπρὸν ἐργάσῃ.

CCXXIII. Εἰς τὸν περὶ ἀκρασίας λόγον τοῦ Ἡσαῦ[3].

* Ἡσαῦ μισηθεὶς γηγενοῦς παντὸς πλέον,
Καὶ καταραθεὶς[4] ὑπὸ τοῦ φωτοσπόρου[5],
Συχναῖς γυναιξὶν ἀκρατῶς συνεζύγη,
Ὡς ἂν ἔχοι τὸ φίλτρον ἡδονῆς χάριν,
Καὶ μηδὲν ᾖ γόνιμον εἰς φαῦλον πόθον·
Σὺ δ' ἀκροατὰ, φεῦγε τὴν ἀπλησἸίαν,
Τὴν τοῦ λόγου σύζευξιν εὐσἸόργως[6] φέρων.

CCXXIV. Εἰς τὸν λόγον τῆς ὁσίας Μαρίας αὐθωρόν.

Κόσμος γυναιξὶν ὁ προκείμενος λόγος·
Καὶ γὰρ ἔχει πρόγραμμα τὴν ΑἰγυπἸίαν,
Ἣ πᾶν ἀποξύσασα τοῖς πόνοις πάχος
Στηρίζεται μὲν εἰς μέσον τὸν ἀέρα,
Νυμφεύεται δὲ τῶν ψυχῶν τῷ νυμφίῳ,
Καὶ μέχρις αὐτῶν εὐδρομεῖ τῶν πασἸάδων,
Ἃς ἀγγέλων ἄπειρα κυκλοῦσι σἸίφη.
Τὸ λείψανον γοῦν τῆς ταπεινῆς Μαρίας,

[1] Vox addenda lexicis.

[2] Supra I, 12 : Τὴν ἐπ' αὐτὸν εὐσἸοχοῦσαν ἐλπίδα. Vers. seq. pro ἔχει fort. leg. ἔχεις.

[3] Cod. Mon. fol. 140, et cod. Flor. 273 v°. Titulum non habet cod. Paris. Conf. Genes. XXVII, 2.

[4] καταῤῥασθεὶς cod. Flor. ex correct.

[5] Malach. I, 3.

[6] Hoc adverbium deest lexicis.

Εἰ χρὴ κατ' αὐτὴν μετριάζειν τὸν λόγον,
Ἄνδρες τε καὶ γυναῖκες, ὡς κοινὸν τύπον,
Μιμητικῶς Ϛάπτοντες ἐν ταῖς καρδίαις,
* Νῦν ἀκροᾶσθε· σὺ δ' ἐπευλόγει, Ϛύτα.

CCXXV. Αὐθωρὸν εἰς ἀνάγνωσιν.

Ἐπισιτισμῷ πλησμονῆς[1] Ϛείων λόγων
. . . . . .υτὸν[2] ὀξυπείνης[3] ὧν τρέφε·
Καὶ γὰρ ὁ λιμὸς[4] τῶν καλῶν ἔγγιστά σοι·
Πλὴν δεῦρο μιμοῦ καὶ τὸν ἐν λόγοις τύπον,
Καὶ τοὺς Ἰακὼβ πανταχοῦ ζήλου τρόπους,
Μισθὸν σεαυτῷ γνωστικὸν Ϛησαυρίσας·
Ὁ γὰρ νοητὸς οὐ φθερεῖ τούτους Λάβαν.

* CCXXVI. Εἰς ἀνάγνωσιν αὐθωρὸν τοῦ ἐν ταῖς Χώναις Ϛαύματος[5].

Ὕδωρ τὸ πῦρ ἄπειρον εἰς Χώνην χέον,
Πῦρ γὰρ ὁ Δαβὶδ μαρτυρεῖ τοὺς ἀγγέλους,
Ὡς πνεῦμα καὶ φῶς εἰς Ϛεοῦ λειτουργίαν,
Τὴν συρφετώδη τοῦ Σατὰν ὕλην φλέγει,
Εἰπεῖν δὲ ταυτὸν τοὺς ἀκανθώδεις πόνους,
Οὓς χερσομανήσασα καρδία τρέφει·
Τὰ ῥεῖθρα[6] λοιπὸν τοῦ προκειμένου λόγου,
Ὡς ἀπὸ Χωνῶν τῶν ἀκουστικῶν πόρων,
Εἰς τοὺς μυχοὺς δέχεσθε τοὺς ἀποκρύφους,
Ὡς ἂν ὁ νοῦς ἄσειστος ἐντεῦθεν μένοι
Μὴ παρασυρεὶς τῶν παθῶν τῇ προσχύσει.

[1] Supra CCXXI, 14: Ἐπισιτισμῷ πλησμονῆς διατρέφων.

[2] Fort. ἀεὶ σεαυτόν.

[3] Id. q. ὀξύπεινος, qui acuta et vehementi fame excruciatur. Epiph. *Opp.* tom. II, p. 289.

[4] Figurate. Codex Vatic. XI, 31: Τῷ λιμῷ τῶν ἐλπίδων.

[5] De archangeli Michaelis miraculo in urbe Chonis patrato conf. Fabric. *Biblioth. gr.* tom. X, p. 199.

[6] Conf. cod. Flor. CI, 18.

CCXXVII. Τῷ πανσεβαστῷ.

Ἀφ' ἑστίας[1], ὅ φασιν, ἀγρότην βλέπων
Ἄμοχθον ἡμῖν ὁ χρυσοῦς θήραν δίδου·
Τὰ γὰρ πρὸ τῆς χθὲς ἀργυρᾶ κυνάρια
Κακοπραγοῦντα θᾶττον ἐκπέφευγέ με.

* CCXXVIII. Εἰς κανδήλαν[2] τῇ θεομήτορι.

Ζωήν τε καὶ φῶς εὐτυχῶν σε, παρθένε,
Τὸ φωταγωγὸν[3] σκεῦος ὠργάνωσά σοι·
Δεινῷ γὰρ ὑδέρου με ληφθεῖσαν πάθει
Κατὰ φύσιν εὔρωστον εἰργάσω πάλιν·
Ἐξίκμασας δὲ τοὺς χυμοὺς τῶν ἐγκάτων
Τῆς σῆς δρόσου μάλιστα ταῖς ἐπομβρίαις[4]·
Ἀπόκρυφον γὰρ πῦρ ἀναλίσκον φέρεις.
Οὐκοῦν δέχου φῶς ἐν διαυγεῖ λυχνίᾳ,
Μή πως[5] κρυβῇ τοσοῦτον ἀνθρώποις τέρας.

CCXXIX. Εἰς κόσμον καλύπτρας[6].

Κόσμος κεφαλῇ τὸ φρονεῖν ἃ συμφέρει·
Χωρὶς γὰρ αὐτοῦ πάντα καθάπαξ νόθα·
Πλὴν ἡ θεοῦ χεὶρ τὴν κεφαλήν μου σκέποι,
Μή πως θερινὴ πυρπολήσῃ με ζέσις,

[1] De hujus prov. usu et origine vid. Erasmum.

[2] Vid. Ducang. *Glossar. med. græc.* s. h. v.

[3] Supra CX, 2 : Τὸ φωταγωγὸν εὐμενῶς δῶρον δέχου.

[4] Eadem metaphora, cod. Escurial. CCXI, 2 : Ἐκ τῆς νοητῆς τῶν φρενῶν ἐπομβρίας. Cod. Flor. XLIV, 18, et LXV, 36 : Τὰς σὰς δ' ἐφ' ἡμᾶς ἀργυρᾶς ἐπομβρίας. Vid. etiam supra CCXIX, 39. Cod. Vat. XI, 3 : Τὰ ῥεῖθρα τῆς σῆς γνωστικῆς ἐπομβρίας.

[5] Cod. μήμως et supra μήπως.

[6] In marg. 2ª manu : Εἰς τὸν ἐξώγυρον.

Ἢ νυκτερινῆς προσβολῆς πλήξῃ ψύχος,
Ἢ ῥεῦμα δεινὸν ἐκ παθῶν ἀποκρύφων.

CCXXX[1]. Εἰς τὸν ἐσώγυρον.

Ἐν τῇ καλύπτρᾳ . . . . μα[2] τεχνίτου φέρων,
Σφίγμα ψυχῆς ἔχοιμι τὸν θεῖον φόβον.

CCXXXI. Τῷ Λογοθέτῃ[3] τῶν ἀγελῶν.

Ἅμαξαν εὑρεῖν ταῖς κριθαῖς οὐκ ἰσχύσας
Νωταρίους ἔπεμψα πεζοὺς βαρβάρους,
Οἳ τάχα καὶ πρὶν εἰσπεσεῖν τοῖς φορτίοις
Τὸν μισθὸν ἐγκλείουσι τοῖς βαλαντίοις.
Μέτρει μὲν οὖν τοὺς ἄνδρας ἀφθονωτέρους,
Μέτρει δὲ καὶ τὸ δῶρον ἁδρὸν τῷ ξένῳ,
Κἂν ἄχυρον δῷς τοῖς ἐμοῖς ἱπποτρόφον,
Δώσεις ὅλον τὸ κτῆνος, οὐ τροφὰς μόνον,
Ὁ συμπαθὴς ἄνθρωπος, ὁ χρυσοῦς φίλος,
Εἴ μοι δίδως καὶ τοῦτο θαῤῥούντως γράφειν.

CCXXXII. Εἰς τὸν ἅγιον Ἀκάκιον τὸν ἐκ Μυρσινῶνος.

Μωσῆς, πάτερ, σὺ, καὶ θεὸν δεῦρο βλέπεις·
Καὶ γὰρ τὸ νεκρὸν τῶν παθῶν λύσας δέρας,
Ὁρᾷς ἐναργῶς ἐν φυτῷ πῦρ μὴ φλέγον·
Σκηνὴν δὲ ποιεῖς, τῆς θεοῦ σκηνῆς χάριν.

CCXXXIII. Εἰς ἐγκόλπιον τὸν μέγαν Δημήτριον.

Εἴ σοι τὸ λουτρὸν οὗπερ ἐσφάγης φίλον,
Ἐνταῦθα γὰρ δὴ καὶ τὰ ῥεῖθρα τῶν μύρων,

[1] Hoc in margine, manu recentiori.
[2] Fort. σφίγμα.
[3] Vid. Ducang. *Glossar. med. et infim. græcit.* s. h. v.

Τίθημι λουτρὸν τὴν ἐμήν σοι καρδίαν·
Οἴκησον οὖν, οἴκησον αὐτὴν ἀσμένως,
Ἐπεὶ ζέσιν[1] ἄσβεστον εὐνοίας ἔχει·
Καὶ γὰρ τὰ πυκνὰ τῶν ἐμῶν παθῶν βέλη
Ταῖς μαρτυρικαῖς ἀμβλυνεῖς λόγχαις, μάκαρ.

CCXXXIV. Εἰς τὴν δευτέραν παρουσίαν ἐκ προσώπου τῆς Θεομήτορος

Ἐμοὶ χάριν σὺ καὶ τὸ πρεσβεύειν δίδως
Καὶ τὸ προσηνῆ τὸν κριτήν σε δεικνύειν·
Ῥυσάμενος γοῦν τὴν ψυχὴν τὴν ἐνθάδε
Τῇ μητρί σου λάφυρον, ὦ σῶτερ, δίδου.
Γόνατα μητρὸς νῦν κεκαμμένα βλέπων
Ψυχὴν ταπεινὴν ἐξελοῦ τοῦ κινδύνου·
* Καὶ τοῦτο γὰρ δὴ σὸς νόμος, παντοκράτορ,
Τὸ παῖδα μητρὶ συμπαθῶς ὦτα κλίνειν[2].
Οὕτω πρὸς ἡμᾶς εὐμενὴς ὁ δεσπότης
Ὡς μηδὲ τεκμήρια θυμοῦ δεικνύειν
Ἐπὶ δικαστικοῦ τε καὶ φρικτοῦ θρόνου·
Φύσει γὰρ ὢν εὔσπλαγχνος ὀκνεῖ τὴν δίκην.

CCXXXV. Εἰς παναγιάριον[3] ἐγκόλπιον ἔχον καὶ ἀπὸ τοῦ δεσποτικοῦ αἵματος.

Τῆς παρθένου τὸν ἄρτον ἐν στέρνοις φέρω·
Φεῦγε ψυχὴ πεινῶσα τὴν σωτηρίαν·
Ὅταν δὲ διψῇς, πῖνε τὴν ἀφθαρσίαν[4],
Ἣν δὴ τὸ σεπτὸν αἷμα Χριστοῦ σοι χέει.
Ἰδοὺ ξένη τράπεζα καὶ δαιτυμόνες!

[1] Conf. supra cx, 1.
[2] S. Ephr. Syr. vol. III, p. 524 F: Κλῖνον τὸ οὖς.
[3] Conf. supra cod. Flor. lii.
[4] Ibid. cod. Flor. lii, 2 : Τὸ βρῶμα τῆς ἀφθαρσίας.

Ἐγὼ δὲ λαμπρὸς ἑσΊιάτωρ ἐνθάδε
Τὸ δεσποτικὸν αἷμα δεικνύων πόμα·
Τράφηθι καὶ σὺ τοιγαροῦν, ὦ καρδία.

CCXXXVI. Τῷ Κομνηνῷ Συργιάννῃ.

Ἥρακλες, Ἑρμῆ σῶτερ, Ἀθηνᾶς τέκος,
Ἥρως ἈρισΊότελες, ἐν Σκύθαις Ἄρες,
Τὴν παῖδα τὴν σὴν τὴν ἐμὴν πέπομφά σοι
Σιγῶσαν αἰδοῖ τῆς τιμῆς τῶν παρθένων·
* Οὐ φθέγξεται γὰρ, κἂν ἐπιτρέψῃς λέγειν.
Ἀλλ' οἶνος αὐτὴν καὶ σΊομοῖ καὶ φαιδρύνει,
Ὅταν ἔχοι καὶ ψίχας ἡ πλήρης κύλιξ,
Πλὴν ἀπὸ λευκῆς οὐχὶ κιϐδήλου ζύμης·
Αἰσθάνεται γὰρ ἀνατεχθὲν τὸ βρέφος
Ἐξ εὐτυχοῦς δή τινος· αὐτὸς δ' ἂν λέγοις·
Καὶ τὸν παρ' ἡμῖν χαλεπῶς φέρον βίον
Πρὸς τὴν ὑπὲρ δύναμιν ἐκτρέχει τύχην·
Ζητεῖ δὲ λαϐεῖν καὶ χρυσόπλοκον[1] φάρος,
Μισοῦν τὰ κοινὰ τῶν τριχῶν ὑφάσματα,
Καὶ πασχατιᾷ[2] καὶ φθονεῖ τῷ συγγόνῳ,
Καὶ πρὸς σὲ τὸν κάλλισΊον ἀνθρώπων βλέπει.
Τί γοῦν με δεῖ πράξαντα τὴν παῖδα τρέφειν
Δίδασκε, ναὶ δίδασκε, μαθεῖν γὰρ θέλω.

CCXXXVII. Εἰς τὰ τοῦ πρωτοσΊράτορος[3] ἐκείνου τοῦ θαυμασΊοῦ σΊρατηγήματα.

Ἃ νοῦς κατορθοῖ ζωγραφεῖν, τῶν ἐν λόγοις,

[1] Vox addenda lexicis. Jo. Damasc. *Spicil. Rom.* IX, p. 721 : ΠασΊὰς χρυσόπλοκε.

[2] Pro πασχητιᾷ, ob metrum.

[3] Confer supra LVII, et Georg. Pachymer. tom. II, p. 445 ed. Bonn. De

Πράξεις δὲ χειρὸς ἐκτυποῦν, τῶν ζωγράφων,
Ἴσον δὲ τὸ χρήσιμον ἐξ ἑκατέρων,
Ὡς ἂν τὰ καλὰ μὴ παρέλθοι τῷ χρόνῳ.
* Πλὴν ἔσῖιν εὑρεῖν καὶ γραφὴν ἐν ζωγράφοις,
Καὶ ζωγράφων μίμησιν ἐν λογογράφοις.
Οὐκοῦν, θεατὰ, σῆθι μικρὸν ἐνθάδε,
Καὶ βλέμμα καὶ νοῦν συμβαλὼν ἄμφω σκόπει
Πράξεις τε χειρὸς καὶ φρενῶν ἔργα ξένα.
Ὅσῖις γὰρ ἂν ᾖς, κέρδος εὑρήσεις μέγα
Τῷ μὴ παρελθεῖν ἀρετῶν ζῶντας τύπους.
Εἰ δ' οὐχὶ καθ' ἕκασῖον ὁ σκιαγράφος
Ἔγραψε δεῦρο πάντα, τί τάχα ξένον;
Τὸ πλῆθος ὀκνεῖν ἐκβιάζει τὴν φύσιν,
Εἰ καὶ πῖερωτὰς ἡ γραφὴ χρόας φύει·
Πάσης δὲ χειρὸς κοῦφον ἡ γλῶσσα πλέον,
Κινοῦντος αὐτὴν τοῦ πῖεροῦ [1] τῆς καρδίας.
Ἔφη δ' ἂν αὐτὸς ὁ γραφεὶς ἔμπνους τάχα
Τὰς καθ' ἑαυτὸν εὐκλεεῖς σῖρατηγίας,
Εἰ μή τις αἰδὼς εἶχεν αὐτὸν ἐκ βρέφους,
Ἣν ἐξ ἔθους ἔσῖερξε καὶ γεγραμμένης [2].
Ὁρᾷς τὸν ἄνδρα τὸν πολὺν τοῦτον, ξένε;
* Ἐκεῖνος οὗτός ἐσῖιν ὁ πρωτοσῖράτωρ,
Ὁ δημιουργὸς τῆς μονῆς τῆς ἐνθάδε,
Τὸ θαῦμα τῆς γῆς, ὁ Γλαβᾶς ὁ γεννάδας·
Οὗ τὴν σῖαθηρότητα καὶ τὴν ἀνδρίαν,
Καὶ τὴν φρενῶν γέμουσαν ἐκ παιδὸς φύσιν

hoc carmine Wernsd. in Præfat. : «Carmen in Mich. Glabam primum ejus opus videtur esse et utinam jam vulgatum legi posset.» Quod edere voluit Boivinus quem conf. in Præfat. ad Niceph. Gregor. p. XVIII, ed. Bonn.

[1] Conf. supra X, 15.

[2] Forsan γεγραμμένην.

Ἅπας ὁ χῶρος μαρτυρεῖ τῆς ἑσπέρας,
Ἔλαττον οὐδὲν τῆς καλῆς ἕω φέρων·
Ἀφ' οὗπερ αὐτὸς, ὡς δρομεὺς ἄλλος γίγας,
Τὰς ὑπὲρ αὐτῆς ἀντανέσχε λαμπάδας,
Καὶ πᾶσαν ἁπλῶς ἐθνικὴν φυλαρχίαν
Καθεῖλεν εἰς γῆν ὡς βολὶς ὀλεθρία [1].
Μεῖραξ γὰρ ὢν γέροντος ἐφρόνει [2] πλέον,
Ὅτε στρατηγεῖν ἤρξατο πρὸς ἑσπέραν,
Χειμῶνα παντὸς δυσχεροῦς λύσας δέους,
Καὶ [3] τὴν ἐν αὐτῷ συστολήν τε καὶ ζάλην
Εἰς τὴν κατ' ἐχθρῶν ἐξαμείψας αἰθρίαν.
Εὐθὺς δὲ συμβαίνει τι τῶν παρ' ἐλπίδας,
Ὡς ἂν μένοι γνώριμος ἀπὸ βαλβίδος.
* Ἦγε στρατιὰν εὐτελῆ πρὸς Βιζύην [4],
Ἣν ἦγχεν ἑσμὸς δυσμενῶν ἀφ' ἑστίας.
Ἔνθα λυθεῖσαν τοῦ στρατοῦ τὴν ἀγέλην,
Ἦρος φυέντος καὶ χλιδώσης τῆς χλόης,
Θύραθεν ἁρπάζουσιν αὐτῆς ἡμέρας
Αἱ Βουλγάρων φάλαγγες, ὡς ἄρνας λύκοι.
Καὶ δὴ παρευθὺς ὁ γλυκὺς οὗτος γίγας,
Κατ' ἴχνος αὐτοῖς ἐκδραμὼν παρ' ἐλπίδας,
Τοὺς θῆρας αἱρεῖ συστραφέντας εἰς μάχην,
Ὡς πτῶκας ἢ δορκάδας ἢ δειλὰς κύνας·
Καὶ λαμβάνει τὴν ἵππον ἀφθονωτέραν,
Ὥσπερ τοκισθὲν ἐξεπίτηδες δάνος·

[1] Hic versus ad oram codicis secunda manu.

[2] De senili in juvene prudentia vide Boisson. *Anecd. nov.* pp. 260, 397, et ad Choricium, p. 4.

[3] Quinque versus 37-41 transpositi in codice. Ordinem turbatum restituit secunda manus.

[4] Bizyam opinor esse quæ adhuc Viza dicitur, non longe a mari, ad occidentem Salmydessi. Vid. tabulam v. cl. Lapie.

Καὶ πυργοποιεῖ καὶ σἸεγάζει τὴν βρύσιν,
Τὰς ἀπὸ γραμμῆς[1] δεξιούμενος νίκας,
Μή τι κυνικὸν δυσμενοῦς πίνοι σἸόμα·
Τάχα δὲ καὶ τὰ ῥεῖθρα τῶν πρὶν αἱμάτων
Συνέσχεν ὡς κλεῖς ἐμπεδήσας τὰς φλέβας.
Ἐντεῦθεν οὐκ ἦν ἠρεμεῖν τὸν γεννάδαν
* Εἰς τὴν κατ' ἐχθρῶν ἠρεθισμένον μάχην,
Καλοῦντος αὐτὸν τοῦ προσήκοντος χρόνου.
Θεῷ γὰρ εὐθὺς ἀναθεὶς τὰς ἐλπίδας,
Ὃς ἦγεν αὐτὸν δεξιῶς πρὸς τὰς μάχας,
Τὴν χθὲς ταπεινὴν τῶν μοναχῶν ἑσἸίαν,
Εἰ καὶ μεγάλην εἶχε τὴν κλῆσιν πάλαι,
Τείνει πρὸς ὕψος ἐν βραχεῖ καὶ φαιδρύνει·
Τὴν χεῖρα κινῶν καὶ τὰ τῆς γλώσσης μέλη,
Καθάπερ Ὀρφεὺς τὴν πολύφθογγον[2] λύραν,
Καὶ δῆλος ἦν ἄντικρυς ἐκ τῶν πραγμάτων,
Ὡς οὐδὲ τὸν πρὶν ὀλβιώτατον τόπον
Τῆς νῦν ταπεινῆς καὶ γνοφώδους ἑσπέρας
Ὅλως ἐάσει δυσπραγεῖν ἐν ταῖς μάχαις,
Ἀλλὰ καθέξει καὶ κλεΐσει τὰς πόλεις,
Τιθεὶς ἐν αὐταῖς ἀντὶ λίθων τὰς νίκας.
Μετ' οὐ πολὺν γάρ τινα τῆς μάχης χρόνον,
Χαλῶν κατ' ἐχθρῶν τοῦ σκοποῦ τὰς ἡνίας
Εἰς τὸ Σκοποῦ φρούριον εὐδρόμως φθάνει,
* Καὶ τοὺς ἐν αὐτῇ[3] δυσμενεῖς περιτρέπει,
Σκοποῦ σκοπὸν φάρμακον εὑρὼν εὐσκόπως·

[1] Pro ἀπ' ἀρχῆς. Conf. *Thesaurus*, s. v. Γραμμή, col. 766 A.

[2] Vit. S. Bartholom. Confer. n. 15 : *Οἷά τις λαμπρὰ καὶ πολύφθογγος σάλπιγξ*. Constant. Diacon. Laud. omn. SS. ap. Mai. *Spicil. Rom.* X, p. 140 : *Ἐν ἀλλοφώνοις γλώσσαις καὶ πολυφθόγγοις*. Confer Piccolos, *Suppl. Anthol.* pag. 193.

[3] Id est *ἐν τῇ πόλει*.

Ἅμα δὲ καὶ τὴν Πέτραν[1] ἁρπάσας ἔχει,
Καὶ τὰς ἐν αὐτῇ δυσμενεῖς θραύει κράτας,
Ὡς ὅπλον αὐχῶν τῆς φρενὸς τὴν σφενδόνην[2].
Εἶτα σκοπήσας ἐν σιγῇ τὸ συμφέρον,
Τῷ γὰρ θορυβεῖν οὐ προσεῖχεν ἐκ βρέφους,
Σκόπελον[3] εἷλε μετρίως φρουρούμενον,
Ὃν ἄρας ὕψου καὶ πλατύνας εὑρέθη·
Καὶ νῦν βραβευτὴς δείκνυται στρατευμάτων,
Καὶ χώραν αὐχῶν εὐπραγούντων ἑστίαν,
Ὁ πρὶν στενωθεὶς ἐξ ἀνάγκης ἀσχέτου,
Βοᾷ δὲ μικροῦ καὶ τὰς ἐν μέσῳ νίκας,
Εἰς ὕψος ἑστὼς ἐν θριάμβῳ τῆς τύχης.
Τὴν γοῦν Ἀγαθόπολιν[4] ἐλθὼν λαμβάνει,
Τὸν Βουλγάρων ἄνακτα τὸν Κωνσταντίνον[5]
Ἐξοστρακίσας εὐχερῶς πρὸ τῆς μάχης,
Καὶ δεικνὺς, ὡς ἔξεστι τοῖς εὐνουστάτοις,
* Ἐχθρῶν βασιλεῖς ἐκνικᾶν ἀκινδύνως.
Ἔπειτα Σωζόπολιν[6] ἀπὸ Βουλγάρων
Σώζει κατασχὼν ἅμα τοῖς πέριξ τόποις·
Ἐφ' ἣν μετοικοῦν ἀσφαλῶς ἐκ Βιζύης
Ἔδειξε τὸ στράτευμα τῆς Ῥωμαΐδος,
Σοφῶς ὑποσπῶν τὰς νομὰς καὶ τοὺς τόνους

[1] Petram v. cl. Lapie in tabulam intulit, ad Contadesdum (Tersideré) amnem, qui inferius Erginæ (Salsderé) mixtus influit in Hebrum.

[2] Cod. Florent. LXXXV, 6 : Ἀφεὶς ἐπ' αὐτοὺς τῶν φρενῶν τὴν σφενδόνην. Cf. cod. Flor. XLIII, 45.

[3] V. cl. Lapie Scopelum item ad Contadesdum amniculum collocavit ad septentrionem Petræ, scribens perperam Skapelos. Ex ejus tabula sumsit, opinor, Sprunerus, qui recte scribit Skopelos.

[4] Hodie Akhteboli ad Pontum Euxinum.

[5] De Constantino Bulgarorum rege conf. Georg. Pachym. t. I, p. 342 sqq. ed. Bonn.

[6] Hodie Sizéboli ad Pontum, Apollonia Thraciæ veterum. Conf. Cantacuz. t. I, p. 326.

Καὶ τὰς ἀδήλους ἐμβολὰς τῶν ἐκφύλων.
Κἀντεῦθεν εὑρὼν τὴν μονὴν τοῦ Προδρόμου[1]
Σμικρὰν, πνιγηρὰν, δυστυχῆ παρ' ἀξίαν,
Ἣν εἶχεν ἔξας εὐτελῶν μονοτρόπων,
Οὕτω καλὴν ἔδειξεν, ὡς ἤδη βλέπεις,
Καὶ τὴν πρὸ μικροῦ Νησίον[2] καλουμένην
Εἰς νῆσον ἀβρὰν ἐξαμείψας εὑρέθη.
Οὐκ ἦν γὰρ εἰκὸς τὸν προφήτην τὸν μέγαν
Ἔρημον οἰκεῖν καὶ μετὰ πότμον τόπον.
Ἀμείβεται δὲ τῶν συχνῶν τοῦτον πόνων,
Καὶ τοῦ χύδην ῥέοντος ἱδρῶτος μέσον,
Καὶ τοῦ ποταμοῦ τῆς χρυσῆς ἐπομβρίας[3]
* Ἡ προδρομικὴ δεξιὰ φιλοφρόνως·
Φρουρεῖ γὰρ αὐτὸν πανταχοῦ τῆς ἑσπέρας
Ὠθοῦσα μακρὰν τοὺς βαρεῖς ἀποστάτας.
Ὁ δὲ σκεπασθεὶς εὐδρομεῖ κἀν τοῖς πρόσω,
Καὶ τὰς μεταξὺ δυσχερεῖς λύσας μάχας,
Καὶ μέχρις αὐτῆς Ζαγορᾶς[4] οὕτω φθάσας
Πορθεῖ κραταιῶς καὶ σκυλεύει τὰς πόλεις.
Καὶ τὰς ἐν αὐταῖς συλλαβὼν ἀποσπάδας[5],
Ἄγει παρ' αὐτὰς τὰς προληφθείσας πόλεις
Ἄνδρας, γυναῖκας καὶ προμάζια βρέφη.
Τὴν γοῦν Ἀγαθόπολιν[6] αὐξήσας πόλιν,
Ἔδειξε Σωζόπολιν[7] εἰκότως πόλιν·
Μὴ καὶ φυτουργὸς εὑρεθεὶς ἐξ ὁπλίτου

[1] De S. Jo. Bapt. Præcursoris monasteriis vid. Ducang. *Cpol. Christ.* IV, p. 104.

[2] Agit de insula S. Joannis τοῦ Προδρόμου (*l'île Saint-Jean*) quæ est contra Sozopolim.

[3] Conf. supra LIX, 22.

[4] Zagora est et in tabula Lapie et in Spruneri.

[5] Prius erat ἀποσπάσας.

[6] Vid. supra v. 91.

[7] Vid. supra v. 96.

Σοφῶς ἀνασπᾷ καὶ φυτεύει τοὺς ξένους
Ἐκ γῆς πονηρᾶς εἰς πολύφορον πέδον
Πυκναῖς ὀρυγαῖς εὐτυχοῦς ἀκοντίου;
Μάνθανε λοιπὸν καὶ τὰς ἐντεῦθεν νίκας.
Τὸ γὰρ Δεβελτὸν[1] μαρτυρεῖ καὶ μακρόθεν
* Καλῶς ὑπ' αὐτοῦ προσῖεθὲν τοῖς πρακτέοις·
Βοᾷ τὸ Κανσῖρίτζιον[2] ἐκ πετρῶν μέσου·
Λαλεῖ Σκαφιδᾶς[3] ἀσφαλῶς ἐκτισμένος.
Ὁ γὰρ σῖρατηγὸς ἐκνικᾷ καὶ τὰς φύσεις,
Μικροῦ πνοῆς δύναμιν ἐνθεὶς τοῖς λίθοις.
Σφαιροῖ δὲ καὶ τὸν Πύργον[4] ἐξ εὐτεχνίας,
Καὶ πυργοποιεῖ τὰς καλὰς ὄντως νίκας
Ὁ πύργος ὁ ζῶν πρὸς τὰς ἔξωθεν μάχας·
Ποιεῖ δὲ καὶ γέφυραν ἀσφαλεσῖάτην,
Στοὰς ἀνισῖὰς ἐκ βυθοῦ περιῤῥύτους,
Καὶ δημιουργῶν καὶ σῖεγάζων εἰς ὕδωρ,
Συνόντος αὐτῷ πανσῖρατὶ τοῦ δεσπότου,
Καὶ δημιουργοῦ καὶ σοφοῦ καὶ τεχνίτου·
Κἂν αὐτὸν ἐξέπεμψεν ὁ σῖεφηφόρος
Ὡς χρησῖὸν αὐθόμαιμον[5], ὡς νικηφόρον.

[1] Debeltum Sprunerus recte collocat ad mare, juxta lacum. Ex carmine videmus aliud esse Zagoram, aliud Debeltum, quæ Bischoff, p. 417, aliique unum atque idem crediderunt.

[2] Fortasse Touz Cassri tabulæ Lapianæ. Georg. Pachym. t. I, p. 348 ed. Bonn.: *Σωζόπολιν καὶ Ἀγαθιούπολιν καὶ Κανσῖρίτζιν καὶ ἄλλ' ἄτῖα φρούρια.*

[3] Nonne Scaphidas oppidulum situm erat ad ostium Scaphidæ fluminis, vocati Touz Cassri in tabula Lapiana?

[4] Pyrgos (Bourgas), oppidum situm in promontorio, non longe ab emissario lacus. In emissario pons, de quo vide vers. 139.

[5] Iste *αὐθόμαιμος*, Glabæ quasi fraterno amore conjunctus, nullus alius esse potest quam Michael Palæologus, Andronici Palæologi Senioris imperatoris filius. De hac expeditione Bulgarica, suscepta mense augusto ann. 1306. Conf. Lebeau, *Histoire du Bas Empire*, t. XIX, pag. 54.

Ὁ μὲν γὰρ ὑπέστρεψεν εἰς Βυζαντίδα,
Τέως πρὸς ἄλλας ἀσχολούμενος μάχας·
Ὁ δὲ σκεπαστὴν εὐτυχῶν τὸν δεσπότην
* Συχνὰς ὑποστὰς συμπλοκὰς μετὰ χρόνον
Μόνος τὸ Ῥωσόκαστρον[1] αὐτὸς λαμβάνει,
Καὶ κατοχυροῖ πρὸς τὸ μεῖζον ἑδράσας.
Εἶτα προελθὼν καὶ πλατύνας τὰς νίκας,
Κρημνὸν τὰ Κρημνὰ[2] τοῖς κακούργοις δεικνύει.
Ἵνα δὲ καὶ θάλασσα τὰς νίκας μάθῃ,
Καὶ μαρτυρεῖ[3] τὰ ῥεῖθρα τὴν τούτων χύσιν
Λαβόντα φωνὴν ψαλμικῶν κελευσμάτων,
Εἴληφεν Ἀγχίαλον[4] ἀπτέρῳ τάχει,
Τοὺς αἱμοχαρεῖς ἐκτοπίσας βατράχους[5]·
Καὶ νῦν ἐν αὐτῇ δείκνυται ξένη πόλις,
Ἣν ἔσχε μικροῦ πρᾶξιν αὐτὸς δακτύλων,
Εὐθὺς ἀπ' ἀρχῆς ὀργανώσας τὴν κτίσιν·
Φθάνει δὲ μέχρι τῆς καλῆς Μεσημβρίας[6]
Ὁ καινοφανὴς[7] ἥλιος τῆς ἑσπέρας,
Τεφρῶν ἀτεχνῶς τὸν κρατοῦντα Βουλγάρων
Ἐκεῖνον αὐτὸν, τὸν πολὺν Κωνσταντῖνον·
Ὡς φλὸξ[8] δὲ θερμὸς προσβαλὼν Σφεντισθλάβῳ[9]
* Καὶ τῇ κατ' αὐτὸν ὁπλομοσχεύτῳ[10] χλόῃ

[1] Georg. Pachym. t. II, p. 445 ed. Bonn. Rosocastrum est in tabula Spruneri.

[2] Cremnum habet item Sprunerus.

[3] Fort. μαρτυροῖ.

[4] Hodie Ahioli s. Ahioglou, ad mare.

[5] Supra II, 53 : Εἰς αἱμοχαρεῖς, Αὐσονάρχα, βαρβάρους.

[6] Nunc Missivri, in Hæmi radicibus.

[7] Supra XIV, 574 : Τὸν καινοφανῆ τοῖς παροῦσιν ἀστέρα. Cod. Florent. I, 955 : Ὁ καινοφανὴς Τηλέμαχος ἤλυθες.

[8] Cod. φλόλξ (*sic*).

[9] De Sphentisthlabo Mœsorum rege conf. Cantacuz. passim, et Ducang. *Famil. Byzantin.* p. 322.

[10] Vox ignota lexicis, quibus addam Συνοπλοδυτέω ex Theod. Prodr. cod. Paris. 2087, fol. 211 v° : Καὶ συνοπλοδυτῆσαι καὶ συμπερσομαχῆσαι.

Ποιεῖ Λαχανᾶν[1] συσσαπῆναι τῇ ζέσει·
Μετὰ δὲ μικρὸν, τὸν Ζυγὸν[2] πάντα σῖέγει,
Τοὺς πρὶν ἀκαμπεῖς καὶ θρασεῖς καὶ δεσπότας
Ζυγοῖς περισπῶν δουλικῆς ὑπουργίας.
Ἐχρῆν γὰρ αὐτὸν ἐκθερίσαι τοὺς σῖάχυς,
Ἔπειτα καμεῖν εἰς τὸ θάψαι τὸν σπόρον.
Τὸ τοῦ Κάλαθος ἄσῖυ καὶ τὸ Πετρίου
Διτῖοὶ σχεδὸν μάρτυρες ἐκ τῶν πραγμάτων·
Ἅπερ κατασχὼν καὶ προβὰς ὁ γεννάδας
Εἰς τὴν Προβάτους[3] ἦλθε τὴν ἔνδον πόλιν,
Ὥσπερ νομῆς θρέμματα μαχαίρας σῖόμα,
Σφάτῖων ῥαχίζων τοὺς κακούργους τῇ σπάθῃ.
Ἔπειτα Βύτζαν[4] εἷλε τὴν δορᾶς δίχα
Πλακεῖσαν ὑγραῖς τῷ θεῷ διεξόδοις
Ἱππεὺς ἀγαθὸς εὑρεθεὶς εἰς τὰ πρόσω·
Τὸν Αἵμονος δὲ πάντα κερδάνας τόπον,
Τὸν Κοζίακον[5] ἄσῖυ καὶ πόλιν γράφει,
* Τοῖς Βουλγάρων αἵμασι βάψας τὸ ξίφος.
Κατέσχε λοιπὸν καὶ τὸ Καρύας[6] πέδον,
Ὧ φραγμὸν ὠργάνωσεν ἐν σφαίρας τύπῳ,
Λειμῶνα πυκνὸν ἐμφυτεύων ταῖς νίκαις.
Στενὸν δὲ ποιεῖ τὸν πλατὺν πρόσθεν τόπον

[1] De Lachana conf. Ducang. *Famil. Byzantin.*

[2] Loquiturne de castello quodam Zygo, in jugo Hæmi montis? Conf. Mich. Attal. p. 37.

[3] De Calathe et Petrio non liquet. Sed Provatus sine controversia hodie est Pravadi, oppidum satis amplum notatumque in tabulis omnibus.

[4] Fortasse quam Sprunerus tab. 61 vocat Bitzinam.

[5] Infra v. 212 : Τὸ Κοζίακος ἄσῖυ. Nonne quæ nunc græce Κοσλὴ dicitur, turcice Couzlidjé, inter occasum et septentriones a Varna?

[6] Fortasse Caraiousin viculus, qui in tabula Lapie est inter Couzlidjé et Varnam.

Τῆς Βουλγαρικῆς ὑπεροψίας[1] ὅλης,
Στενοῦ κατασχὼν τὴν περίχωρον πάλιν.
Ὁ δὲ πλατυνθεὶς ἐκ σ7ενοῦ καὶ μετρίου
Καὶ Πατζιμίσκου τὸν τόπον συλλαμβάνει·
Ἐντεῦθεν ἐχθροὶ δυσμενεῖς ἀποσ7άται
Καὶ λωποδῦται[2] καὶ φθορεῖς τῶν πραγμάτων
Ἀναῤῥαγέντες καὶ σφριγῶντες εἰς μάχας,
Ὥσπερ τινὲς δράκοντες ἐκ γῆς πυθμένων,
Ὅταν ἐπισ7ῇ τοῦ θέρους ἡ θερμότης,
Ἔμαθον οἷς ἔπαθον, ὡς ὁ γεννάδας
Πρησ7ὴρ ἀτεχνῶς πυρπολῶν σφᾶς εὑρέθη.
Κόμανος ἦν ὁ πρῶτος ὁλκὸς τῆς μάχης·
Καντζῆς μετ' αὐτὸν, πρὸς δὲ τούτοις Μομτζίλας[3],
* Βαρύτερος δὲ καὶ θρασύτερος δράκων
Ὁ τὴν Ζαγορὰν ἐκροφῶν τότε Στάνος·
Ἔπειτα Δαμιανὸς[4] ἐκ Βελλεγράδων[5]·
Οὓς πάντας ἁπλῶς συλλαβὼν ὑπὸ βρόχοις
Εἰς βάθος ὠθεῖ ψαλμικῶν ἀθυρμάτων,
Καὶ τὰς ὑπ' αὐτοὺς ὑπὲρ ὧν εἷρπον πόλεις
Οἳ πρὶν κατ' αὐτοῦ δυσμενῶς κεχηνότες,
Φρουρεῖ κατασχὼν φωλεῶν δήπου τρόπον,
Οὐτζάγκαν, Οὐρβίτζιον ἅμα τοῖς πέριξ,
Τὸ Κοζίακος[6] ἄσ7υ· πρὸς τούτοις πάλιν
Τῆς Διαβαινᾶς, τῆς Γραμαίνης τὸν τόπον,
Οἰνῶκον αὐτὸ καὶ τὸ πᾶν ἁπλῶς μέρος,

[1] Cod. Escur. LIV, 9 : Μὴ τὴν κατασ7ρέφουσαν ὑπεροψίαν Λάθης προτιμῶν τῇ ψυχῇ τοῦ μετρίου.

[2] Conf. supra XIV, 150.

[3] Fort. idem ac Momitzilus ap. Cantacuz.

[4] Cod. Δαμίανος.

[5] Belgradum vicus est ad ipsas Hæmi fauces, in via Aëto (Aïdos) Probatum ducente. Confer. Pachym. tom. I, p. 509 sq. et Nicet. Chon. p. 133.

[6] Conf. supra v. 184.

Τὸ Πετροβούνου καὶ τὸ Θεοφυλάκτου,
Τῆς Ἀτζερᾶς[1] ἅπαντα συλλήβδην τόπον,
Καὶ Γολογλέντου καὶ σὺν αὐτοῖς Ἀθίτζαν
Καὶ τὸ κραταιὸν ἄστυ τῶν Βελλεγράδων
Ὃ μαρτυρεῖ Στούδαινα συνειλημμένη·
Πυργίτζιον δὲ καὶ τὸ πᾶν τούτου μέρος,
* Συχνῆς μάχης ἔπαθλα συχνὰ λαμβάνει
Δεικνὺς Λαχανᾶν δυστυχοῦντα σατράπην.
Εἶτα Κάμαιναν, εἶτα Σωτῆρος πόλιν,
Τῆς Μοκρεάνους τὸν τόπον τῆς Πατζόβου,
Καὶ τὸ Κτενίων[2] ἄστυ τὸ κτεῖνον μάχας,
Ὃ Βεσελεὴλ οὗτος εὑρέθη κτίσας·
Τὸν δ' Ἀετὸν[3] πῶς εἷλε τὸν δίχα πτίλων,
Κυνηγετικὴν εὐτυχοῦντα καρδίαν·
Αὐτὸς γὰρ αὐτὸν ὡς τοκεὺς κίρκος τρέφει
Πολλοὺς νεοττοὺς ἀγαγὼν ἐξ Οὐστίου
Καὶ τῆς Προβάτους, ἀλλὰ καὶ τῆς Πρεσθλάβας[4]
Καὶ τοῦ κατ' αὐτὰς ἐμβαθύνοντος μέρους,
Ὡς οὐ παρ' ἐχθροῖς ἀσφαλῶς ᾠκισμένας·
Καὶ Τζερβεσίσθα[5] μαρτυρεῖ τὴν Βερδίτζαν,
Ὡς ἂν ὁ παρὼν ἀκριβέστερον μάθοι·
Μογκλίζιον δὲ τῷ Κρινῷ[6] συμμαρτύρει·

[1] Fl. Ἀτζαρὰ memoratur apud Constant. Porphyrog.

[2] Georg. Pachym. tom. II, p. 445 : Κτένια καὶ Ῥωσόκαστρον.

[3] Aëtos adhuc durat sub nomine Aïdos, ad occidentem Mesembriæ. Sed in iis quæ præcedunt prorsus cæcutio : ubique turcica nomina antiquis succedentia ne vestigium quidem pristini status reliquerunt.

[4] Conf. Georg. Acropol. p. 23. Ann. Comnen. *Alexiad.* lib. VII, p. 342, et Ephræm. vers. 2916. Presthlaba est Marcianopolis veterum, hodie Pereslav, quam tamen nescio quo casu in tabula omisit Lapie.

[5] Ephræm. v. 4421 : Κλεισούρας, ἣ κέκλητο Τζιβρίτζης πάλαι.

[6] Prius erat τὸν Κρινόν. Fort. id. ac Κρηνὸν ap. Nicet. Chon. p. 852.

Βεῤῥῶ δὲ τὴν Κώλιναν ἐκ Βεανίτζης,
Τὰ δύσμαχα Φρούρια τῶν ἀλλοτρίων,
* Ἅπερ κατέσχεν εὐχερῶς ὁ γεννάδας.
Εἰ δ' οὐκ ἔχουσι ταῦτα Φωνὴν μακρόθεν,
Ὁ γοῦν Λαχανᾶς μὴ Φθονείτω τῆς τύχης·
Εἰ γὰρ σιγήσας ἐγκαλύψει τὰς μάχας,
Τρίνωϐος[1] αὐτὸς ἐκϐοήσει τὰς νίκας·
Τάχα λαλήσει καὶ σΊρατὸς ϖαρηγμένος,
Ἐκ τῶν ϖαρ' αὐτοῦ συντεθέντων ὀσΊέων·
Κεκράξεται δὲ καὶ βασιλίδος σΊόμα
Καὶ βασιλίσκος ἁρπαγεὶς ϖαρ' ἐλπίδας,
Ὡς ἂν ἔχοι μάρτυρας ἀψευδεσΊέρους·
Ἐκ γὰρ Τρινώϐου συλλαϐὼν ἀκινδύνως
Τὴν Βουλγάρων λέαιναν αὐτῷ σκυμνίῳ,
Πέπομφε τῷ λέοντι τῷ σΊεφηφόρῳ
Λάφυρον ἡδὺ συγγενοῦς ὑποψίας.
Κήρυξ δὲ τοῦ ϖράγματος ἡ ΚωνσΊαντίνου,
Δούλην ἰδοῦσα τὴν ἐλευθέραν τύχην,
Καὶ ϖάλιν αὐτὴν λαμϐάνει τὴν Πρεσθλάϐαν[2],
Λωφτζὸν σὺν αὐτῇ, Τζερϐενὸν καὶ Βυδίνην[3],
* Καὶ τὴν[4] ϖερὶ Δάννουϐιν εὐρυχωρίαν·
Καὶ ϖάλιν αὐτὸν τὸν βαρὺν ἀποσΊάτην

[1] Prius erat Τρίϐωνος. Nunc Tirnava s. Ternova, ad Iatrum (Jantra) flumen. Conf. Nicet. Chon. p. 619.

[2] Conf. supra ad v. 231.

[3] In Lophtzo mihi aqua hæret : nisi tamen latet sub hoc nomine hodiernum Loftcha, ad occidentem Tirnavæ, quod jam plane suspicor. Tzerbenum esse potest Tchernavoda, collocata a Lapie non procul a Danubio, in via qua itur Razgrado Roustchoucum. De Βιδύνῃ venit in mentem Bononia veterum, Bidena medii ævi, hoc tempore Widdin, oppidum nobile, in ripa Danubii extremoque in margine occidentali Bulgariæ situm. Sed usque eo protulisse arma Glabam prorsus incredibile, pene jam desperato tunc apud Byzantinos rei militaris statu.

[4] Prius erat καὶ τά.

Ὠθεῖ Λαχανᾶν ἐκτοπίζων τῷ ξίφει·
Κατήγορον δὲ τῆς φυγῆς τῷ σατράπῃ
Τὸ Πριστρίας[1] φρούριον ἐκ τῶν ϖραγμάτων,
Μησὶ δι' αὐτὸν ἐν τρισὶ κεκλεισμένον·
Κἂν εἷλεν αὐτὸ[2] ϖυρπολήσας ὡς χλόην
Ὁ γίγας οὗτος ὁ δρομεὺς ἑωσφόρος,
Εἰ μή τις ἐνσκήψασα δυσχερὴς νόσος,
Καθάπερ ὑγρὸν ἀπὸ χειμῶνος νέφος,
Ἀναδραμεῖν ἔπεισεν εἰς Βυζαντίδα,
Καὶ συσταλῆναι καὶ καλύψαι τὴν ζέσιν,
Κινοῦντος αὐτὸν οὐρανοῦ ϖαντὸς ϖλέον
Τῶν βασιλικῶν τοῦ σκοποῦ θεσπισμάτων.
Δριμὺς δὲ χειμὼν ἐκ νεφῶν ἀντιπνόων
Κατέσχεν εὐθὺς τὸν στρατὸν τῆς ἑσπέρας.
Παρὼν γὰρ οὐκ ἦν ὁ στρατάρχης ἥλιος,
Ἀντιστρατηγήσαντος ὥσπερ ἀστέρος
* Ἄλλου μετ' αὐτὸν ἐν κρυμῷ δειλανδρίας[3]·
Ἡ χεὶρ δὲ ναρκᾷ τοῦ στρατοῦ ϖαραυτίκα,
Ἐχθροῖς δε ῥιπτεῖ καὶ μερίζει τὰς ϖόλεις,
Ὅσους ὁ καιρὸς ἀντεδίδου ταῖς μάχαις[4]·

[1] Fortasse Prista ad Danubium, hodie Roustchouk. Legitur et in *Itinerario Antonini*, ed. Fortiæ, pag. 66, ablativo plurali Sexantapristis (conf. Socratem, *Hist. eccl.* VII, 36) et in *Tabula Peutingeriana*, *ibid.* p. 247 (ubi v. cl. Lapie non vidit Sexantaprista et Prista idem esse) itemque in tabula Spruneri, n° 65.

[2] Prius erat αὐτὸν, littera ν erasa.

[3] Id. *In Cantacuzen.* 419. German. Cpolit. codex Coislin. 278, fol. 28 r°: Μηδὲ τὴν κάμινον τῆς αἰσχρᾶς δειλανδροῦντες ἐπιθυμίας. Unde voces δειλάνδρησις et δειλανδρισμός quas frustra in lexicis quæras. Prior invenitur ap. Jo. Stauracium, cod. Coisl. 146, fol. 28 r°: Καὶ εἰς ἔσχατον ἄγων ἀκινησίας καὶ δειλανδρήσεως. Posterior apud Theodor. Lascar. cod. Paris. 3048, fol. 67 r°: Διὰ ταῦτα γοῦν τὸ μὲν λέξαι εἰσάγει δειλανδρισμόν. Id. fol. 81 v°: Τοὺς ἐν ϖολέμῳ δειλανδρισμούς.

[4] Significat hic, omnia magno Glabæ labore intra paucos menses parta illo ab-

Ἀθροίζεται δὲ στρατιᾶς πάλιν σέλας
Ὡς ὑπὸ δίσκῳ τῇ στροφῇ τῶν πραγμάτων,
Καὶ τὸν Λαχανᾶν τὸν πολὺν καταφλέγει.
Καὶ πάλιν αὐτὸς ὁ γλυκὺς ἑωσφόρος,
Λυθέντος αὐτῷ τοῦ κατασχόντος νέφους,
Βυζάντιον πῦρ ἐκδραμὸν πρὸς ἑσπέραν
Τῇ τῶν Ἰταλῶν δείκνυται πανοπλίᾳ·
Τεφροῖ γὰρ αὐτοὺς ὡς ἀνίκμους ἀθρόους,
Θερμὴν φύσιν ἔχοντας ὑπεροψίας.
Ἐξ ὧν κατασχὼν τὴν πόλιν Δυῤῥαχίου[1]
Κροάς τε καὶ Κάννινα καὶ τὰ κυκλόθεν,
Ὁρμᾷ πρὸς αὐτοὺς τοὺς θρασεῖς πάλαι Βλάχους,
Θεόδωρον δὲ πυρπολεῖ κατακράτος
Τὸν σεβαστοκράτορα[2] τῶν ἀλλοτρίων,
* Καὶ λαμβάνει τὴν χώραν, ὡς δῶρον τύχης.
Δρεανοβισκὸς δεῖγμα τῆς εὐανδρίας,
Ἄστρον δὲ μικροῦ θαῦμα τῆς εὐτολμίας.
Ἐχρῆν γὰρ αὐτοῦ μαρτυρεῖσθαι τὰς νίκας
Παρὰ γυναικὸς εὐπρεποῦς βασιλίδος,
Καὶ παρὰ παιδὸς μὴ φρονοῦντος ὡς βρέφους,
Εἶτα παρ' ἀνδρὸς εὐτυχοῦς πρὸ τῆς μάχης,
Ὡς ἂν ἔχοι δήλωσιν ἀκριβεστέραν.
Εἶτα πάλιν ὑφεῖρψε δυσμενὴς ὄφις
Ὡς ἀπὸ τρώγλης τῆς γνοφώδους ἑσπέρας,

sente illico fuisse amissa. Fortasse non sine pudenda Byzantinorum clade: quamobrem nonnisi leviter tangunt græci scriptores id memorabile sane bellum, inceptum favente mirabiliter fortuna, terminatum calamitose.

[1] Dyrrachium notum. Inde non longe in montibus, inter orientem et septentriones, Croia, celebrata Scanderbegi sedes: habet Sprunerus n° 62. Idem n° 61 Kanina (*sic*), juxta Aulonem (Valone) ad fauces maris superi.

[2] Contra metrum hanc vocem sciens adhibuit poeta.

Κοτεανίτζης[1] ἐγκοτῶν τῷ γεννάδᾳ·
Οὗ τοὺς συριγμοὺς, τὰς σΊροφὰς καὶ τὸ θράσος
Καθεῖλεν εἰς γῆν συμπατήσας ὡς κόνιν.
Εὐτζάπολιν δὲ συλλαβὼν Μοροβίσδου[2],
Σκόπιά τε[3] Σθλάβιτζαν ἐξ εὐανδρίας,
Καὶ τὸν Πίαντζον καὶ τὸ περὶ τὸν Στρόμον,
Καὶ τὸν περὶ Στρούμμιτζαν[4] ἄφθονον τόπον
Αἱρεῖ, κεφαλὰς ὑπὸ γῆν ἀλλοτρίων,
* Πτέρνη παρ' αὐτῶν ἀσφαλῶς τηρουμένη,
Καὶ τῆς νίκης ἔπαθλον ἡ Δεῦρις[5] πόλις
Αὐχοῦσα πολλὴν τὴν περίχωρον χάριν,
Σαύρῳ δὲ Μαῦρος ἐμφερὴς δεδειγμένος·
Ἐπείγεται μὲν ἐνδακεῖν ὑπὸ φθόνου,
Καὶ τὴν ὑπασπίζουσαν ἐκπΊύσαι βλάβην·
ΣυσΊέλλεται δὲ καὶ κρυβεὶς ὑποτρέχει·
Καὶ μὴν συνελθεῖν εὐχερῶς οὐκ ἰσχύει,
Τμηθεὶς μεληδὸν τοῦ σΊρατάρχου τῷ ξίφει
Κἀντεῦθεν εἰδὼς Τερτερῆς τοῦτον φθάνει,
Πληγεὶς ὑπ' αὐτοῦ καὶ πεσὼν ὑπὸ γνόφον.
Οὐκ ἀγνοεῖ δὲ καὶ Λαχανᾶς τὸν μέγαν,

[1] Coteanitzes quidam Thessalonicensis perfuga memoratur ap. Cantacuzen. tom. II, p. 241.

[2] *Μορόβισδα* supra in cod.

[3] Ephræm. v. 2916 : *Ἀχρίδα καὶ Σκόπια, Πρεσθλάβας δύο, Τὰς ἐν Σαρδικῇ καὶ Βιδίνης χωρία.* Georg. Acrop. p. 84. Scopiam (Uskup) et Stroumitzam (Ostroumja), oppida aliunde notissima, habet Sprunerus n° 62. Idem ibid. recte collocat Ostrobo medio fere itinere Thessalonica Achridem : id Ostrobo idem est, opinor, atque Strobus poetæ nostri qui corrigendus ex Georgio Acropolita (p. 91 ed. Bonn.). Piantzus, ni fallor, adhuc manet sub nomine Piassa, ad meridiem Achridensis s. Lychnitidis lacus : at ubi fuerint Eutzapolis et Sthlabitza scio juxta cum ignarissimis.

[4] Cod. *τὸν περισΊρούμμιζαν.*

[5] Hodie Dibre sipre, ad Drymonem flumen (le Drin noir) quod, delapsum ex lacu Lychnitide, juxta Lissum (Alessio) in mare superum transit.

Οὐ Σμῖλος αὐτὸς ὁ κρατῶν γῆς Βουλγάρων,
Οὐκ ἄλλος οὐδεὶς τῶν ζεόντων εἰς μάχας·
Ἀθάνατος γὰρ δείκνυται στηλουργία
Τῷ νικοποιῷ σὺν Θεῷ στεφανίτῃ
Βάρνα[1], Προβάτους, Πρεσθλάβα σὺν Ἀθίτζῃ,
Ῥεάχοβός τε καὶ τὸ Κυπίλου ϖέδον
* Καὶ Κάτζοβος[2] καὶ σύμπας ἁπλῶς γῆς ὅρος,
Εἶτα Στεανίσκος τε καὶ Τούντζης ϖόλις,
Τῆς Ἀδριανοῦ[3] μέχρι τῆς τρισολβίας
Πρὸς τῇ Διαμπόλει[4] δὲ καὶ τὸ Λαρδέα[5].
Οὕτως ὁ καινὸς Ἡρακλῆς οὗτος, ξένε,
Συχνοὺς ὑποστὰς ἐν βραχεῖ χρόνῳ ϖόνους,
Ἀράμενος δὲ καὶ τὰς ἐν ϖᾶσι νίκας
Ἔδειξε μικροῦ τὴν φύσιν ἰσάγγελον
Τῇ ϖρὸς τὸν αὐτάνακτα φιλοστοργίᾳ.

CCXXXVIII. Τῷ ϖατριάρχῃ[6].

Χριστοῦ μιμητὰ ϖοιμνιάρχα[7] τοῦ ϖρᾴου,

[1] Varna ad Pontum, nobilitata recentibus Russorum Turcarumque bellis. De Probato vide supra ad v. 177, de Presthlaba ad v. 231. Athitzen ignoro. Rheachobum Pachymeres, *Hist. Andron.* V, 28, docet abfuisse Ternova iter unius diei, austrum versus : id nos ducit ad radices Hæmi, ubi hodie Gabrova. Sed ibi in tabulis quæ ad manum, ne tenue quidem vestigium Rheachobi. Nec minus hæreo in campo Cypili.

[2] Catzobus fortasse est Tchatak, in declivitate aquilonari Hæmi, ad flumen quod adhuc retinet nomen Camtchic. Steaniscum ignoro. Tountza, Ptolemæo Tonzos, quærenda, opinor, ubi hodie Kezanlik, prope a capite fluvii cognominis (Tondja) qui ab Hæmo decidens juxta Adrianopolim miscetur Hebro.

[3] Adrianopolis oppidum in primis clarum et nobile.

[4] Diampolis, urbs Mœsorum, de quo confer Cantacuzen. aliosque byzantinos scriptores. Ap. Cedren. p. 713 D, Διάβολις nominatur. Diampolis, hodie Ianboli ad Tonsum flumen, notissima nostra quoque memoria bello Russorum qui Hæmo superato inde Adrianopolim usque penetraverunt.

[5] Lardeam habet Sprunerus, n° 61.

[6] Id est Niphoni.

[7] Vid. supra XLVI, 6.

Σὺ μὲν σεαυτὸν οὐρανοῦ δίκην κλίνων,
Ἡμῖν ὁμιλεῖς δυσπραγοῦσι τοῖς ξένοις·
Τὸν ἥλιον γὰρ τῶν καλῶν ἔργων φέρων
Τὴν τῶν λυπηρῶν ἐκδιώκεις ἑσπέραν[1]·
Καὶ πρὸς τοσοῦτο βάθος ἐξ ὕψους ῥέπων,
Καὶ φαῦλον οὐδὲν οὐδαμῶς πάσχων πάθος,
Τηρεῖς πάλιν τὸ σχῆμα καὶ μέγας μένεις,
Καὶ θαυματουργεῖς τῇ καθάρσει τῶν νόσων
* Τὰ τῶν λόγων φάρμακα πυκνῶς ἐγχέων.
Ἐγὼ δὲ φιλῶν (ἀλλὰ πιπλέτω θράσος),
Καὶ καθάπερ Λάζαρος ἀλγῶν ἐκ νόσου,
Ἰδεῖν τὸ σὸν πρόσωπον ἐζήτουν μόνον,
Καὶ τῶν ὀδυνῶν τὴν φορὰν ἐκαρτέρουν
Τὴν ἀνακωχὴν ἐλπίσας τῆς φύσεως.
Νῦν οὖν θανατῶ καὶ παραπνέω μόνον[2],
Καὶ λειποθυμῶ καὶ χυμοὺς ἀναπλύω·
Ἱδρῶν δὲ ναρκῶ καὶ διάστροφον βλέπω,
Καὶ κατὰ μικρὸν ὠχριῶν μελαίνομαι·
Σφυγμὸς γὰρ οὐδεὶς ἐκνικώσης τῆς νόσου,
Εἰ μέχρις αὐτῶν ἀκριβῶς τῶν ὀστέων
Ἡ συμφορὰ προῆλθε τῆς ἀθυμίας.
Εἰμὶ δὲ νεκρὸς καὶ μυδῶν ἄλλον τρόπον,
Καὶ τοὺς προπομποὺς ἀγνοῶν τοῦ λειψάνου.
Χριστοῦ μαθητὰ, μὴ παρέλθῃς τὸν φίλον,
Τὸν ζῶντα νεκρὸν, ἀλλ' ἐπίστηθι φθάσας
Πρὶν ἀποθανεῖν καὶ ῥυῆναι τὴν φύσιν,
Καὶ χοῦν ὑπελθεῖν καὶ κρυβῆναι τὴν πλάσιν·
Μόνος γὰρ ἂν δύναιτο νεκροὺς ἐκ τάφου

[1] De hac metaphora confer supra CLXXXIV, 8.

[2] Hi tres versus 14-16 in margine scripti sunt manu recentiori.

Ζωοῦν Ἰησοῦς ὁ σκυλεύων τοὺς τάφους.
* Ἔχω γε μὴν οὐ Μάρθαν οὐδὲ Μαρίαν·
Τῶν γὰρ ἀληθῶν ἐστερήθην συγγόνων,
Πάροικος εἰς γῆν εὑρεθεὶς ἀλλοτρίαν·
Καλλίνικον δὲ τῆς μονῆς τὸν προστάτην,
Ἣν ὡς ὁ Μωσῆς τὴν Θεοῦ σκηνὴν κτίσας
Πολλῶν ἀγαθῶν εἰσφοραῖς σὺ φαιδρύνεις.
Εἰ δ' οὐχὶ καὶ φαίνοιτο θερμῶς δακρύων,
Οὐδέν τι καινὸν, μυστικῶς γὰρ δακρύει,
Τὸ θηλυπαθὲς[1] ἐκφυγὼν ὁ γεννάδας·
Νῦν γοῦν δι' αὐτὸν ποτνιώμενον πάλαι,
Τὸν σαββατισμὸν τοῖς ἐμοῖς πόνοις δίδου,
Ὡς ἂν φέρων φοίνικας εὐχαριστίας
Τὸν ὑπὲρ ἡμᾶς εὐλογῶ σε δεσπότην,
Ὅταν ἐπ' αὐτὴν τὴν Σιὼν τῆς καρδίας
Ἐμοὶ προπεμφθῇς ἐξελέγξας τὸν φθόνον.

CCXXXIX[2].

* Πάλιν ἐφ' ἡμᾶς ὁ γλυκὺς Νεῖλος[3] ῥέεις,
Ἀνατρέχων κάτωθεν εἰς ὑπερχύσεις·
Ὃς εἰκότως Αἴγυπτον εὑρών με πνίγῃ[4]
Ταῖς σαῖς λιπανεῖς ἀργυραῖς ὑπομβρίαις[5].

[1] Hac voce augenda lexica, quibus obiter addam: Θηλύτεκνος, Anon. cod. 2506, fol. 11 r°: Ἐνεργεῖν ἀδυνάτους ἐν τοῖς ἀφροδισίοις, ἢ σπανοτέκνους, ἢ θηλυτέκνους. — Θηλύθαμνος, de abrotono, cod. Paris. 2286, fol. 2 v°: Οἱ δὲ θηλύθαμνον, Φράγγοι ἀμπροτάνου. — Θηλυκάρδιος, lapis, Meliten. v. 1155. Adde et Θηλυκόμορφος ex codice Paris. 1991, fol. 118 r°, et Θηλυκόψυχος ex codice Paris. 2411, fol. 92 r°.

[2] Sine titulo.

[3] Conf. supra CCXVIII, 29.

[4] Post hunc versum ad oram conjecit secunda manus alterum, nunc prorsus evanidum.

[5] Cod. Florent. I, 94: Ἀργυροῦς ὄμβρους χέων.

Ξηραίνομαι γὰρ ὑπὸ τῆς ἀνομβρίας,
Χαλκῆς ἀτεχνῶς εὑρεθείσης τῆς τύχης.
Ἴσως ὁ καρπὸς[1] μὴ φρυγεὶς τῶν ἐλπίδων
Ἀλλὰ δροσισθεὶς ὀργανώσει τὸν σΊάχυν,
Ὃς ἂν τὸν ἑσμὸν[2] τῶν ἐμῶν τρέφῃ κρότων.
Πήχεις μὲν οὖν ὄρεξον ἡμῖν ἀφθόνους,
Τοὺς ἀπὸ χειρῶν εὐπετεῖς πρὸς τὰς δόσεις.
Τὸ γήδιον γὰρ ἐκτακὲν τῆς καρδίας,
Ὃ πολλάκις ἤρδευσας ἐξ εὐσπλαγχνίας,
Εἰς προσχύσεις κέχηνε δαψιλεσΊέρας·
Μετὰ δὲ μικρὸν καὶ κατὰ χώραν μένων,
Καὶ τοὺς ἀγωγοὺς τοῦ χρυσοῦ διατρέχων,
Οὓς εἰς Θρᾴκην ὤρυξε καλάμου σΊόμα
* Βαφαῖς ἐρυθραῖς εὐτυχῶς τεθηγμένον,
Πλήρου τὰ κοινὰ σωσΊικῆς γεωργίας·
Φήμῃ δὲ σαυτὸν ἐκδεδωκὼς ἀχρόνῳ
Εἰς τὴν κτίσιν σύμπασαν ὀξέως τρέχε·
Τάχα προσελθὼν ταῖς ῥοαῖς ταῖς ὀλβίαις
Εἰς ὠκεανὸν κατὰ τὸν Νεῖλον φθάσεις
Κυκλοῦντα[3] τὴν γῆν τῇ σΊροφῇ τοῦ ῥεύματος.

CCXL[4].

Ὀλβιόδωρε[5] σῶτερ, ἰοὺ τῆς τύχης!
Οὐ τρύφος ἡμᾶς, οὐ κρατὴρ ἀναψύχει.

[1] Conf. cod. Vat. xi, 8.

[2] Conf. supra liii, 7.

[3] Conf. Stephan. Byzant. s. v. Ὠκεανός. Cod. Paris. 2655 : Ὠκεανὸς, ὁ ποταμὸς ὁ τὴν οἰκουμένην περικυκλῶν, παρὰ τὸ ὠκέως νάειν, ἢ παρὰ τὸ ὠκέως ἀνύεσθαι. Jo. Tzetz. cod. Paris. 2644, fol. 251 r° : Ἀλλὰ τὸν μέγαν τὸν βαθὺν ὠκεανὸν Ὁμήρου, Τὴν πᾶσαν περισφίγγοντα κύκλῳ τὴν οἰκουμένην.

[4] Carmen sine titulo; sed Atzyme magno Domestico inscriptum. Confer vers. 16.

[5] Arsenii *Violetum*, p. 517 : Ὀλβιόδωρος Νεῖλος ἀργυροῤῥόας. Nicephor. Callist. tom. II, p. 90.

Τί τοῦτο; παπαί! δυσχερὴς ὁ πᾶς βίος.
Ὄψον δὲ καὶ τράγημα καὶ σκόμβρων γένος
Οὐδὲν παρ' ἡμῖν· χαλκοτύπων γὰρ τάδε
Καὶ βυρσοδεψῶν [1] εὐτελῶν καὶ τεκτόνων.
Ὁ δὲ στατὴρ, ὄνειρος· ἡ στολὴ, τρίβων·
Τὸ κτῆνος ἀλγοῦν· ἐστιᾶται γὰρ μόλις,
Ἐπείπερ ἐξέλιπον ἀπὸ βρώσεως
Πρόβατα καὶ θνήσκοντες ἐν φάτναις βόες,
Καὶ δυσμενεῖς οἱ παῖδες ἡμῖν ἔσθ' ὅτε
Τράπεζαν οὐκ ἔχοντες ἀφθονωτέραν.
* Οὐκοῦν ὄρεξον χεῖρα τῷ πνέοντί σε,
Καὶ τοὺς χρυσοῦς ἄνοιξον εὐσπλάγχνως πόρους,
Ἔθους ἀγαθοῦ μηδὲ νῦν κλείσας θύραν [2].
Εἷς γὰρ ἑῷος Ἀτζύμης Δομέστικος,
Εἷς, ἄλλος οὐδεὶς, κἂν διέλθῃς τὴν κτίσιν,
Τροφεὺς ἱλαρὸς, εὐχερὴς πρὸς τὰς δόσεις,
Ὀξὺς χορηγὸς, δαψιλὴς, ἀκάματος·
Οὗ δίχα τὸ ζῆν δυσπραγοῦντα τὸν ξένον
Ἐργῶδές ἐστιν, ἄφθονε πτωχοτρόφε.

CCXLI [3].

* Ἰοὺ κατὰ σοῦ τῆς ψυχῆς τῆς ἐνθέου
Τὸν δυσμενῆ λέγουσι λυτῆσαι φθόνον!
Ἰοὺ κατὰ σοῦ τῆς μεγάλης φύσεως
Τὰ μικρὰ καὶ δύσποτμα συντρέχειν γένη,

[1] Noster, *De plantis*, v. 362; S. Epiphan. *Opp.* tom. II, p. 65 : Μὴ γὰρ ὁ θεὸς βυρσοδεύτης (in marg. F. βυρσοδέψης) ἦν. Anon. codex Paris. 1630, fol. 227 r° : Καταπαύει δὲ καὶ λοιμὸν ἡ ὀπῷ βαλσάμου, ἡ συνεχῇ (l. συνεχεῖ) δυσωδίᾳ τῇ βυρσοδευτικῇ (leg. βυρσοδεψικῇ) τοῖς ἐναντίοις.

[2] De metaphora januarum vid. Boisson. ad Babrium, *Fab.* p. 209, et ad Choric. p. 3 et 108.

[3] Versus anepigraphi.

Ὡς ἂν πάλιν Ἥρακλες ἐξ ἄλλης πάλης
Ἀνατιναχθεὶς ὡς τὸ πῦρ ὑπερζέσῃς,
Καὶ τὰ προσοχθίζοντα πυγμαῖα σῖίφη
Διασπάσῃς τάχισῖα συλλήϐδην φύρας!
Φωτὸς γὰρ ἀκμὴν οὐχ ὑφίσῖαται σκότος[1],
Ἰσχὺν δὲ γυπὸς οὐ σῖίχουσι[2] κάνθαροι·
Κἂν ἐξ ἕλους κώνωπος οὐλήσῃ[3] σῖόμα,
Τὸν αἰγυπιὸν οὐ θροήσει τὸν μέγαν.
Πλὴν ἴσθι Φιλῆν τὸν παραπνέοντά σε,
Κάμνοντα καὶ ῥιγοῦντα καὶ πυρούμενον
Κρυμοῦ τε χωρὶς καὶ φλογὸς ταχυδρόμου,
Τήν τε κλίνην ἔχοντα μυγμῶν ἑσῖίαν,
Καὶ φαρμάκων χρήζοντα καὶ φίλων πλέον·
Οὐκοῦν πρὸς ἡμᾶς πέμπε τινὰ τῶν φίλων
Ψιλοῦ τέως ῥήματος ὀμϐρίσας δρόσον.

* CCXLII[4]. Πρὸς τὸν ἅγιον Στέφανον τὸν πρωτομάρτυρα περὶ τοῦ κτήτορος[5] τῆς μονῆς αὐτοῦ τοῦ παρακοιμωμένου ἐκείνου.

Οὐκ ἦν μὲν εἰκὸς ἄνδρα νεκρὸν σεμνύνειν
Ἐκ τῶν κατ' αὐτὸν δῆθεν εὐτυχημάτων·
Τὰ γὰρ παρατρέχοντα πῶς ἄν τις λέγοι;
Μᾶλλον δὲ τίς ἐντεῦθεν ἀνθρώπῳ χάρις
* Φανέντι καὶ κρυϐέντι καὶ σεσηπότι;
Πλὴν ἀλλ' ἐπεί, πρώταθλε Χρισῖοῦ μαρτύρων,
Ἔτι περιὼν ὁ γραφεὶς οὗτος γίγας
Καυχήσεως σῖέφανον ἐκτήσατό σε

[1] Vid. supra LXI, 58.

[2] Fort. σῖέγουσι. Cod. Flor. I, 258: Ἐκ γὰρ ἀγεννῶν καὶ χαμερπῶν κανθάρων Τίς αἰγυπιὸς εὐπρεπεῖς ἕξει κρότους; Cf. supra LXI, 36.

[3] Fort. ἠχήσῃ.

[4] Carmina CCXLII et CCXLIII, quæ omiseram, nunc ex eodem codice Parisin. fol. 106 v° et 184 r°.

[5] Fort. κτίσῖορος. Conf. v. 39.

Τοῖς μαρτυρικοῖς ὡραϊσμένον λίθοις,
Τί καινὸν εἰ λέγοιμεν αὐτοῦ τὸν βίον;
Πῶς γὰρ ἂν ἄλλως τοῦτον ὁ ξένος μάθοι
Κενὸν τύπον σώματος ἐνθάδε βλέπων;
Περσὶς μὲν οὖν ἔδειξεν αὐτὸν ὡς ῥόδον
Αἵματι Χρισΐοῦ μυσΐικῶς βεβαμμένον·
Τῶν γὰρ ἀκανθῶν[1] τῆς ἀπισΐίας μέσον
Εὐωδιάζον εἶχεν ἐκ βρέφους σέβας·
Γένους δὲ σεμνοῦ καὶ τιμῆς τῆς ἐν βίῳ
Καὶ παντοδαπῶν εὐπορήσας πραγμάτων,
Τῶν χρισΐιανῶν τὴν τιμὴν ηὔχει πλέον·
Ζῶον γὰρ ἦν ἄντικρυς ἐν πυρὶ πνέον.
Ἐπεὶ δὲ φυγὼν τὸν μισάνθρωπον φθόνον
Ἐξ Αὐσόνων γῆς ἦλθεν εἰς γῆν Περσίδος
* Ὁ βασιλειῶν καὶ κρατῶν πρὸ τοῦ σΐέφους,
Ἥρως Μιχαὴλ Παλαιολόγος Δούκας,
Τούτῳ πρὸ παντὸς εὐγενοῦς ἐντυγχάνει,
Καὶ τῶν κατ' αὐτὸν ἀξιοῖ βουλευμάτων,
Ὁρῶν σοφὸν τὸν ἄνδρα τῶν ἄλλων πλέον
Καὶ καρτερικὸν ἀκριβῶς πρὸς τὰς μάχας.
Εἶτα συνεργὸν εὐτυχῶν τοῦτον μέγαν
Ἐκεῖθεν ἥκει δεῦρο τοῦ σκοποῦ χάριν,
Καὶ γίνεται μὲν Αὐσονάρχης αὐτίκα,
Τιμᾷ δὲ τιμῇ τοῦ παρακοιμωμένου
Τῆς σφενδόνης[2] τὸν ἄνδρα τῆς ὑπερτάτης,
Φανέντα καὶ πρὶν εὐκλεῆ τοῖς σατράπαις
Ἐκ τῶν πρὸς ἀντάμειψιν ἀξιωμάτων.

[1] Simili metaphora cod. Vat. xxv, 7: Φλέγεις δὲ πάσας τὰς ἀκάνθας τῆς πλάνης.

[2] De hac dignitate confer Ducang. *Glossar.* s. v. Παρακοιμώμενος τῆς σφενδόνης.

Ὁ δὲ προτιμῶν πανταχοῦ σε τῆς τύχης,
Καὶ πᾶσαν ἐν σοὶ τῆς ψυχῆς τὴν ἐλπίδα
Τηρῶν καθαρὰν ἐμπαθοῦς ὑποψίας,
Εἰς κάλλος ἀρκοῦν τὴν μονὴν καθιδρύει
Πᾶσαν χέας ὕπαρξιν ἀφθόνῳ δόσει.
* Σὺ γὰρ ἐκεῖνον εἷλες ἐκ τῆς Περσίδος,
Ἄγκιστρον ἐνθεὶς ὁρμιᾶς τεραστίων·
Ἔτι μὲν οὖν ζῶν καὶ βλέπων τὸν ἥλιον
Ἔκαμνε τῷ σώματι στὴν δήπου χάριν,
Ὡς ἂν ἔχοι τὴν πῆξιν ἀσφαλεστέραν
Τῇ κατὰ μικρὸν ἡ μονή σου προσθέσει,
Καὶ νῦν μοναχῶν συγκροτεῖ χορὸν ξένον
Τῇ χριστοτερπεῖ[1] τῶν ψυχῶν λειτουργίᾳ·
Ἐπεὶ δὲ καὶ παρῆλθε δεικνὺς τὴν φύσιν,
Καὶ τοῦτον οἰκεῖ τῆς σοροῦ φεῦ τὸν λίθον
Ἀνὴρ ἀγαθὸς, εὐσεβὴς ἄλλος γέρων,
Χρηστὸς, προσηνὴς, εὐσταλὴς πρὸς τοὺς πόνους,
Διονύσιος τὴν κυριωνυμίαν,
Ἐκεῖνον ἐν γῇ Περσικῇ σχὼν δεσπότην,
Καὶ τὰς ἐπὶ σοὶ παραλαβὼν ἐλπίδας,
Καὶ κλῆρον εὑρὼν τὸν κατάλληλον πόθον,
Προΐσταται μὲν τῇ μονῇ τῶν Φροντίδων·
Ὑμῶν δὲ κοινῇ ζωγραφεῖ νῦν τοὺς τύπους,
* Ὡς ἂν ἐν αὐτῷ τοῦ Θεοῦ τῷ βιβλίῳ
Γραφῇ καθαρὸς τῶν παθῶν τῶν ἐξ ὕλης.
Ἀλλ', ὦ μάκαρ Στέφανε σεπτὲ μαρτύρων,
Τούτῳ μὲν ὡς πνεύσαντι καὶ στέρξαντί σε,
Καὶ σεμνὸν ἀνύσαντι παιδόθεν βίον

[1] Quæ vox invenitur et in Passione S. Andreæ in Crisi, *Act. SS.* Oct. t. VIII, p. 136 D : Ταῖς χριστοτερπέσι τῶν φιλάθλων καρδίαις.

Δίδου χάριν ἄῤῥητον ἐκ τοῦ δεσπότου,
Μονὴν δὲ τὴν σὴν εὐγενῶς διεξάγων
Ποιμὴν ἀγαθὸς καὶ φιλάνθρωπος γίνου,
Καὶ μαρτυρικοῖς θραῦε τοὺς θῆρας λίθοις,
Μήπως ἐπεισφρήσωσι τῷ σῷ ποιμνίῳ·
Δεῖ γὰρ ἐνεγκεῖν τῷ θεῷ καὶ δεσπότῃ
Τὸ πνευματικὸν τῶν μονοτρόπων γάλα
Καλῶς ἀμελχθὲν τῇ συνάρσει τῶν πόνων,
Ἢ καὶ τυρωθὲν τῇ ζέσει τοῦ πνεύματος.

* CCXLIII. Ἐπιτάφιοι εἰς εὐειδῆ τινα νέον ἀποθανέντα[1].

Ἄνθρωπε, δεῦρο σΊῆθι καὶ σκόπει τάδε,
Καὶ χρῶ σεαυτοῦ μυσΊικοῖς διδασκάλοις,
Καθάπερ εἰκὸς τῇ σΊοᾷ καὶ τοῖς τύποις.
Εἰ μὲν γὰρ ἐξήκμασας, ἐγγὺς ἡ τρύγη,
Καὶ δεῖ σε λοιπὸν προσδοκᾶν ἄλλον βίον,
* Ὧ τὰς ἀμοιβὰς εὑρεθήσῃ λαμβάνων
Τῶν εἴτε καλῶν, εἴτε καὶ μὴ, πρακτέων.
Εἰ δὲ πρὸς ἀκμὴν ὡς τὸ πῦρ ἔτι ζέεις,
Ὁ παῖς ὁ νεκρὸς ἀμβλυνεῖ σοι τὸν τῦφον·
Ῥόδον[2] γὰρ ἦν ἐκεῖνος, ἀλλ' ἀπεψύγη
Τῆς τοῦ βίου κάλυκος ἐκκύψας τέως·
Τὸ γὰρ ἔαρ παρῆλθε τῆς ἡλικίας,
Ἄωρον εὐθὺς ἐξαμειφθὲν εἰς θέρος.
Πηγὴ καλῶν ἐκεῖνος, ἀλλ' ἀπεφρύγη·
Ζωῆς γὰρ αὐχμὸς τὴν πνοὴν ἐξικμάσας

[1] Pro ἀποθανόντα. Habent et codd. Florent. fol. 84 v° et Mon. fol. 52, cum titulo : Ἐπιτάφιοι εἰς τὸν υἱὸν τῆς πρωτοσΊρατορίσης (l. πρωτοσΊρατορίσσης) τὸν κυρὸν Ἀνδρέαν ἐκεῖνον τὸν Στρατηγόπουλον.

[2] Cf. supra CXXXI, 17 et cod. Flor. LXXIX, 42 et sq.

Τὰς ψυχαγωγοὺς ἀπενέκρωσε φλέϐας.
Δένδρον κομῶν ἐκεῖνος, ἐῤῥύη δ' ὅμως
Τμηθὲν πρὸ καιροῦ τῆς φθορᾶς ταῖς ἀξίναις [1].
Πετεινὸν ἦν ἐκεῖνος ἀπλέρου γένους,
Συναγελασθὲν τοῖς ἐλευθέροις νέοις,
Ἀλλ' ἐκπετασθὲν εἰς φθορᾶς εἴρχθη βρόχους·
Οἰκίζεται δὲ, κἂν σιωπᾷ μὴ πνέον,
Τὸ πρὶν φιλῳδὸν τοῦ βίου νεόττιον,
* Ὡς εἰς καλιὰν τὴν σορὸν τὴν ἐνθάδε.
Κόχλος τις ἦν ἐκεῖνος εἰς ἅλμην βίου,
Καὶ τῶν παρειῶν εὐτυχῶν τὴν πορφύραν,
Λίθῳ τελευτῆς δείκνυται κεκλασμένος.
Ἶρις τις ἦν ἐκεῖνος, ἀλλὰ γῆς ἶρις
Δεικνῦσα λαμπρὰν τῶν φρενῶν τὴν αἰθρίαν·
Ἔῤῥευσε δ' οὖν τὸ κάλλος οὐκ ἔχον βάσιν,
Τοῦ τῆς φθορᾶς ἄντικρυς ἐλθόντος νέφους.
Ἥλιος ἦν ἐκεῖνος, ἀλλ' ὑπεκρύϐη,
Κἂν οὐκ ἔχῃ πρόσλαμψιν ἡ κάτω δύσις,
Ἕως ἐκείνης τῆς φρικώδους αὔριον.
Ταῦτα σκοπήσας καὶ μαθὼν σύνες, ξένε,
Καὶ γνῶθι σαυτὸν ἀπὸ τῶν ἀλλοτρίων·
Καὶ γὰρ ὅλως μόνιμον οὐδὲν ἐν βίῳ.
Τὸν κείμενον δὲ συμπαθῶς νῦν δακρύσας
(Τῷ γὰρ βασιλεῖ καὶ προφήτῃ πεισλέον) [2],
Εὔχου λαϐεῖν ἐκεῖνον εἰς Ἐδὲμ λάχος,
Ἔνθα τρυφὴ καὶ τέρψις, ἔνθα φῶς μέγα,
Καὶ πραέων οἴκησις ὃ Γραφὴ λέγει.

[1] Cf. supra cxxxii, 54. — [2] Fort. transpositi v. 38 et 39.

MANUELIS PHILÆ
CARMINA.

IV.

CODEX VATICANUS.

CODEX VATICANUS.

I. Μανουὴλ[1] τοῦ Μελισσηνοῦ[2] εἰς τὴν ἐν τοῖς ἀνακτόροις τοῦ Ἀπέλλου γραφὴν, ἣν ὡς ὁ λόγος ἔχει καὶ τράπεζαν εἶναι τοῦ Ἀλεξάνδρου.

Μιμούμενος γῆς ὁ γραφεὺς καὶ τὴν[3] φύσιν
Πεπηγμένους ἔγραψεν οὓς βλέπεις τύπους.
Εἴπερ γὰρ ἦν θέλησις ἐν τῷ τεχνίτῃ,
Κινουμένας ἂν τὰς[4] γραφὰς εἶχες βλέπειν,
Τὰ μὲν πετεινὰ πρὸς νομὰς ἐλευθέρους,
Γένη δὲ νηκτῶν εἰς θαλάττης τὰ πλάτη,
Καὶ κοχλίας, μῦς εἰς χαράδρας τοῦ[5] ζόφους.
Τί γοῦν τὸ κέρδος τῆς χαρᾶς ἐκρευσάσης
Καὶ τοὺς θεατὰς τῶν καλῶν στερησάσης;
Σὺ δ' ἀλλὰ τὸν νοῦν ὁ σκοπῶν τοῦ τεχνίτου
Μὴ τῆς γραφῆς θαύμαζε τὴν χαρὰν μόνην·
Τὴν γῆν γράφει γὰρ ἡδονῇ[6] πεπηγμένην
Ὡραίαν εὐπρόσωπον ἔνδροσον κόρην,
Λυσιπλόκαμον, εὐπρεπῶς ἐσταλμένην,
Καὶ ταῖν χεροῖν φέρουσαν οὓς τρέφει τόκους,
Τρίγλας ῥοδόχρους καὶ τροφίμους σκορπίους
Ξηρῶν θαλάττης κυμάτων ἀντὶ[7] πλέον.
Ἴδοις[8] δὲ τὸν μῦν πρὸς τροφὰς ἠπειγμένον·
Δουλοῖ τὸ λίχνον ἡδοναῖς τῶν ἰχθύων,

[1] Ex eod. cod. Vat. 1126, fol. 146 v°, edidit et illustravit vir clar. Carol. Bern. Stark in commentatione *De Tellure dea deque ejus imagine a Manuele Phile descripta*, Ienæ, 1848, in-8°, p. 5.

[2] Stark Μελιστοῦ pro Μελισσηνοῦ, quod plane exhibet cod. Vat.

[3] Stark ἔτι pro καὶ τήν.

[4] Stark αὐτὸς pro ἂν τάς.

[5] τοὺς cod. et Stark qui male in notis: «Cod. εἰς pro τούς».

[6] «Cod. ἡδονή.» Stark.

[7] Fort. ἁδροὺς πλέον.

[8] «Cod. ἰδεύς.» Stark.

Καὶ τὸ γλυκὺ δὲ τῆς τροφῆς τῶν ἰσχάδων
Τὰ πίλα δεσμεῖ τοῦ λαλοῦντος σΊρουθίου·
Μισεῖ τὸ λυποῦν ἀσΊακὸς τῆς πατρίδος
Βλέπων τὸ συμπλοῦν δυσΊυχὲς λελειμμένον·
Πλὴν ἀλλ' ὁ δεινὸν ζωγραφοῦσιν[1] εἰκόνας
Χέρσῳ θαλάτΊης τοὺς βαρεῖς σφῆκας[2] κτυπεῖν
Μήπως πΊοηθεὶς τῆς γραφῆς ἀποδράσῃ·
Σὺ γοῦν σιγῶν θαύμαζε τὴν τεχνουργίαν
Μήπως ταραγμὸν ἐμβάλῃς ταῖς εἰκόσι,
Καὶ τῆς χάριτος τὴν γαλήνην συγχέῃς·
Ἀλεκτρυὼν γὰρ ὡς ὁρᾷς τρέμει βλέπων
Τὸν ὑγρόφυρτον[3] δυσέλικτον κοχλίαν
Τὴν δικρόαν τείνοντα τῆς προβοσκίδος·
Ὁ μῦς πόρους ἤνοιξε τῶν ἀκουσμάτων,
Ὡς ἂν ταραχθῇ ταῖς ὀπαῖς ὑποτρέχων,
Ἄλλως τε φαγὼν καὶ τὸ πᾶν τῶν ἰχθύων,
Καὶ τὴν ἀνάγκην τοῦ λιμοῦ κατασβέσας
Οὐ καρτερήσας καὶ δραμεῖται τοὺς κτύπους.
Τὸν δημιουργὸν τοιγαροῦν τῶν γραμμάτων
Σιγῶν ἐπαίνει μὴ σΊερήσῃς τὸ κράτος[4]
Καὶ τοὺς θεατὰς τῶν γραφῶν τῶν ἐμψύχων.

* II. Τοῦ αὐτοῦ εἰς λυχνίτην[5] λίθον ἐγγεγλυμμένην ἔχοντα τὴν θεοτόκον.

Φωτὸς βρύσις σύ· μαρτυρεῖς τὸ πῦρ βάτου[6]·
Ἂν δ' οὐ φλογίζεις, καὶ λίθῳ φῶτα βρύεις.

[1] «Cod. ζωγραφοῦντας. Forsitan scribendum ζωγραφεῖς τὰς εἰκ.» Stark. Pro εἰκόνας leg. εἰκόνες.

[2] «Cod. σφίγγα.» Stark.

[3] Vox addenda lexicis.

[4] «Cod. τὸν κράτον.» Stark.

[5] Cod. λιχνίτην.

[6] Transpositio in codice qui habet: Φωτὸς βρύσις σύ· ἂν δ' οὐ φλογίζεις, Καὶ λίθῳ φ. βρ., μαρτ. τὸ πῦρ βάτου.

III. Τοῦ αὐτοῦ εἰς λίθον ἐν ᾧ ἐγγεγλυμμένος ὁ προφήτης Δανιήλ.

Τμηθέντα λίθον ὃν κατεῖδες ἐξ ὄρους,
Ἑσἰὼς τέθηπας Δανιὴλ νῦν ἐν λίθῳ.

IV. Τοῦ Τζέτζου εἰς τὸν Χρυσόστομον.[1]

Ἄφες στιχίζειν, εὐφυῶς γὰρ οὐκ ἔχεις,
Λογογραφῶν δ' ἄρδευε τὴν οἰκουμένην.

V. Εἰς[2] δακτύλιον, ἔχοντα σφραγῖδα ἐρῶντας δύο, καὶ ἀπὸ τῶν στέρνων αὐτῶν δύο δένδρα ἐκπεφυκότα καὶ εἰς ἕνα συγκορυφούμενα κόρυμβον[3].

Ἐκ τῶν ποθούντων δένδρα, τοῖς δένδροις γάμος,
Αὐτοῖς δὲ τοῖς ποθοῦσιν οὐδαμοῦ γάμος.

VI. Εἰς τὸ αὐτό.

Ἐκ καρδιῶν τὰ δένδρα καὶ ξυνεπλάκη[4]·
Ἔρως, ἔρως, σύναπτε καὶ τὰς καρδίας.

* VII. Εἰς τὸ αὐτό.

Ἐρᾷ τὰ δένδρα, καὶ φιλεῖ, καὶ μίγνυται·
Ἐρῶμεν[5], οὐ φιλοῦμεν, οὐ μιγνύμεθα.

VIII. Εἰς τὸ αὐτό.

Ἔρως, τὰ δένδρα καὶ φύεις καὶ μιγνύεις[6]·
Τὰ στέρνα δ' ἐξέῤῥηξας[7], οὐχὶ μιγνύεις.

[1] Cujus nomine inscripti fuerint versiculi quidam vulgares.

[2] Carm. V-IX in cod. Paris. 1630, fol. 180 r°, sub nomine Theodori Prodromi. Ex cod. Vat. 305 edidit Dutheil in *Notit. mss.* tom. VIII, p. 194, qui in titulo omittit καὶ εἰς ἕνα συγ. κ.

[3] Cod. Vat. καὶ θίβος συγκορυφούμενον ὤρυμβον.

[4] Duth. συνεπλάκη.

[5] ζῶμεν pro ἐρῶμεν Apograph. Matrangæ.

[6] Apogr. Matr. καὶ μιγνύεις καὶ φύεις.

[7] Dutheil ἐξέρηξας.

IX. Εἰς τὸ αὐτό.

Εἰς δένδρον ἓν τὰ δένδρα συμπεφυκότα,
Δοίητε[1] καρπὸν τῶν ἐρώντων, τὸν γάμον.

* X. Τοῦ αὐτοῦ.

Ἂν ἡ Θεοῦ χεὶρ οἶδε καὶ τύπους γράφειν,
Ἡ πρὶν βροτοὺς γράψασα πλαστικοῖς νόμοις.

* XI. Τοῦ αὐτοῦ εἰς τὸν αὐτόν[2].

Τί τοῦτο, λωτὲ καὶ ξενόβλυστε[3] δρόσε,
Καὶ γλεῦκος ἡδὺ καὶ θεόῤῥυτον[4] μέλι,
Τὰ ῥεῖθρα[5] τῆς σῆς γνωστικῆς ἐπομβρίας[6],
Καὶ τοὺς ἀγωγοὺς τῆς βρυούσης καρδίας,
Καὶ τοὺς ποταμοὺς τῆς σοφῆς εὐγλωττίας[7]
Εἴργεις πρὸς ἡμᾶς ἐκρυῆναι μετρίως,
Οὓς τοπρὶν ἐδρόσιζες ἐξ εὐσπλαγχνίας[8],
Ὡς ἂν ὁ καρπὸς[9] ἐκτραφῇ τῶν ἐλπίδων,
Καὶ μὴ πιεσθῇ καὶ φρυγῇ πρὸ τῆς τρύγης;
Καὶ πᾶς[10] ἐφικτὸν ἐξ ἀνίκμου καρδίας,

[1] Apogr. Matrang. δοίη τε καρπὸν τὸν ἐρ. Mox pro Ἂν leg. Ἦν.

[2] Id est εἰς τὸν βασιλέα.

[3] Vox addenda lexicis. Id. *De plant.* 211 : Καὶ δημιουργεῖς τὸ ξενόβλυτον πόμα. Cod. Paris. ξενόβλυστον ex correctione.

[4] Conf. cod. Escur. CLXXIII, 16.

[5] Cod. Paris. XLII, 3.

[6] Infra XXV, 4 : Καὶ ῥεῖθρον ἡδὺ μυστικῆς ἐπομβρίας. Conf. cod. Parisin. CCXXVIII, 6. Id. *In Cantacuz.* 500 : Ἀντλούμενος δὲ πάλιν ἐκχεῖται ῥύδην Καὶ γίνεται ῥοῦς δαψιλοὺς ἐπομβρίας. Append. VI, 11 : Καὶ ῥεῖθρα καινὰ μυστικῆς ἐπομβρίας.

[7] Cod. Flor. LXXV, 12 : Τοῖς ἐμφύτοις κρούμασι τῆς εὐγλωττίας. Ibid. XCV, 150 : Εὐγλωττίας βρόχοις. Theodoret. *Græc. Affect.* p. 22 ed. Gaisf.

[8] Conf. cod. Escur. CLVI, 22.

[9] In monachum leprosum, 12 : Ὡς ἂν ὁ καρπὸς ἐκφυῇ τῆς ἐλπίδος. Cod. Paris. CCXXXIX, 7 : Ὁ καρπὸς φρυγεὶς τῶν ἐλπίδων.

[10] Leg. καὶ πῶς.

Ὦ νοῦ γεωργὲ κοσμικῆς κραταρχίας,
Γονὰς προελθεῖν εὐφυοῦς λειτουργίας;
Καὶ μὴν ὁ τὴν γῆν ἐκ νεφῶν διαβρέχων,
Καὶ δημιουργῶν ἀσΊραπὰς ὀξυδρόμους,
Καὶ πνεῦμα βροντῆς ὀργανῶν κεκλασμένον,
Καὶ φῶς κρεμασΊὸν καὶ πυρὰν ὑπερχέων,
Κοινῇ χορηγεῖ τὰς τροφὰς τοῖς ἐμψύχοις,
Πρὸς τοὺς πονηροὺς οὐκ ἀνείργων τὴν χάριν,
Ἐνὸν κατ' αὐτῶν ἐκραγῆναι πῦρ ξένον,
Ὃ δὴ σκαλευθὲν τῇ πυράγρᾳ[1] τῆς δίκης
* Ἄφυκτος ὀργῆς ἀνθρακεὺς ἐπιβρέχει·
Πλὴν εἰ μὲν οὐδὲν ἐμποδὼν πρόσεσΊί τι,
Τὸν ὄμβρον[2] ἡμῖν τῆς χρυσῆς γλώτΊης δίδου.
Τὸ γὰρ ἐφ' ἡμᾶς ἱλαρὸν τοῦ σοῦ κράτους
Ὁρᾷ Σολομῶν ὡς ἐπὶ χόρτον δρόσον[3].
Εἰ δ' οὖν, τὸν αὐχμὸν ἱκανῶς ἔχειν κρίνας
(Τῆς γὰρ σιωπῆς πυρπολεῖς με τῷ χρόνῳ),
Τὰς ἑσπερινὰς, βασιλεῦ, δὸς ἰκμάδας,
Ὡς Νεῖλος[4] ἐκ γῆς εἰσρυεὶς ΑἰγυπΊίας·
Μήπως ὁ λιμὸς τῆς τροφῆς τοῦ σαρκίου,
Βαρὺς[5] ἐπελθὼν τῷ λιμῷ[6] τῶν ἐλπίδων,
Ἡμᾶς θανατᾶν ἰσχυρῶς ἀναγκάσῃ·
Τὴν γὰρ ἐνακμάζουσαν[7] ἡμῖν αἰθρίαν
Γλωττῶν πονηρῶν συσκιάζεσθαι[8] γνόφῳ

[1] Conf. cod. Paris. LVI, 8.

[2] Conf. cod. Paris. VI, 6.

[3] Alludit ad Proverb. XIX, 12 : Ὥσπερ δρόσος ἐπὶ χόρτῳ, οὕτως τὸ ἱλαρὸν αὐτοῦ.

[4] Conf. cod. Paris. CCXVIII, 29.

[5] Apogr. βρύς.

[6] Cod. Paris. CCXXV, 3.

[7] *In Cantacuz.* 714 : Ἥλιε γέρων, ἀλλ' ἐνακμάζων πάλιν.

[8] *De plant.* 308 : Καὶ συσκιασθῇ τῆς ῥοῆς ἡ λευκότης. Hic versus deerat in editione Wernsdorfiana. Cf. *De animal.* 1759.

Πῶς ἂν ἔτι λέγοι τις ἐνδίκως ἔχειν,
Ὦ φῶς ἱλαρὸν καὶ τρυφὴ τῶν Αὐσόνων;

XII. Τοῦ αὐτοῦ εἰς τὸν αὐτόν.

Ἔζων ἐγὼ πρὶν εἰς τελευτῆς ἡμέραν·
Νῦν ζῶ τελευτῶν εἰς τρεφούσας ἐλπίδας.
Ἀλλ' εἰ μὲν οὐδεὶς ἐγκαλεῖ πταίσαντί μοι,
* Τίς ἡ κατεσθίουσα καὶ τρύχουσά με
Καὶ τὴν ψυχὴν πιμπρῶσα πυρφόρος νόσος;
Εἰ δὲ κρίνοις αὖθίς με τῶν ὑπευθύνων,
Αὐτοκράτορ μέγιστε, μὴ φείδου πλέον·
Εἰκὸς γὰρ εἰς φῶς ἐκραγῆναι τὴν δίκην,
Ὡς ἂν τὸ κακὸν ἀγνοούμενον τέως
Ἀνακαλυφθῇ τῷ θριάμβῳ τοῦ χρόνου,
Καὶ μηδέ τις γένοιτο τῶν ἄλλων βλάβη,
Παρὸν κατασχεῖν τὴν νομὴν ἀκινδύνως·
Μὴ γὰρ τὸ φαιδρὸν τῶν κατ' ὄψιν ἀμφίων
Ἀεὶ δυνατὸν συσκιάζειν τοὺς πόνους;

* XIII. Τοῦ αὐτοῦ.

Τῷ φιλτάτῳ μοι τῷ παρακοιμωμένῳ
Φιλῆς Μανουὴλ ἐνδεὴς κριθῶν τάδε·
Ἑρμῆ στρατηγέ, δεξιῶν ἔργων φύσις,
Ἵππος παρελθὼν εἰς τὸν ἔμπροσθεν χρόνον
Ὅσους καλοῦσι καὶ δρομοὺς[1] καὶ γεννάδας,
Ὥσπερ χελιδὼν ἐκ ῥοπῆς ὑποπτέρου,
Κριθῶν στερηθεὶς ἐκβιάζεται κλάειν·
Δοκεῖ γὰρ ὀκλὰξ τῶν ποδῶν κινουμένων
Τῷ καταμικρὸν ἐκλυθῆναι τὸν τόμον[2],

[1] Apogr. δρόμος. — [2] Fort. τὸν τόνον.

Καρηβαριᾶν[1] καὶ προβάλλειν τὰς τρίχας,
Ὥσπερ βέλη πλήττοντα μικροῦ τοὺς πέλας·
Ὃς προβλέπων χειμῶνα δακρύει τάχα,
Ποιεῖ δὲ συχνὰς ἐν βραχεῖ τὰς ἐκκρίσεις·
Ὑγροὺς δὲ χυμοὺς ἐκ λιμοῦ παραπτύει[2],
Τὰ νεῦρα χαλῶν τῶν σκελῶν πρὸς τὰς βάσεις.
* Εἶτα κλονεῖ τὸ σῶμα καλάμου τρόπον,
Καὶ βουλιμιᾷ τὸ σφριγᾶν ἐκ τοῦ χρόνου·
Καὶ τὸν θεραπεύοντα δάκνει πολλάκις,
Ἀντὶ κριθῶν τὰς σάρκας ἁρπάζειν θέλων·
Τὴν γὰρ ἀνάγκην οὐ στέγει τῆς φύσεως.
Φίλιππε, φιλόστοργε, τὸ κτῆνος τρέφε
Κριθὰς παρασχὼν τὰς πάλαι ζητουμένας·
Καὶ παραμυθοῦ[3] πνευστιῶντα τὸν φίλον
Ἐκ τῶν περιττῶν τῆς ψυχῆς τυρβασμάτων[4].

XIV. Τοῦ αὐτοῦ μεταφραστικοὶ εἰς τὸν περὶ λιμοῦ[5] λόγον τοῦ μεγάλου Βασιλείου.

Ὁ λιμὸς οἰκτρόν ἐστιν ἐν ζώοις πάθος·
Λιμὸς, κορωνὶς[6] τῶν κατ' ἀνθρώπους πόνων,
Πάντων θανάτων δυσφορώτερον τέλος.
Τῶν μὲν γὰρ ἄλλων εἰσφθαρέντων κινδύνων,
Ἢ ξίφος ἀκμὴν εὖ τεθηγμένην φέρον
Ἤνεγκέ τινι τὴν τελευτὴν ὀξέως·

[1] Apogr. καριβαριᾶν.

[2] Cod. Paris. XIII, 39.

[3] Apogr. παραμιθοῦ.

[4] Conf. cod. Escur. CCXIII, 158.

[5] Est homiliæ dictæ in divites avaros Ἐν λιμῷ καὶ αὐχμῷ locus, tom. II, p. 69, C, D, E ed. Garner.

[6] *Philosophumen.* p. 311 ed. nostræ: Ὡσεὶ κορωνίδα τῶν βίβλων. *De S. Demetrio*, ap. Boll. Oct. t. IV, p. 105: Ἡ τῆς ὑπερηφανείας, ἀγαπητοὶ, δυσίατος σηπεδὼν, ἡ κορυφὴ καὶ κορωνὶς τῆς κακίας. Conf. cod. Par. 364, fol. 5 r°: Κορωνὶς ἀρετῶν.

Ἢ πυρὸς ὁρμὴ προσβαλοῦσα συντόνως
Τὸ ζῆν ἀποσβέννυσιν ἐν βραχεῖ χρόνῳ.
Ἢ θὴρ σπαράξας τῶν μελῶν τὰ καίρια
Τοῖς τμητικοῖς ὀδοῦσι τῆς ἀπλησίας
Τὸν τῆς ὀδύνης ἐν ῥιπῇ τέμνει χρόνον,
Ὡς ἂν ἔχῃ[1] τι μέτρον ἡ τιμωρία.
Λιμὸς δὲ τούτοις ὑπεναντίως[2] ἔχει.
Καὶ γὰρ τὸ κακὸν ἀκριβῶς ἀργὸν φέρει,
Δριμὺν δὲ ποιεῖ τῇ παρολκῇ τὸν πόνον.
Ἔχει δὲ τὴν κάκωσιν ἐγκαθημένην
Καὶ παραφωλεύουσαν[3] ἐν τοῖς ἐγκάτοις.
Ὁ θάνατος δὲ τοῦ λιμοῦ προηγμένου
Πάρεστιν ἀεὶ καὶ βραδὺς αὖθις μένει.
Τὴν γὰρ φυσικὴν ἐκδαπανῶν ἰκμάδα
Δεινῇ τὸ θερμὸν ἐκτροπῇ καταψύχει.
Ὄγκος δὲ σύμπας ἠρέμα συστέλλεται·
Καὶ καταμικρὸν ἡ δύναμις οἴχεται·
Λεπτύνεται δὲ συμπεσὸν τὸ σαρκίον
Ἀράχνιον καθάπερ ἐν τοῖς ὀστέοις.
Χροῦς ἄνθος ὃ πρὶν εἶχεν ἀποβάλλεται·
Τὸ γὰρ ἐρυθρὸν ἐκτακὲν διαῤῥέει·
Τὸ λευκὸν οὐκ ἔνεστιν, ἀλλ' ὑπεκρέει[4]·
Ἀμείβεται δὲ μᾶλλον εἰς τοὐναντίον,
Ἐν ἰσχνότητι κειμένης τῆς ὄψεως.
Ὁ χρὼς περιττὸς, ὠχριᾷ δὲ πρὸς μέλαν,
Ὃ τῇ φύσει κίρνησιν ἡ καχεξία.
Ἡ δὲ ξυνωρὶς τῶν βλεπόντων ὀργάνων,
Ἐνασθενοῦσα τοῖς ἐλύτροις τῶν πόρων,

[1] Apogr. ἔχει.
[2] Conf. cod. Flor. XXII, 76.
[3] Conf. cod. Paris. CCIII, 78.
[4] Cf. infra XXV, 37.

Ἀκροδρύοις[1] ἔοικε κατεψυγμένοις[2].
Φωνὴ δὲ λεπτὴ καὶ παραλελυμένη,
Γαστὴρ κενὴ δύσμορφος[3] ἐκτεταγμένη[4],
Ὄγκου τε παντὸς εὐπρεποῦς στερουμένη,
Καὶ τοῖς περὶ τὰ νῶτα προσπεπλασμένη·
Ἡ γὰρ φυσικὴ παρὰ τοῖς σπλάγχνοις τάσις
* Ἐκ τῆς ἀνάγκης τοῦ λιμοῦ συστέλλεται·
Γόνατα λεπτὰ, καὶ στέγειν οὐ δύναται·
Καὶ τήκεται μὲν, ἕλκεται δὲ πρὸς βίαν.
Οὐκοῦν τίς ἂν δύναιτο ῥαδίως φέρειν
Τὸν ἐκ λιμοῦ κίνδυνον, ὦ τρυφὴ λόγων;

XV. Τοῦ αὐτοῦ.

Τὸ ζῆν με καὶ πνεῖν καὶ λαλεῖν καὶ συγγράφειν
Καὶ πάντα ποιεῖν τῇ κατ' αἴσθησιν κρίσει
Σὴ κτῆσίς ἐστιν ἐκ Θεοῦ παρηγμένη·
Πῶς οὖν με τὴν σὴν, βασιλεῦ, κτῆσιν λύσει
Λιμὸς παρελθὼν ἐκ φορᾶς ἐναντίας;

* XVI. Τοῦ αὐτοῦ.

Νῦν ἡ τρύγη παρῆλθε τῆς παγκαρπίας,
Καὶ πήγνυται[5] μὲν τῷ κρυμῷ τὰ σαρκία,
Συστέλλεται δὲ τῶν φλεβῶν ἡ θερμότης·
Τροφῆς δὲ συχνῆς ἡ φύσις ἐφίεται,
Καὶ τέμνεται γῆ, καὶ σκεδάννυται σπόρος,
Καὶ σπένδεται βοῦς ταῖς τομαῖς τῶν αὐλάκων·
Ἀνίσταται δὲ νεκρικῶς[6] τεθαμμένος

[1] Apogr. ἀκροδρύεις.
[2] Apogr. καταψυγμένοις.
[3] Conf. cod. Paris. xxviii, 10.
[4] Leg. ἐκτετηγμένη.
[5] Apogr. πήγνεται.
[6] Conf. cod. Escur. xxvi, 41 18.

Ὁ κόκκος ὑγρῷ σπαργανούμενος τάφῳ.
Καὶ σαίνεται μὲν ὁ σπορεὺς ταῖς ἐλπίσιν[1],
Ὁρᾷ δὲ πυκνὰ πρὸς τὰ βάθρα τῆς χλόης,
* Καὶ θέλγεται μὲν τῇ χλιδῇ τῶν σπερμάτων·
Αὐτὸν δὲ καλεῖ τῆς φυῆς τελεσφόρον
Τὸν δημιουργὸν τῆς μονῆς τῶν κτισμάτων.
Ἀλλ', ὦ βασιλεῦ καὶ τροφεῦ τῶν Αὐσόνων,
Οὐ βοῦς παρ' ἡμῖν, οὐδὲ γῆ πυροτρόφος[2]·
Καὶ τήκεται μὲν ἐκ λιμοῦ τεθλιμμένη
Μήτηρ, περιττοὺς ἐστιᾶν εἰθισμένη·
Σπαράσσεται δὲ μυστικῶς τῷ φιλτάτῳ
Τὰ σπλάγχνα καὶ τὰ στέρνα συνεσταλμένα·
Παῖδες δὲ καὶ γυναῖκες ἐξ ἀσιτίας
Ὀργῶσιν εἰς γῆν ἐκδραμεῖν ἀλλοτρίαν.
Αὐτοκράτορ μέγιστε, τί πράξω φράσον·
Τοῦ γὰρ λιμοῦ τὴν πεῖραν οὐκέτι στέγω,
Καὶ ταῦτα πενθῶν τὸν τεκόντα τὴν κόρην,
Ἧς νυμφαγωγὸς, μαστροπὸς δέ μοι πλέον,
Ἡ πραγμάτων ἔρημος ἐλπὶς εὑρέθη.
Τὸν μὲν γὰρ αἰσχρῶς ἡ τελευτὴ λαμβάνει,
Κλέψασα τὴν αἴσθησιν ἐν περιστάσει·
Τὴν δὲ βρεφικῶς[3] ὀργανουμένην ἔτι
Πείθει παρ' ἀνδρὶ παρθενεύειν[4] ὁ χρόνος.

* XVII. Τοῦ αὐτοῦ εἰς τὸν βασιλέα ἀναφορά.

Ἄριστε πάσης τῆς ἑκάστου φύσεως[5],
Καὶ βασιλεῦ κράτιστε καὶ σοφώτατε,

[1] Eadem metaphora utitur supra cod. Paris. XIV, 318 : Καὶ σαίνεται μὲν ἐλπίδι θεώσεως.

[2] Apogr. ποροτρόφος.

[3] Apogr. βρεφηκῶς.

[4] Apogr. παρθανεύειν.

[5] Nota accentus locum in omnibus hujus carminis versibus.

Καὶ πρὸς τὰ συντείνοντα δεξιώτατε,
Φύσις νικῶσα τῶν λόγων τὴν δύναμιν,
Ἐκ τῆς μεγάλης τοῦ λιμοῦ κακώσεως
Καὶ τῆς ἀδήλου τῶν φρενῶν συσχύσεως[1],
Περιτραπείσης τῆς ἐμῆς δυνάμεως,
Μή μοι παρίδῃς τῶν σίχων τὴν ὕφεσιν.
Θεὸς τὰ πάντα σοὶ μόνῳ παρέσχετο,
Καὶ δεσπότην σε τοῦ γένους εἰργάσατο,
Καὶ τοῖς ὑπὲρ νοῦν καὶ λόγον χαρίσμασιν
Ὡς οἶδεν αὐτὸς ἐκ βρέφους ἐδόξασε,
Καὶ πᾶσαν ἡμῶν τὴν φύσιν ἐσμίκρυνε
Πρὸς τὴν κρατίσῃν τῶν φρενῶν σου δύναμιν,
Ὡς μηδὲν εἶναι πρὸς σὲ καὶ τοὺς πώποτε
Τῆς γῆς βασιλεῖς· τί γὰρ ἄλλο φθέγξομαι,
Τῶν σῶν ἀγαθῶν ὡς ἀληθῶς ἄξιον;
Σὺ δ' ὢν μετὰ σώματος ἄλλος ἄγγελος,
Σαυτὸν ταπεινοῖς Χρισὸν ἐκμιμούμενος,
Ὃς ὑπὲρ ἡμῶν τίνος οὐκ ἠνέσχετο;
* Κἂν σαυρὸν εἴποις, κἂν πάθη, κἂν θάνατον,
Ἃ καὶ σὺ πάσχεις μυσικῶς ἑκάσοτε·
Τὴν σὴν γὰρ οἶδεν ἡ κτίσις προαίρεσιν.
Εἰ γοῦν ἅπαντας ἐκνικᾷς παντάπασι,
Κἀνταῦθα νίκα τὴν ἐμὴν περίσασιν·
Δεδοίκασι γὰρ καὶ τὰ φροντισήρια
Τακέντα λιμῷ τὸν Φιλῆν τὸν ἄθλιον,
Ἐφ' ἃ πρὸ παντὸς δυσυχῶς ἐπείγομαι,
Τὸν τῆς τραπέζης καιρὸν ἀκριβούμενος.
Καὶ πάντα λοιπὸν γίνεταί μοι δεύτερα
Πρὸς τὴν ἀνάγκην τῆς ἐνύλου φύσεως.

[1] Leg. συγχύσεως.

Τροφῆς δ' ἀφορμὰς μυρίας ἐπίσλασαι,
Καὶ δυνατόν σοι δόντι μηδὲν οἴκοθεν
Τρέφειν τὸν οἰκέτην με δαψιλέσλατα·
Τὸν γρίφον οἶδας τοῦ λόγου καὶ[1] δύσκολον.
Ποῦ γὰρ θεμιτὸν οἰκέτην εὐνούσλατον,
Ὡς οἶδε Χρισλὸς ὁ βλέπων τὰ κρύφια,
Λιμῷ φθαρῆναι καὶ λύπῃ καὶ δάκρυσι;
Μέχρι δὲ τίνος ἐκ λόγων ὀχλήσομεν;
Οὐ γὰρ τὸ σιγᾶν ἀσφαλὲς τῷ πράγματι·
Λύκος δὲ πάντως δυσλυχῶς ὠρύεται·
Ὄνος δὲ πεινῶν ἀσχέτως ὠγκήσατο.
Δοῦλος σὸς ὢν εἴρηκα ταῦτα σήμερον,
Τὸν ἐκ λιμοῦ κίνδυνον ὑφορώμενος.

XVIII. Εἰς λείψανον ἀπὸ τῆς χειρὸς τοῦ ἁγίου Νικολάου.

Τῆς σῆς με χειρὸς καὶ τὸ γυμνὸν ὀσλέον
Τῶν πλουτοποιῶν ἀξιοῖ τερασλίων·
Τοῦ γὰρ πάχους ῥεύσαντος ἡ χάρις μένει
Πηγὴ μύρων, πρόεδρε Μυρέων μάκαρ.

XIX. Εἰς δευτέραν παρουσίαν μὴ ἔχουσαν ἐκεῖσε πόσως κόλασιν.

Ἅπασαν ἁπλῶς πεπραχὼς ἁμαρτίαν,
Ὑπερμάχους ἔγραψα συχνοὺς ἐνθάδε,
Τοὺς ἀρετῆς πᾶν εἶδος ἐργασαμένους.
Πτοούμενος γὰρ τὴν τελευταίαν κρίσιν
Θεὸν δικασλὴν καὶ πρὸ τοῦ τέλους ἔχω·
Καὶ τῆς Ἐδὲμ τὸ κάλλος ἐν τύπῳ βλέπω.
Τὸ γὰρ συνειδὸς ἐντυποῖ μοι[2] τὰς δίκας.
Φραγμὸν δὲ συνθεὶς ἐκ χρυσαργύρου πέριξ

[1] Fort. κού pro καί. Apogr. τοῦ λόλου. — [2] Apogr. ἐντυποῖμι.

Καὶ τῶν ἑορτῶν ὀργανώσας τὰς βάσεις,
Αἰτῶ λαβεῖν τὸν κόπον[1] ὡς τρυφῆς τόπον·
Τὸν γὰρ δικαστὴν εὐμενῆ μοι δεικνύεις,
Κοινὴ βασιλὶς εὑρεθεῖσα παρθένε·
Εἰ δ' οὐκ ἔχει θόρυβον ἡ δεῦρο κρίσις
Οὐ θαῦμα· καὶ γὰρ ὁ κριτὴς θεὸς μέγας,
Καὶ χρὴ σιωπᾶν ἐξ ἀνάγκης τὰ σΊίφη.

XX. Εἰς εἰκόνα τῆς ὑπεραγίας θεοτόκου.

Ἔχω σε τὴν τεκοῦσαν ἀῤῥήτως κόρην,
Ἔχω σε τὴν ἐλπίδα τῆς σωτηρίας.
Οὐδὲν πάθος δέδοικα λοιπὸν ἐν βίῳ·
Τὸ φάρμακον γὰρ εὐτυχῶ πρὸ τῶν πόνων.

XXI. Εἰς τὴν σταύρωσιν.

Ζωῆς χορηγὸς καὶ πνοῆς σὺ δεσπότης·
Ἀλλ' οὐκ ἀναπνεῖς, μὴ κλονήσῃς τὴν κτίσιν.
Ἀλλὰ σιωπᾷς, μὴ γραφῆς λύσῃς φύσιν·
Ὥστε πνέων ζῇς· εἰ δὲ σιγᾷς, οὐ ξένον.

XXI. A.

Ζωσΐὴρ θεοῦ σύναρσιν ἀῤῥήτως φέρων
Ποιεῖ κατ' ἐχθρῶν εὐσΐαλῆ τὸν ὁπλίτην.
Οὕτως ἐγὼ πέποιθα τὴν ζώνην φέρων·
Καὶ γὰρ δι' αὐτῆς εὐδρομῶ πρὸς τὰς μάχας.

XXII. Εἰς κινσΐέρναν ἔχουσαν ὕδωρ ψυχρὸν χεόμενον διὰ σΐόματος λέοντος[2].

* Θέρους ὁ καιρὸς, ἀλλὰ χειμῶνα βλέπω·
Τὸ γὰρ ὕδωρ κρύσΐαλλος, ἐῤῥύη δ' ὅμως
Τοῦ δεῦρο θηρὸς ἐκλυθεὶς τοῖς ἐγκάτοις.

[1] Fort. κῆπον. — [2] Cod. Flor. 158 v°.

Αὐτὸς δὲ καρκῶν[1] εὐμενὴς μὲν εὑρέθη·
Πρὸς γὰρ τὸν ἐγκέφαλον ἡ ψύξις τρέχει·
Πλὴν εἴπερ οὐκ ἦν τῇ σΊοᾷ καθειργμένος,
Ἔδειξεν ἂν ὡς ἔσΊι καὶ τοῖς ἀψύχοις
Ἔμπνευσις ἢ κίνησις ἐξ εὐτεχνίας.
Ὢ πῶς τὸ θερμὸν εἰς κρυμὸν μετετράπη!
Καὶ πῶς λέων ἤνοιξεν εὖ ποιοῦν σΊόμα!
Χαλκοῦς γὰρ οὐδείς ἐσΊιν ἐνταῦθα δράκων,
Μὴ καὶ πρὸς ἰὸν ἐξαμείβοι τὸ κρύος.

* XXIII. Εἰς Σολομῶντα ἐζωγραφημένον.

Ζῶσαν, Σολομῶν, τὴν γραφήν σου δεικνύεις,
Καινόν τι ποιῶν ὡς σοφὸς πάντων πλέον.
Πλὴν ἡ σιωπὴ τὴν πνοὴν ἔκρυψέ μοι·
Καὶ γὰρ Θεοῦ τὴν χεῖρα θαυμάζεις βλέπων.
Τῆς τοῦ Θεοῦ σοφίας ἡ ξένη χύσις
Ἄφωνον ἰχθὺν ὥσπερ ἐκτήσατό σε·
Ζῶν γὰρ σιωπᾷς, καὶ πνοῆς ἄνευ πνέεις,
Ὦ νοῦ Σολομῶν, κἂν προῆλθες ἐξ ὕλης.
Ἰοὺ Σολομῶν εὐπρεπὴς κἂν τοῖς τύποις!
Φαιδρύνεται γὰρ καὶ δραμεῖν ἴσως θέλει,
Καὶ μειδιᾷ καθάπερ ἐκ θυμηδίας·
Ἀλλὰ σιωπᾷ τὴν Θεοῦ χεῖρα βλέπων.

XXIV. Εἰς τὸν Νικαίας Φραγγόπουλον[2].

Θεὸς μὲν οὐ πρὶν ὄντα παρήγαγέ σε,
Ὀσφὺς δὲ πατρὸς αὖθις ἐξήγαγέ σε,

[1] Fort. ναρκῶν.

[2] Cod. Mon. 77. Cod. Flor. 156 r°: Ἐπιτάφιοι εἰς τὸν μητροπολίτην Νικαίας. Unde augendus *Oriens christianus* in quo, sub n. XXXVI, metropolita Nicææ indicatur, sed sine nomine.

Νηδὺς δὲ μητρὸς εἰς τὸ φῶς ἤνεγκέ σε·
Πρὸς γὰρ τὸν ἐμπρόθεσμον ἠπείχθης χρόνον,
Καὶ τὸν τέως τέρποντα παρῆλθες γνόφον·
Τραφεὶς δὲ καλῶς ἐξ ὀποῦ καὶ σπαργάνων
Καὶ τῶν πονηρῶν ἐκφυγὼν τὴν διπλόην
Τῆς τοῦ Σαμουὴλ διπλοΐδος ἀντέχῃ,
Καὶ σκευοφύλαξ εὑρεθεὶς, πάτερ, μέγας
Ἐν τῇ καλῇ πατρίδι τῇ Βυζαντίδι
Νικαέων πρόεδρος ἑξῆς ἐκρίθης.
Μετὰ[1] δὲ τὸν πρέποντα δικαίῳ χρόνον
Μήτηρ μὲν ἡ γῆ πάλιν εἰς σὲ δευτέρα,
Κοίλη δὲ γαστὴρ ὁ φθορεὺς οὗτος τάφος,
Ἐν ᾧ καταθεὶς τὴν σπορὰν τῶν λειψάνων,
Ὡς οἶδεν αὐτὸς, ὁ σπορεὺς τῆς φύσεως
Κέκρικεν ἠρεμεῖν σε τῶν πόνων χάριν,
Ἕως ἐπιστὰς ὁ χρόνος τῶν ὠδίνων,
Τῆς ἐσχάτης σάλπιγγος ἠχούσης βίᾳ,
Πείσει προελθεῖν εἰς παλίμβιον τόκον,
Ὡς ἂν μεταστὰς εἰς Θεοῦ λειτουργίαν
Ἴδοις τὸ φῶς ἐκεῖνο τῆς ἀφθαρσίας,
Ἔνθα φθορᾶς ἄγευστον οἰκήσεις χλόην,
Ποιμὴν ἀληθὴς εὑρεθεὶς ἐκ τοῦ τρόπου.

XXV. Ἕτεροι τοῦ αὐτοῦ εἰς τὸ γενέσιον τοῦ Προδρόμου.

Ὦ πρόδρομον φῶς ἐξ ἀνίκμου λυχνίας
Τοῦ καινοποιοῦ τῶν ψυχῶν ἑωσφόρου·
Καὶ πῦρ σκαλευθὲν ἐξ ἀδήλων ἀνθράκων,
Καὶ ῥεῖθρον[2] ἡδὺ μυστικῆς ἐπομβρίας,
Ὠθεῖς γὰρ ἡμῖν τῶν παθῶν τὴν ἑσπέραν[3]

[1] Cod. Flor. κατά. — [2] Cf. supra XI, 3. — [3] Conf. cod. Paris. CLXXXIV, 8.

Καὶ δημιουργεῖς γνῶσιν καὶ φῶς ἡμέρας,
Φλέγεις δὲ πάσας τὰς ἀκάνθας[1] τῆς πλάνης·
Αὐχμοῦ δὲ πυκνοῦ συμφορῶν ζέσιν λύσας[2],
Τὴν ἐξ ἀτρεμῶν[3] ἀκριβῶς βλύζων δρόσον
Τῷ παραγωγεῖ τῆς γονῆς τῶν κτισμάτων.
Ἐχρῆν ἐπὶ γῆς προδραμεῖν τοῦ δεσπότου
* Κήρυκα λαμπρὸν, ἄγγελον τερασίων,
Καὶ μυσταγωγὸν καὶ προφήτην τῇ κτίσει·
Καὶ σάρκα λοιπὸν συνδραμεῖν σοι μετρίαν
Ἐκ τῶν φυσικῶν συμπαγεῖσαν ὀργάνων,
Ὡς ἂν μεταξὺ τοῦ χορὸς[4] τῶν πραγμάτων
Καὶ τῆς ἐν αὐτῷ κοσμικῆς πανσπερμίας
Τὴν δεσποτικὴν εὐλογῆς[5] παρουσίαν,
Ὡς ὑπὸ νεκρῷ τῇ δορᾷ σου τυμπάνῳ.
Τίς γὰρ ἀνάγκη τὴν κατ' ἄγγελον φύσιν,
Τὴν σάρκα, τὸν χοῦν, τὴν κατώροπον[6] κόνιν
Οὕτω μεγάλων ἀξιοῦσθαι πραγμάτων,
Ὡς καὶ θεοῦσθαι καὶ θεοῦ φύσιν βλέπειν,
Ὥσπερ κατόπτρῳ μυστικῷ τῷ σαρκίῳ;
Εἰ μή τις ἦν ἄδηλος ἀνθρώπων λόγος,
Τῷ δημιουργῷ συντεθεὶς ὑπὲρ λόγον.
Πιστεύεται δὲ τὸ ξένον τοῦ πράγματος
Τῷ τεκνοποιῷ τῶν καλῶν Ζαχαρίᾳ,
Καὶ τῇ κατ' αὐτὸν μακαριστῇ συζύγῳ.
Ἕως μὲν οὖν ἤκμαζεν αὐτὸς ὁ χρόνος,
Ὀρεκτιῶσι πρὸς τὸ θέλγον τὴν φύσιν·

[1] Conf. cod. Par. CCXLII, 15.

[2] Fort. λύεις.

[3] Corrige ἐξ Ἀερμών. Respectu ad Psalm. CXXXII, 3.

[4] Fort. τοῦ ῥοός.

[5] Apogr. εὐλογεῖς.

[6] De hac voce silent lexica. Malim κατάῤῥοπον.

* Ἄτεκνος ἦν ὁ γάμος, ἀλλ' ἴσως γάμος
Τὰς ἀντιτέκνους συμφορὰς παρεισάγων [1].
Οὐκ ἦν γὰρ εἰκὸς τὸν προφήτην τὸν μέγαν
Εὑρεῖν σε καρπὸν ἡδονῆς τῆς ἐν γάμῳ·
Ἐπεὶ δὲ παρῆν τῆς παρακμῆς [2] ὁ χρόνος,
Ὅταν τὸ θερμὸν ἀσθενοῦν ὑπεκρέῃ
Καὶ τοὺς ἀγωγοὺς τῆς σπορᾶς περιτρέπῃ,
Τοὺς δὲ πρὸ μικροῦ ζῶντας ἀμβλύνει τόνους
Ἡ πρεσβυτικὴ προσβαλοῦσα ψυχρότης,
Εὐθὺς ἀγαθὸς ὁ σπορεὺς παιδοτρόφος
Καὶ δημιουργεῖ σὺν Θεῷ σε τὸν σΊάχυν,
Ὡς ἐξ ἀρούρης τῆς καλῆς Ἐλισάβετ [3].
Καὶ ταῦτα κωφὸς εὑρεθεὶς ὁ πρεσβύτης,
Ὅταν ἀπισΊῶν [4] τὴν σιγὴν ἐκαρτέρει·
Τὸν ἄγγελον γὰρ τοῦ Θεοῦ σε τὸν μέγαν
ΕὐαγγελισΊὴς ἄγγελος προμηνύει,
Καθάπερ αὐτὸν Γαβριὴλ [5] τὸν δεσπότην,
Ὃν ἀπὸ γασΊρὸς προσκυνεῖς ἐγγάσΊριον.
Καὶ πήγνυται μὲν τοῖς γονεῦσιν ὁ σπόρος,
* Ἐντείνεται δὲ τῆς παρακμῆς ὁ χρόνος.
Καὶ σὺ παρευθὺς ἐνσπαρεὶς ὑπὲρ φύσιν
Ὠθεῖς τὰ πυκνὰ τῆς ἀθυμίας νέφη [6],
Τὸ φῶς τὸ κρυβὲν ἐν μυχοῖς ἐγγασΊρίοις·
Εἶτα προελθὼν εἰς τὸ φῶς τῆς ἡμέρας
Τὴν πατρικὴν κώφευσιν [7] ἀθρόον λύεις,

[1] Pisid. *Hexaem.* 355 : Μήτε τρέπεσθαι πᾶν γένος (cod. Par. 854 μήτ' ἐκτρέπεσθαι παγγενῶς), καὶ συγχύσεις ταῖς κοσμολέθροις ἐκτροπαῖς παρεισάγειν (cod. 854 ἐπεισάγειν).

[2] Apogr. παρ' ἀκμῆς.

[3] Matris S. Joannis Baptistæ.

[4] Apogr. εὐπισΊῶν.

[5] Apogr. Γαυριήλ.

[6] Conf. cod. Florent. ccxxxii, 4 et cxi, 5.

[7] Cf. cod. Paris. cxcvi, 34.

Καὶ τῆς σιωπῆς ἐξορίζεις τὴν λύπην,
Ὡς ἂν μένης γνώριμος ἀπὸ βαλβίδος[1],
Ὁ τοῖς ἀγαθοῖς ἐξελαύνων τοὺς πόνους.
Ποῦ γὰρ θεμιτὸν, ποῦ δὲ τῇ φύσει πρέπον
Θεοῦ σε φωνὴν εὑρεθέντα πρόδρομον
Μὴ τὴν σιωπὴν ἐξελεῖν τοῦ πρεσβύτου;
Τίς οὖν ἱκανὸς ἐν βροτοῖς λόγος, μάκαρ,
Συλλήψεως σῆς ἐκδιδάσκειν τὸν τρόπον,
Εἰ μὴ σὺ τοῖς ῥήμασι παράσχοις χάριν,
Λύσας τὸ σιγᾶν ἐκ φρενῶν ἀποκρότων;
Σὺ γὰρ σχεδὸν σύμπασαν ἐκνικᾷς φύσιν,
Ἂν τῶν βροτῶν λέγοι τις, ἂν τῶν ἀγγέλων,
Καὶ μαρτυρεῖ τὸ ῥῆμα τοῦ σοῦ δεσπότου
Τὸν εὐνοϊκὸν τῆς ἐμῆς γλώττης λόγον.
* Τῶν γὰρ καθ' ἡμᾶς γηγενῶν σὺ βελτίων,
Εἴ τις σε τυχὸν ἐν προφήταις συγκρίνοι·
Θαυμάζομεν γοῦν οὐ μόνον σου τὸν τόκον,
Ὡς ὑπὲρ ἡμᾶς ἐκ θεοῦ παρηγμένον,
Ἀλλά γε καὶ ξύμπαντα τὸν λοιπὸν βίον,
Ὃν ἔσχες ὡς ἄσαρκος ἀγγέλου φύσις,
Τὴν σάρκα νικῶν καὶ τὸ τῆς ὕλης πάχος
Τῇ πρὸς τὸ καλὸν εὐγενεῖ κατασλάσει.
Καὶ γὰρ τὸ λιτὸν εἰς τρυφῆς ἦγες κρίσιν,
Καὶ τοὺς ἐρήμους τῶν παθῶν ᾤκεις τόπους,
Καὶ τὰς μεταξὺ συμφορὰς ἐκαρτέρεις,
Θριξὶ σκεπασθεὶς ὀργίλου βοσκήματος,
Ὁ πᾶσαν ὀργὴν φυσικὴν κατασβέσας
Ἐκ τοῦ δροσισμοῦ τῆς τροφῆς τῶν ἀκρίδων.
Οὕτω σὺ καλὸς ἐκ τριχὸς[2] πρώτης ἔφυς[3]·

[1] Cf. cod. Flor. ccxv, 32. — [2] Cf. cod. Flor. LIX, 7. — [3] Apogr. ἴφυς.

Οὕτω σε Χρισῖὸς τῶν βροτῶν γένους χάριν
Ἔδειξε κρείτῖω Φυσικοῦ παντὸς νόμου.
Τίς γὰρ τοσούτων ἠξιώθη πραγμάτων,
Ὅσων [1] σὺ τοῖς ὕδασι Χρισῖὸν βαπῖίσας,
Τὴν τῆς καθαρότητος ἄφθονον χύσας;
* Ἢ τίς κορυφῆς δεσποτικῆς ἡμμένος
Κατεῖδεν ὡς σὺ τὴν χάριν τοῦ πνεύματος,
Ἄνωθεν αὐτὴν μαρτυροῦσαν τὸν Λόγον
Τῷ πατρὶ συνάναρχον ἀῤῥήτοις λόγοις;
Τίνος τὸ δένδρον, ὁ σκοπὸς τῆς ἀξίνης,
Ἡ τῆς ἀπειλῆς ἐκτομὴ καὶ τὸ πῖύον;
Ὦ τῶν γε καρπῶν τῶν ψυχῶν ἐπισῖάτα,
Πλὴν εἴ τι με χρὴ παρὰ σοῦ κέρδος φέρειν,
Τὸν βασιλικὸν σκύμνον εὐνοίας χάριν,
Τὸν Ἰωάννην τὸν συνώνυμον μόνον,
Τὸν δεσπότην μὲν, σὸν [2] δὲ πισῖὸν ἱκέτην,
Δίδου ψυχικὴν ἐκ Θεοῦ σωτηρίαν,
Κατευμαρίζων [3] πανταχῇ μοι τὸν βίον,
Ὦ λύχνε φωτὸς, εἰ παρὼν κρύπῖ [4]. . .
Τὸ δημιουργοῦν ἀκριβῶς τὸ συμφέρον.

* XXVI. Περὶ τῶν τοῦ χρόνου τρόπων [5].

Ὦ ζῶν ἐν ἡμῖν καὶ λαλῶν ὄντως Λόγε,
Καὶ δημιουργὲ καὶ βραβεῦ τῶν πραγμάτων,
Σὺ πάντα καιρὸν ἐξαμείβεις πανσόφως,
Χειμῶνα ποιεῖς καὶ γλυκὺ βρύεις ἔαρ,

[1] Codex ὅσων et supra ὅσον. Post v. 90 deest versus.

[2] Apogr. τὸν σὸν δὲ contra metrum.

[3] Jo. Tzetz. *Ep.* 88 : Πᾶσι γνωσῖοῖς προσεῖπον ὡς ἀπὸ σοῦ πάντα τὰ τῇδέ σοι κατηυμάρισῖαι ἄνευ μέντοι μόνης τῆς σιγιλλιακῆς ὑποθέσεως.

[4] Fort. εἰ παρὸν κρύπῖει σε φῶς.

[5] Leg. τροπῶν. Cod. Flor. 243 r°, sed anepigraphi.

Θέρος δὲ τάτλεις[1], καὶ ῥοὴν δένδροις δίδως,
Καὶ ταῖς παρακμαῖς εὐγενίζεις τὰς φύσεις
Σοφῇ τὰς ἀκμὰς συγχαλῶν ὑπεκσλάσει[2]·
Καὶ νῦν μὲν αἰθὴρ συσκιάζεται γνόφῳ,
Καὶ πήγνυται ῥοῦς εἰς κρυμοῦ γλίσχρον πάγον·
Ἡ γῆ δὲ γηρᾷ νιφετοῖς λευκοχρόοις,
Ποιεῖ δὲ ναρκᾶν ἡ χιὼν τοὺς ἐμψύχους·
Συσλέλλεται δὲ ζωτικὸς σύμπας τόνος,
Καὶ γίνεται κίνησις ἐξ ἐναντίων·
Καὶ πάλιν αἰθὴρ ἐξελαύνει τὸν γνόφον,
Καὶ δείκνυται φῶς ἐκ ζεούσης αἰθρίας·
Ποιεῖ δὲ τὸν ῥοῦν φυσικῶς ῥεῖν ἡ ζέσις,
Ἡ γῆ δὲ λεπλὴν ἀμφιέννυται σκέπην,
Καὶ πάλιν ἡ γραῦς τὰς γονὰς ἀναβρύει
Καὶ τεκνοποιεῖ τὴν σπορὰν τῶν ἐγκάτων.
Πάλιν θερινὴ πανταχῆ γῆς θερμότης,
Καὶ πῦρ ὑπὲρ γῆς ἐκ φλογὸς μεταρσίου·
Καὶ τήκεται μὲν ἡ χλοάζουσα δρόσος,
Ξηραίνεται δὲ τὸ σλολίζον τὴν πόαν,
Λευκαίνεται δὲ πρὸς παρακμὴν ὁ σλάχυς·
Καρπῶν δὲ συχνῶν συμπεραίνεται τρύγη,
Καὶ κείρεται μὲν ἀσθενήσας ὁ σλάχυς[3],
Συνάγεται δὲ πρὸς τροφὴν τοῖς ἐργάταις·
Πάλιν τὸ κάλλος τῶν φυτῶν ὑποῤῥέει,
Φθίνει[4] τὰ φύλλα, δυσπραγοῦσιν οἱ κλάδοι,
Κάμνει τὸ δένδρον εἰσβαλόντος τοῦ ψύχους·
Ὑπέρχεται γὰρ τοὺς μυχοὺς ἡ θερμότης,

[1] Codex Flor. θάτλεις et vers. seq. παρακμήν.

[2] Cod. Flor. ὑπεκσλάσεις.

[3] Versus 25 et 26 desunt in codice Florent.

[4] Cod. Vat. φθείνει.

Καὶ ῥιζοποιεῖ πρὸς τὰς ἔξωθεν βίας
Ὅλον τὸ βάθρον τοῦ φυτοῦ τῇ συντάσει [1],
Καὶ πάλιν ἐκ γῆς ὡς τὸ πῦρ ἀνατρέχει,
Καὶ ζῇ φυσικῶς καὶ δροσίζει τοὺς κλάδους,
Καὶ φύλλα ποιεῖ καὶ γλυκεῖς καρποὺς φύει,
Καὶ μειδιᾷ [2] τὸ δένδρον ἐξ εὐκοσμίας,
Ζῶν ἀπὸ νεκροῦ καὶ νεάζον ἀθρόον.
Ὁ ταῦτα ποιῶν καὶ σοφῶς αὖθις τρέπων,
Καὶ τὰς λύπας κίνησον εἰς θυμηδίαν.

XXVII. Εἰς εἰκόνα λιθίνην τοῦ μεγάλου Γεωργίου [3]

Τοῦ μάρτυρος τὸ σῶμα καρπὸς ἐκ λίθων
Τῷ δημιουργῷ τῆς σοφῆς παντουργίας·
Οὐκ ἦν γὰρ εἰκὸς τῆς γονῆς πάντων χάριν
Μὴ τεκνοποιεῖν τῷ Θεῷ καὶ τοὺς λίθους.

XXVIII. Εἰς τὸν τετραήμερον Λάζαρον [4].

Ἐνταῦθα Χριστὸς ἐξεγείρει τὸν φίλον·
Ὁ δ' οὐ κινεῖται· κἂν τις εἴποι τοῦ χάριν;
Ἐρεῖ πρὸς αὐτὸν ἡ γραφὴ [5] κἂν μὴ πνέῃ·
Χριστὸς σιωπᾷ· τίς με κινήσει λόγος;

XXIX. Εἰς κηρόχυτον εἰκόνα τοῦ ἀρχιστρατήγου [6].

Τὸ πλὴν ὕλης πῦρ, τὴν ἀεὶ ζῶσαν [7] φλόγα,
Τὸ δεύτερον φῶς ἐξ ὑγρᾶς ὕλης γράφειν [8],

[1] Cod. Flor. συνστάσει.

[2] *De animal.* 203.

[3] Tetrastichon anepigraphum. Lemma dedi ex cod. Flor. 99 v°.

[4] Cod. Flor. 27 v°. In cod. Vat. est anepigraphum.

[5] Cod. Flor. ἡ γραφική.

[6] *Catal. codd. Esc.* p. 41. Cod. Flor. 109 v. In cod. Vat. versus anepigraphi.

[7] Cod. Escur. ἂν ζῶσαν quod corrigebam ἀναζῶσαν.

[8] Cod. Escur. γράφει.

Ὁ δημιουργὸς τῆς γραφῆς, πῶς ἰσχύεις;
Καὶ ταῦτα κηρὸν ἀκριβῶς ὑπεγχέας,
Εἰς πῦρ δὲ κινῶν τῆς γραφίδος τὰς τρίχας,
Πῶς οὐδὲ ταύτας ἀδρανεῖς οὔσας φλέγεις;
Μὴ πῦρ ὅλον φῶς ἡ γραφὶς ἔγραψέ[1] σοι;
Καὶ πῶς ὁ Δαβὶδ πῦρ καλεῖ τοῦτο φλέγον;
Ναὶ, φησὶ[2], πῦρ μέν ἐστι πλὴν πάθη φλέγει,
Καὶ φῶς ἐναργὲς ταῖς ψυχαῖς τῶν ἐν βίῳ,
Καὶ πνεῦμα λεπτὸν μυστικῶς ἀναψύχον[3].

* XXX[4].

Κρυπτὸς γεωργὸς ἀνδρικῆς εὐκαρπίας
Εὔθηκτον[5] ὡς δρέπανον εὑρὼν τὴν σπάθην,
Ὀλεθροποιὸν ἀποτέτμηκε στάχυν·
Ὃν ὄμβρος[6] ἐξέθρεψε συχνῶν αἱμάτων
Εἰς γῆν[7] πονηρὰν ἐκ σπορᾶς ἀλλοτρίας.
Ὦ στάχυς! ὦ δρέπανον! ὦ καινὸν θέρος!
Οὐκοῦν, γεωργὲ χαρμονῆς παγκοσμίου,
Σύντριψον εἰς χνοῦν τῶν χερῶν εὖ τὸν στάχυν,
Μὴ κόκκος αὐτοῦ κατὰ γῆς λαθὼν πέσῃ,
Καὶ πάλιν ἡμῖν ἐκφυῇ κοσμοφόρος[8].

* XXXI.

Οὐκ ἦν ἐφικτὸν καὶ πνοὴν παρεγχέειν[9]
Καὶ πνευμόνων δύναμιν ἐν τύποις γράφειν.

[1] Cod. Vat. ἔγγραψε.

[2] Cod. Esc. καί φησι ..... φλέγον.

[3] Versus 10 et 11 desunt in codice Vatic.

[4] Versus anepigraphi.

[5] Cf. cod. Paris. LXI, 42.

[6] Conf. cod. Flor. XLIV, 18.

[7] Apogr. εἰς γῆς.

[8] Vox addenda lexicis. Adde et κοσμοφόρησις ex Theod. Stud. p. 373. Sed in Nostro leg. κοσμοφθόρος.

[9] Conf. cod. Flor. LXV, 44.

Εἰ τοῦτο γὰρ ἦν, εἶδες ἂν δεῦρο, ξένε,
Τέχνην γραφικὴν ἐν σκιαῖς κινουμένην.
Εἰ γνωστικός τις ἐστὶν ἐν πτηνοῖς λόγος,
Μόνοις παρ' αὐτοῖς ἀκριβῶς ἐγνωσμένος,
Ἔδειξε σαφῶς ὁ γραφεὺς ἐκ τῶν τύπων
Ὁλκὴν[1] πνοῆς ἄδηλον αὐτοῖς ἐγχέας.
Οὐχ ὡς ἀμοιρῶν καὶ πνοῆς ὁ τεχνίτης
Πήγνυσι δεῦρο τὰς γραφὰς τὰς ἐμψύχους,
Ἀλλ' ἵνα μαθεῖν ἀκριβῶς ἐξισχύσῃς
Ὅπως γραφὴ ζῇ καὶ πνοῆς δίχα, ξένε.
Ἢ γράφε καὶ νοῦν καὶ πνοὴν ἐν τοῖς τύποις,
Ὡς ἂν ἔχοι κίνησιν ἡ τέχνη ξένην,
* Ἢ μηδὲ τούτους εὐφυῶς οὕτω γράφε,
Μήπως νομισθῇς καὶ φθορεὺς ὁ ζωγράφος.
Ἴσως γραφικῆς τὸ σκιὰν μόνον γράφειν·
Τὸ δὲ πνοῆς δύναμιν[2] ἐγχεῖν τοῖς τύποις,
Καὶ δημιουργεῖν ζωτικὰς τὰς ἐμφάσεις,
Ἀποκρύφου χάριτος, οὐ τέχνης μόνης.
Δεῖ δὴ παρεγχεῖν[3] εἰς τὰ κοῖλα τῶν τύπων
Ὁλκὴν[4] πνοῆς ἄδηλον ὡς ἐν ἐμψύχοις,
Ὡς ἂν τὸ καινὸν ἡ γραφὴ πλέον φέρῃ,
Καὶ ζῶσα καὶ πνέουσα καὶ κινουμένη.

* XXXII. Εἰς τὸν οὐρανόν.

Ὦ κύκλε ῥευστὲ, κἂν δοκῇς[5] πεπηγμένος
Ἐν τῇ μεταξὺ τῶν μερῶν ἀποστάσει,
Τὰ νεῦρα χαλῶν τῆς φορᾶς τῶν ὀμμάτων!

[1] Conf. infra v. 22, ubi πνευμόνων δύναμιν.

[2] Conf. supra v. 2.

[3] Conf. cod. Flor. LXV, 44.

[4] Conf. supra v. 8.

[5] Apogr. δοκεῖς.

Ὦ δίσκε τῆς γῆς πανδοχεῦ[1] τῶν ἐν μέσῳ,
Κἂν ὡς ἀρυθμίζων σε κινῇ τεχνίτης,
Οὔτε σ7ενωθεὶς τῇ σ7υφῇ τῶν σφιγμάτων,
Τὸ κέντρον ὠθεῖς καὶ τὸν ἄξονα[2] σ7ρέφεις,
Οὔτε πλατυνθεὶς τῇ πρὸς ὄγκον[3] ἐκτάσει
Τὸν δημιουργὸν καὶ τὸ πᾶν περιγράφεις.
Ὦ κόσμε τοῦ σύμπαντος εὐφερωμένε[4],
Κἂν ὑπὸ τὴν γῆν τὸν κύλινδρόν σου σ7ρέφων
Στοᾶς πρὸς ἡμᾶς εἰκονίζεις[5] ἀψίδα!
Ὦ μήτρα κοινὴ τῆς σπορᾶς τῶν κτισμάτων,
Καθ' ἣν ὁ κοινὸς εὐτοκεῖ φυτοσπόρος!
Ὦ σῶμα τεχθὲν ἐξ ἀμήτρων ὀργάνων,
Ὡς οἶδεν αὐτὸς ὁ σπορεὺς τῶν πραγμάτων!
Ὦ κάλλος ἡδὺ τῆς πολυχρόου σ7έγης,
Ἣν ὁ σ7ολισ7ὴς οἰκοδεσπότης γράφει!

XXXIII. Εἰς τὸν ἥλιον.

Ὦ κύκλε φαιδρὲ τοῦ πανόπ7ου φωσφόρου!
Δεῖ γὰρ μετ' αὐτὸν προσλαλεῖν σοι τὸν πόλον,
Οὗ τοῖς ἑλιγμοῖς[6] κυκλικῶς ἀντιτρέχων
Φαίνῃ πρὸς ὕψος, καὶ καλύπ7ῃ πρὸς βάθος.
Ὦ τεκνοποιὲ καὶ τροφεῦ τῆς ἡμέρας,
Καὶ δημιουργὲ καὶ βραβεῦ τῆς ἑσπέρας!
Ὦ πῦρ ἀναφθὲν πρὸς τὸ θάλπειν τὴν κτίσιν
Καὶ τὰς περιτ7ὰς ἐκπιέζειν ἰκμάδας,
Μήπως ὁ κόσμος εὑρεθῇ πεφλεγμένος!
Ὦ φῶς κρεμασ7ὸν[7] ἐξ ἀκαύσ7ου λυχνίας,

[1] Conf. cod. Flor. XLIII, 2. Vers. seq. de voce ἀρυθμίζων dubito.
[2] Apogr. ἄξωνα.
[3] Apogr. ὄγγον.
[4] Leg. εὖ φερώνυμε.
[5] Apogr. εἰ μονίζεις.
[6] Apogr. ἐλεγμοῖς.
[7] Apogr. κρεμμασ7όν.

Καὶ φλὸξ ὑπὲρ γῆν ἀξύλως ἀνημμένη!
Ὦ βλέμμα γοργὸν, ὃ προκύπτον ὑψόθεν
Ὅλην θεωρεῖς ἐν κατόπτρῳ τὴν κτίσιν!
* Τρίχας γὰρ αὐχεῖς μυστικῶς τὰς ἀκτίνας,
Αἷς καθάπερ βλέφαρον ἐκπεφραγμένον
Τὴν ὀπτικὴν δύναμιν ἡβῶσαν φέρεις,
Κἂν τοῖς ὁρῶσι πρὸς τὸ σὸν φῶς ἐκ νόσου[1]
Δοκῇ πιναρὸν ἀντιπίπτον ταῖς κόραις[2].

XXXIV. Εἰς τὴν σελήνην.

Ὦ φῶς γνοφῶδες πρὸς τὸ φῶς τῆς ἡμέρας,
Καὶ πῦρ δροσῶδες πρὸς τὸ πῦρ τοῦ φωσφόρου!
Δεῖ γὰρ μεθιστᾶν καὶ καθέλκειν τὸν λόγον
Πρὸς τὴν σελήνην τακτικῶς ἠπειγμένον.
Ὦ δίφρε νωθρὲ πρὸς τὸν ἄνω πυρφόρον,
Κἂν τῇ στενώσει τῆς στυφῆς ἐσφιγμένος
Δοκῇς πτερωτὸς πρὸς τὸν ἔσχατον δρόμον!
Ὦ σπόγγε διψῶν ταῖς ῥοαῖς[3] τῶν ἀκτίνων,
Ὅταν κατασπᾷ τὴν ῥοπὴν ὁ φωσφόρος,
Ἀφ' οὗ κορεσθεὶς[4] τὴν καινὴν πάσχει μέθην,
Βλύζων τὰ φῶτα πρὸς τὸ[5] νυκτερὸν σκότος!
Ὦ ἡλίου[6] σύνευνε καλὴ φωσφόρου,
Δι' οὗ τὰ φαιδρὰ συγγενῶς κύεις βρέφη,
Πρὸς ἄνδρα γυνὴ μυστικῶς δεδεγμένη,
Καὶ τεκνοποιὸς ἐκ σπορᾶς φερηφλόγου[7]!
Ὦ τῶν ξεόντων τὰς ὁδοὺς ἐν ἑσπέρᾳ
Καὶ τῶν ἐφ' ὕδρας εὐπλοούντων[8] ἐμπόρων

[1] Apogr. *ἐκνόσου* (*sic*).
[2] Apogr. *δοκεῖ ταῖς ὥραις.*
[3] Fort. *τὰς ῥοάς.*
[4] Apogr. *ὡρεθείς.*
[5] Apogr. om. *τό.*
[6] Apogr. *Ὦ τοῦ ἡλίου.*
[7] Fort. *φλογηφόρου.*
[8] Apogr. *ὑφ' ὑρᾶς εὐπλοσύντων.*

Λαμπὰς φαεινὴ καὶ σκιᾶς ἀλλοτρία!
Ὦ σῶμα καινὸν εἰς γραφὰς πολυτρόπους,
Ὅταν ὁ[1] λαμπρὸς συγγραφεὺς τῶν ἀκτίνων
Ἀρτιπροσώπως[2] εἰς τὸν ἄξονα βλέπων
Λογογραφῇ[3] σου τὰς ὑπαύγους ἐκφάσεις.

XXXV. Εἰς τὴν γῆν.

Ὦ κῦβε τῆς γῆς ἀσφαλῶς ἡδρασμένε[4]!
Χαλᾶν γὰρ εἰκὸς τοῦ λόγου τὰς ἡνίας[5]
Πρὸς τὴν χθόνα σφύζοντας ἐκ πόλου τρέχειν.
Ὦ χαῖρε[6] τοῦ ξύμπαντος ἀνθρώπων γένους,
Ὃς πρὸς τὸν ἐπλάνυγμον εὑρέθης θρόνον
Ἕδρα σταθηρὰ τῶν ποδῶν τοῦ δεσπότου!
Ὦ κοσμαγωγὸν[7] καὶ πολύφορτον[8] σκάφος,
Ὅπερ κρεμασθὲν ἀβρόχως[9] ἐφ' ὑδάτων,
Μένεις βεβηκὸς εἰς τὸν ἅπαντα χρόνον,
Κἂν ἐν μόνῳ νεύματι τοῦ τετευχότος
Τρέμῃς, σπαράττῃ, καὶ σαλεύῃς[10] τὴν κτίσιν,
Θροοῦν, ἀπειλοῦν[11], δειματοῦν τοὺς ἐν μέσῳ,
* Καὶ πάντα[12] χρηστὰ δεξιῶς ἐπιστρέφον!

[1] Apogr. om. ὁ.

[2] Hac voce carent lexica, quibus addam : Ἀλλοιοπρόσωπος, codex Parisin. 2511, fol. 55 r°. — Γελοπρόσωπος, cod. Paris. 2421, fol. 49, 2ª p. Sed fort. leg. γελοιοπρόσωπος. — Ἱλαροπρόσωπος, Theod. Stud. cod. Parisin. 891, fol. 21 r° : Ἱλαροπρόσωποι οὕτω συναπτώμεθα πρὸς ἀλλήλους. — Περιπρόσωπος, Cosmas in Gregor. Nazianz. *Spicil. Roman.* t. II, p. 160. — Διπροσωπία, cod. Paris. 2420, p. 137, 3ª p.

[3] Apogr. λογογραφεῖ.

[4] Apogr. ἡδρισμένε et mox εἰμός.

[5] Plat. *Protag.* p. 338 : Ἐφεῖναι καὶ χαλάσαι τὰς ἡνίας τοῖς λόγοις.

[6] Fort. χῶρε.

[7] Cf. cod. Paris. XL, 2.

[8] German. Cpol. cod. Coislin. 278, fol. 205 v° : Τὴν πολύφορτον κόπρον.

[9] Cf. cod. Paris. LVI, 88.

[10] Apogr. τρέμεις ..... σαλεύεις.

[11] Apogr. ἀπηλοῦν.

[12] Apogr. πάντα τὰ χρ.

Οὐ γὰρ ἐπαινῶ τοὺς κενοὺς γεωγράφους,
Οἵ τὰς πνοὰς λέγουσιν ἐξ ὑποψίας
Τὸ σὸν βεβηκὸς δυσμενῶς ἀνατρέπειν
Ὤθημα πάσχον τοῦ φραγῆναι τοὺς πόρους·
Ὦ δένδρα μακρὰ καὶ πολύχρηστε χλόη,
Καὶ πᾶν πετεινῶν, ἑρπετῶν, νηκτῶν γένος!

XXXVI. Εἰς τὴν θάλασσαν.

Ὦ κῦτος εὐρύχωρον, ὦ ξένη χύσις!
Ὥς[1] τις γὰρ ἵππος ὁ δρομεὺς οὗτος λόγος
Ἐκ τῶν περιττῶν πνευστιῶν περιδρόμων
Ὁρμᾷ πρὸς αὐτὴν καὶ δροσισθῆναι θέλει.
Ὦ θαῦμα ῥευστὸν, κἂν ὁ πανσόφως[2] χέας
Εἴργῃ σε θᾶττον κυματουμένου χύδην,
Μήπως τὸ κοινὸν ἐκδραμὸν περικλύσῃς[3]!
Ὦ πάντα κινοῦν εἰς Θεοῦ δόξαν στόμα
Ῥευσταῖς λαλιαῖς καὶ βοαῖς ἐπηρμέναις,
Ὅταν θρασυνθὲν ταῖς βοαῖς τῶν πνευμάτων
Τὸ κῦμα κυρτοῖς καὶ στεγάζῃς τὸν σάλον,
Καὶ ταῖς ταραχαῖς ἐκφοβῇς τῶν ναυτίλων,
Καὶ τοῖς ἑλιγμοῖς συγκλονῇς[4] τὰς ὁλκάδας!
* Ἢ ὡς ὁ καιροὺς εὐχερῶς μετατρέπων
Καὶ πάντα ποιῶν πρὸς τὸ σῶσαι τὴν φύσιν,
Στήσῃ τὸ ῥεῦμα, καὶ σκεδάσῃ τὴν ζάλην,
Καινὴν μετ' αὐτὴν πρυτανεύσας αἰθρίαν.
Ὦ πνευμόνων ἄμοιρον ἰχθύων γένος!
Ζωγρῶ γὰρ ὑμᾶς τοῖς ἐμοῖς αὖθις λόγοις
Οὐχ ὥστε φαγεῖν[5] (οὐ τροφῆς γὰρ ὁ τρόπος[6]),

[1] Apogr. ὅστις.
[2] Cod. Paris. XIV, 279.
[3] Apogr. ἐκδραμὼν περκλείσῃς.
[4] Apogr. συγκλονεῖς.
[5] Apogr. φαφεῖν.
[6] Fort. τόπος.

Ἀλλ' ὥστε τοῖς κτίσμασι προσθεῖναι κτίσιν.
Ὦ κόσμε, καὶ γὰρ προσκαλῶ σοι πολλάκις
Ὡς ἀκροατῇ[1] μὴ φθονοῦντι τοῖς λόγοις,
Ἄκουε μακρᾶς ἐξ ἐμοῦ τραγῳδίας.

* XXXVII. Εἰς τὸν ἅγιον Θεόδωρον[2].

Ἐκ τῆς ἑῴας ὁ γλυκὺς στρατηλάτης[3]·
Τῆς γὰρ νοητῆς τέκνον ἐστὶν ἡμέρας
Ἐξ Εὐχαΐτων ἡ Θεοδώρου χάρις·
Μήτηρ γὰρ εὐχῶν τοῦ Θεοῦ δωρημάτων.

XXXVIII. Εἰς Εὐσεβίαν[4] διυπνίζουσαν τὸν μάρτυρα.

Πιστοῖς, γύναι, τὴν κλῆσιν ἐκ τῶν πραγμάτων,
Τὸν ὕπνον ἐκκόπτουσα τῷ στρατηλάτῃ·
Καὶ θερμὰ δακρύουσα, πλὴν μὴ δακρύοις,
Ὄψει γὰρ ἤδη τὸν φόνον τοῦ θηρίου.

XXXIX. Εἰς τὸν φόνον τοῦ δράκοντος.

Ὡς φρικτὸς, ὡς πέλωρος οὗτος ὁ δράκων·
Ἐχθροῖς συναντήσειε τηλίκον τέρας.
Πλὴν οὐ τοσοῦτος ὥστε τοῦ Θεοδώρου
Αἰχμῆς τὸ χαλκήλατον ἐκφυγεῖν στόμα.

XL. Εἰς τὴν ὑπάντησιν τοῦ Λικιννίου.

Ὡς ἀρχικὸν τὸ λῆμα τῷ στρατηλάτῃ·
Οὐ γὰρ ὑπηντίασε[5] τῷ Λικιννίῳ.

[1] Apogr. ἀκροατεῖ.

[2] Cf. Fabric. *Biblioth. græc.* X, 333, et *Acta S. Theodori*, ap. Bolland. Febr. t. II, p. 28.

[3] Hic et infra ipse Theodorus, cognomine ὁ στρατηλάτης seu tiro intelligendus est.

[4] *Acta S. Theodori*, n° 4. Cf. Fabric. *Biblioth. græc.* X, 226.

[5] Apogr. ὑπητίασε.

Ἀλλ' αὐτὸν αὐτῷ προσδραμεῖσθαι προτρέπει,
Καὶ πᾶν λαβὼν ἄγαλμα τούτου συντρίβει.

* XLI. Εἰς Λικίννιον κλαίοντα τὴν τῶν γλυπτῶν ἀπώλειαν.

Τίς οὐ γελάσει καπυρὸν καὶ καγχάσει,
Λικίννιε, κλαίοντα πικρῶς σε βλέπων
Τὴν Ἄρτεμίν σου τὴν κυνηγέτιν κόρην,
Ἣν χεὶρ κατηλόησε[1] τοῦ στρατηλάτου;

XLII. Εἰς τὸν θυμὸν Λικιννίου[2].

Εἰ Χαλδαϊκὴν τοῦ θυμοῦ καίει[3] φλόγα
Ὁ Λικίννιος[4] κατὰ τοῦ στρατηλάτου,
Καὶ μυρίων[5] πῦρ μαστίγων ἀναφλέγει,
Πλὴν ἀλλ' ἐπῆλθεν ἡ συρίζουσα[6] δρόσος.

XLIII. Εἰς τὸν ἅγιον τυπτόμενον τὸν τένοντα σφαίραις μολιβδίναις.

Καὶ τοὺς τένοντας πλῆττε τοῦ στρατηλάτου
Σφαίραις[7] μολίβδου, καρδία μολιβδίνη·
Καὶ πῦρ πυρὶ πρόσαπτε καὶ καῦσον πλέον,
Οὐδὲν πλέον σχεῖς κἂν τὰ πάνδεινα δράσῃς[8].

XLIV. Εἰς τὰς κατὰ σπλάγχνων ξέσεις.

Τὸν ἐξ ὀνύχων ἁπαλῶν ἡγνισμένον
Ὄνυξ σιδηροῦς κατὰ τῶν σπλάγχνων[9] ξέει.
Σπλάγχνων ἐκείνων τῶν μεμαστιγωμένων,
Ἀστάρχα γίγαν, οὐχ ὁρᾷς ἀσπλαγχνίαν[10];

[1] Apograph. κατηλόησεν, contra metrum.

[2] Post Fabricium, VII, p. 711, edidit Wernsd. p. 226, ubi Λικινίου.

[3] Apogr. καὶ εἰ.

[4] Malim Λικίνιος, ob metrum.

[5] μύριον W. qui recte corrigit μυρίων.

[6] Fort. στηρίζουσα W. Male.

[7] Apogr. σφυραῖς.

[8] Apogr. δράσσῃς.

[9] Hic et supra in titulo σπλάχνων.

[10] Apogr. ἀσπλαχνίαν.

XLV. Εἰς τὰς ὑπ' ὀσ7ράκων ἀνατριϐομένας πληγὰς τοῦ μαρτυρος

Μικρὸν τὸ βουνεύρισμα[1], μικρὸν ἡ ζέσις
Ἔδοξεν ὡς ἔοικε τῷ Λικιννίῳ·
Ἐν ὀσ7ράκῳ γοῦν τὰς ζέσεις ἀνατρίϐει,
Καὶ πυρὶ πολλῷ τὰς ἀνατρίψεις φλέγει.

* XLVI. Εἰς τὴν φυλακὴν τοῦ ἁγίου.

Δέξαι, φυλακὴ, καὶ σὺ τὸν σ7ρατηλάτην,
Καὶ παῦσον αὐτῷ τῶν βασάνων τοὺς πόνους,
Χρησ7ὴ φανεῖσα τοῦ μισανθρώπου πλέον·
Τοιοῦτον ἕξεις τὸν κριτὴν, ἄναξ κύον.

XLVII. Εἰς τὴν σ7αύρωσιν τοῦ ἁγίου.

Εὐεργετεῖς, τύραννε, τὸν σ7ρατηλάτην
Σταυρὸν κατ' αὐτοῦ δυσμενῶς ἐξαρτύων·
Τῷ γὰρ θεϊκῷ συμπαθεῖν ποιεῖς πάθει,
Καὶ μειδιᾷ γοῦν ὡς ὁρᾷς σου τὸ δράμα.

XLVIII. Εἰς Λικίννιον, τοῖς τοῦ ἁγίου αἰδοίοις ἐνυϐρίζοντα[2].

Τῆς αἰσχύνης, ἥλιε, χωρὶς αἰσχύνης!
Τὴν σούϐλαν[3] ἐμϐάλλουσιν οἱ τῆς αἰσχύνης
Τῆς μαρτυρικῆς αἰσχύνης τῷ χορείῳ[4]·
Καὶ πρὸς τὸ ῥῆμα μὴ ῥαγῇς μοι, καρδία.

XLIX. Εἰς τὸν ἅγιον καταγόμενον δι' ἀγγέλου ἐκ τοῦ σ7αυρου.

Χρισ7ὸν κατάγει Νικόδημος ὑψόθεν,

[1] Vox addenda lexicis, quibus adde et verbum βουνευρέω, ex Leone Grammat. p. 226 ed. Bonn.: Εἶτα μετὰ τοῦτο βουνευρήσας αὐτοὺς μέχρις αὐτοῦ τοῦ θανάτου.

[2] Post Fabricium repetit Wernsd. p. 238, ubi Λικίνιον.

[3] Τὴν σοῦ βλὰξ ἐκϐάλλουσιν. W. qui in notis: Τῆς σοῦ· Λάξ. Male.

[4] Fort. χορδίῳ.

Χεὶρ δ' ἀγγελικὴ τὸν μέγαν σΊρατηλάτην,
Δεικνύντος οὕτω τοῦ Θεοῦ μου καὶ Λόγου
Τὴν δόξαν οἶμαι τῶν ἑαυτοῦ μαρτύρων.

L. Εἰς τὸν μάρτυρα λύοντα δι' εὐχῆς καὶ δεσμώτας.

Λυθεὶς ὁ μάρτυς τῆς ἐπὶ σΊαυροῦ πέδης
Τῶν δεσμωτῶν[1] ἔλυσεν εὐθὺς τὰς πέδας·
* Ἐλεύθερος δὲ παρ' ἐλευθέροις λέγων
Τὴν ἀκρίβειαν ἐμπεδοῖ τῶν δογμάτων.

LI. Εἰς τὴν διὰ ξίφους τοῦ ἁγίου τελείωσιν.

Λύει σε δεσμῶν σΊαυρικῶν, σΊρατηλάτα,
ΧρισΊῷ σΊαλεῖσα πανσθενὴς χεὶρ ἀγγέλου·
Λύει σε δεσμῶν σαρκικῶν χεῖρ δημίου
Λικιννίῳ σΊαλεῖσα τῷ μιαιφόνῳ.

LII. Εἰς τὴν γέννησιν τοῦ ἁγίου Γεωργίου[2].

Πολλοὺς ἀνίσχεις μαρτυρικοὺς ἀσΊέρας,
Καππαδοκῶν γῆ, τῷ Θεῷ τῶν μαρτύρων,
Ἀλλ' ἀσΊεράρχην[3] τὸν Γεώργιον φέρεις.
Οὐ γῆ τὸ λοιπὸν, οὐρανὸς δ' ἔφυς μέγας.

LIII. Εἰς τὸν ἅγιον ὑπὸ Διοκλητιανοῦ καὶ ἑτέρων τεσσάρων βασιλέων κρινόμενον.

Ἔμιξε δύο βασιλεῖς ΧρισΊοῦ πάθος·

[1] Fort. *δεσμίων*.

[2] Fabric. *Biblioth. græc.* X, 229, et Bolland. April. tom. III, Append. p. IX.

[3] Matr. «Cod. *ἀλλὰ σΊαρχήν*, quod melius legitur *ἱεράρχην*.» Imo leg. *ἀλλ' ἀσΊεράρχην*. German. Cpol. cod. Coisl. 278, fol. 16 v°: Ὁ *ἀσΊεράρχης καὶ κοσμολαμπὴς ἥλιος*. Id. *ibid.* fol. 144 r°: Ὁ *ἀσΊ. ὡς ἀμυδρόν τι ἀσΊρίον τῷ ἀπλέτῳ φωτὶ τῆς τοῦ ΧρισΊοῦ Θεότητος ἐξημαύρωται*. Id. *ibid.* fol. 145 v°: *Καὶ τὸν ἀσΊ. ἐφωσφόρησε τοῦτον ἥλιον*. Conf. not. ad cod. Paris. XLVI, 6. Quam vocem *ἀσΊεράρχης* ignorant lexicographi.

Γεωργίου πάθος δὲ πέντε μιγνύει·
Καὶ τοῦτο γὰρ τὸ ῥῆμα τοῦ διδασκάλου·
Ὁ πιστὸς ἔργα τῶν ἐμῶν μείζω δράσει.

LIV. Εἰς Διοκλητιανὸν ἀναγκάζοντα τὸν ἅγιον θῦσαι τῷ Διί.

Κλέπτεις, τύραννε, τὴν Διὸς κλῆσιν φέρων
Τὰς ἃς ἀπαιτεῖς θυσίας εἰς τὸν Δία,
Καὶ κνισσοσυλᾷς· πλὴν τὰ τοῦ Γεωργίου
Ἄθυτα παντάπασιν ἀκνίσσωτά σοι.

LV. Εἰς τὴν ἐπὶ σταυροῦ ἀνάρτησιν[1].

Τυφθεὶς ὁ μάρτυς πρῶτα ταῖς βουνευρίσιν,
Καὶ σταυρὸν[2] εὑρὼν δευτέραν τιμωρίαν,
Ζηλοῖ τὸ φραγέλλωμα τοῦ θείου πάθους,
Καὶ τὴν μετ' αὐτὸ σταυρικὴν τιμωρίαν.

LVI. Εἰς τὴν φυλακὴν τοῦ ἁγίου.

Τίνι ξυνείργεις τὸν Γεώργιον τρόπῳ,
Τύραννε[3] πικρὲ, μὴ λαθὼν διεκφύγῃ;
Γελῶ τὸ σὸν βούλευμα· πῶς γὰρ ἐκφύγῃ
Ὃς ἀνθέων[4] καὶ ταῖς βασάνοις προστρέχει;

* LVII. Εἰς τὸν ἅγιον ὑπὸ τροχοῦ τεινόμενον[5].

Ἰεζεκιὴλ ὁ προφητῶν ἀκρέμων,
Ἀφεὶς θεωρεῖν[6] τοὺς τροχοὺς τοὺς ἐκπύρους,
Τὸν μαρτυρικὸν, εἰ δοκεῖ, τροχὸν βλέπε,
Καὶ συγκρίνας θαύμαζε τὸν τροχηλάτην.

[1] Apogr. ἀνάρτοσιν.
[2] Apogr. om. καί.
[3] Apogr. τύρανε.
[4] Fort. ὃς σὺν θεῷ.
[5] Post Fabric. edidit Wernsd. p. 238, ubi Ἐζεκιὴλ ὁ μὲν προφητῶν. Apogr. male προφήτης.
[6] W. θεωρῶν.

LVIII. Εἰς τὸν ἅγιον βροντῆς γινομένης λυόμενον τοῦ τροχοῦ.

Εἴ τις ξυνᾴδειν τῷ Δαβὶδ καλῶς θέλει
Ἐν τῷ τροχῷ λέγοντι τὸ βρόντημά σου,
Ξυνᾳδέτω νῦν τῷ τροχῷ Γεωργίου
Τὸ τοῦ θεοῦ βρόντημα συῤῥαγὲν βλέπων.

LIX. Ἕτερον εἰς τὸ αὐτὸ καὶ εἰς τὴν βασίλισσαν Ἀλεξάνδραν.

Λυθεὶς ὁ μάρτυς τοῦ τροχοῦ ψυχὰς λύει
Ἐκ τῶν τροχῶν τοῦ Σατανᾶ τὰς[1] μυρίας·
Καὶ πρῶτα[2] τὴν ἄνασσαν Ἀλεξανδρίαν[3]
Χριστῷ συνάπτει βασιλεῖ καὶ νυμφίῳ.

LX. Εἰς τὴν δημοτελῆ θυσίαν Ἀπόλλωνος.

Ὡς δυστυχὴς, Ἄπολλον, ἡ σὴ θυσία·
Ἀνετράπη γὰρ τῇ θέᾳ Γεωργίου.
Οὐκοῦν τέως νῦν, Φοῖβε, πεινήσεις μέγα.
Πῶς οὐ προεῖπεν ὁ τρίπους σοι[4] τὸ δρᾶμα;

LXI. Εἰς τὰς πυρματωθείσας[5] κρηπῖδας.

Ὡς βασιλικὰς εὐτυχεῖς τὰς ἐμβάδας,
Κύδιστε μάρτυς! καὶ γὰρ ἠνθρακισμένην[6]
Ἐρυθροβαφεῖς[7] δεικνύουσι τὴν χρόαν·
Οἱ δ' ἔνδον ἧλοι μάργαροι ταύταις ξένοι.

LXII. Εἰς τὴν ἐκ νεκρῶν ἀνάστασιν τοῦ Τωβήτ.

Ζητεῖς ὁ Μαγνέντιος ἐκ Γεωργίου
Τῆς πίστεως σήμαντρα[8]; τὸν Τωβὴτ βλέπε

[1] Apogr. om. τάς.
[2] Apogr. πρῶτον.
[3] Pro Ἀλεξάνδραν, ob metrum.
[4] Apogr. om. σοι.
[5] Fort. πυρακτωθείσας.
[6] Apogr. τὴν θραυστομένην.
[7] Apogr. ἐρυθρωβαφεῖσαν.
[8] Apogr. σήμαντρον.

Τὸν χθὲς σαπρὸν χοῦν ἐξ ἀπείρου τοῦ χρόνου,
Καὶ νῦν κελεύσει ζῶντα τοῦ[1] Γεωργίου.

LXIII. Εἰς τὸν βοῦν Γλυκερίου.

Ἂν ἄνδρα πάλαι νεκρὸν ἐξανισῖάνῃ[2],
Τί καινὸν εἰ βοῦν ἡ Γεωργίου χάρις;
Πλὴν ἀλλὰ, Γλυκέριε, τὸν μὲν βοῦν λάβε,
Ζεύγλαις δὲ σαυτὸν μαρτυρικαῖς ἀντίδος.

LXIV. Εἰς τὴν σιδηρᾶν κλίνην.

Πολλοῖς βασάνων ἐγκαμὼν μάρτυς πόνοις,
Πεσὼν ἀνακλίθητι πρὸς τῷ κραββάτῳ·
Κἂν γὰρ σιδηροῦς ἐσῖὶ, κἂν πυρὸς γέμῃ,
Ἀλλ' ὁ δροσίζων ὑψόθεν πάρεσῖί σοι.

LXV. Εἰς τὸν ζέοντα μόλιβδον.

Βαβαὶ τυράννων θηριωδίας ξένης!
Τήκουσι καὶ μόλιβδον εἰς πυρὸς φλόγα
Καὶ τοῖς καθαροῖς ἐγχέουσιν ἐγκάτοις
Αἱ πανρύπαροι[3] καὶ μολίβδινοι φύσεις.

LXVI. Εἰς τὸν χαλκοῦν βοῦν.

Ὁ χθὲς θανόντα βοῦν ἀνασῖήσας λόγῳ
Νῦν χάλκεον βοῦν εἰσδύναι κατεκρίθη
Λόγχαις σιδηραῖς μυρίαις πεπαρμένον·
Πλὴν ἀλλ' ὑπέρσχῃ τῆς τυραννίδος πάλιν.

LXVII. Εἰς τὸν ζέοντα λέβητα.

Πάλιν μόλιβδος καὶ πυρὶ ζέων λέβης,
Εἰς ὃν τὸ σῶμα βάλλεται Γεωργίου,

[1] Apogr. om. τοῦ.

[2] Apogr. ἐξανισῖάνει.

[3] Apogr. παυρύπαροι. Hac voce augenda lexica.

Ὡς ἐκλυθῆναι κινδυνεύσῃ[1] τῇ βίᾳ.
Πλὴν ἀλλὰ λουθὲν, οὐ λυθὲν διεξέβη[2].

LXVIII. Εἰς τὴν τοῦ λέβητος ἐξαγωγήν.

Οὐρανὲ καὶ γῆ, τοῦ ξένου τερασΊίου!
Ὃν ὁ ζέων κατεῖχε[3] καὶ φλέξων λέβης,
Νῦν ταῖς πλατείαις ἐκπλατύνει τὸ σΊόμα,
Καὶ κηρυκεύει τῇ πόλει τῶν δεσπότων[4].

* LXIX. Εἰς τὸν σΊαυρὸν καὶ τὴν ὑπὸ λαμπάδα φλέξιν.

Ὡς φιλοτίμως[5] ἡ τυράννου καρδία
Τὸ μαρτυρικὸν δεξιοῦται σαρκίον!
Οὐ φείδεται γὰρ οὐδενὸς δεινῶν τρόπου
Τὸν σΊαυρὸν ἄρτι[6] καὶ τὸ πῦρ τῶν ἐγκάτων.

LXX. Εἰς τὴν συντριβὴν τῶν γλυπΊῶν.

Ὦ γλῶσσα πῦρ πνέουσα, πῦρ θεοὺς φλέγον,
Καὶ γλυπΊὰ νεκρὰ δαιμονικὰ συγκάον,
Ὡς προσκυνῶ σε! καὶ γὰρ ἓν κέλευσμά σου
Καθεῖλεν εἰς γῆν Ἄρτεμιν, Φοῖβον, Δία.

LXXI. Εἰς τὴν διὰ ξίφους τελείωσιν.

Τῇ σαρκὶ πάσῃ τὸν θεόν σου δοξάσας,
ΚύδισΊε μάρτυς, δεῦρο καὶ δι' αὐχένος
Δόξασον αὐτὸν ἐκταθέντος εἰς ξίφος·
Καὶ παῦσον ὀψὲ τοῖς τυράννοις τοὺς πόνους.

LXXII. Εἰς τὴν γέννησιν τοῦ ἁγίου Δημητρίου.

Ἐκ ΘετΊαλῶν ὁ μάρτυς ὡς ἐκ Περσίδος·
Ἐξ Ἀράβων ὁ μάρτυς ὡς ἐκ τῶν Μύρων,

[1] Apogr. κινδυνεύσσῃ.
[2] Apogr. δεξέβκε (sic).
[3] Apogr. κατῆχεν.
[4] Apogr. δεσποτέων.
[5] Apogr. φιλοτίμῳ.
[6] Fort. ἆρας.

Ἐξ οὐρανῶν ὁ μάρτυς ὡς ἐκ θαυμάτων,
Κἂν σπέρμα καὶ γῆ, σπέρμα τοῦτο[1] τοῦ βίου.

LXXIII. Εἰς τὸν ἅγιον ὕπατον τῆς Ἑλλάδος χειροτονούμενον.

Ἔγραφε, Δημήτριε δόξα μαρτύρων,
Μαξιμιανὸς ὕπατον τῆς Ἑλλάδος·
Τὸν δ' εὐσεβῶν ὕπατον ὁ Χριστὸς γράφει.
Δισύπατος[2] γοῦν κατὰ ταὐτὸ τυγχάνεις.

LXXIV. Εἰς τὴν καταγγελίαν τοῦ Χριστοῦ.

Χάρις Σαμουὴλ ἡ χάρις Δημητρίου·
Ἐν σχοινίῳ[3] γὰρ κατ' ἐκεῖνον[4] τῷ γνάφῳ
Κρίνει μὲν οὐχὶ τὸν πρὶν Ἰσραηλίτην,
Τὰς εὐσεβεῖς δὲ μυσταγωγεῖ καρδίας.

LXXV. Εἰς τὴν ἐν τῷ λουτρῷ καθεῖρξιν.

Τὸν ὕπατον χθὲς καὶ πολὺν[5] τὴν ἀξίαν
Νῦν ἐν στοαῖς εἴργυυσι λουτροκαμίνων[6]
Μαξιμιανὸς ἡ τύραννος καρδία,
Πλὴν καὶ καθειρχθεὶς οὐ σιωπᾷς τὸν λόγον.

LXXVI. Εἰς τὸν φόνον τοῦ σκορπίου.

Ὦ πάντα τολμῶν κεντροδήκτα[7] σκορπίε,
Νῦν καὶ κατ' αὐτῶν[8] ἐθρασύνθης μαρτύρων!
Τίς[9] δὲ νῦν σε πτῶμα μάρτυρος μόνον!
Σὺν τῷ νοητῷ θανατώσει σκορπίῳ;

[1] Apogr. τούτῳ.
[2] Apogr. δούπατος.
[3] Apogr. σχινίῳ.
[4] Apogr. κατ' κεῖνον τῇ γνάφῳ.
[5] Apogr. πολλήν.
[6] Hac voce carent lexica.
[7] Apograph. κεντροδίκτα. Vox lexicis deest.
[8] Apogr. αὐτόν.
[9] Fort. Τίσει δὲ νῦν.

LXXVII. Εἰς τὸν ἐξ οὐρανοῦ σ7έφανον.

Στενοῖ βασιλεὺς τὸ πλάτος Δημητρίου
Στοαῖς ἐνειργνὺς λουτροκαμινευμάτων[1].
Θεὸς πλατύνει τὸ σ7ενὸν Δημητρίου
Πέμπων σ7έφους πρύτανιν ἐξ ὕψους νόα.

LXXVIII. Εἰς τὸν Νέσ7ορα καὶ τὸν Λυαῖον[2].

Νέσ7ορ, πρόσελθε τῷ Θεῷ Δημητρίου,
Καὶ τὴν Λυαίου μὴ τρέσῃς πανευχίαν.
Μέγας γάρ ἐσ7ι καὶ Βριάρεως δράκων,
Ὅμως κατοίσεις καιρίαν τοῦ βαρβάρου.

LXXIX. Εἰς τὴν διὰ ξίφους τελείωσιν τοῦ Νέσ7ορος[3].

Ὡς βασιλικὰς[4] τὰς ἀμοιβὰς λαμβάνεις,
Κύδισ7ε Νέσ7ορ, τῆς σφαγῆς τοῦ βαρβάρου!
Τῶν μαρτύρων γὰρ[5] τῷ σ7ρατῷ συνεγράφῃς
Καὶ συμμετρίζῃ[6] τὰ σ7έφη Δημητρίῳ[7].

LXXX. Εἰς τὴν διὰ λόγχης τελείωσιν τοῦ ἁγίου Δημητρίου[8].

Ἦ μὴν[9] Θεοῦ δέδεξο, μαρτύρων φάλαγξ,
Τὸν Νέσ7ορα χθὲς γεννάδα σπαθηφόρον,
Δημήτριον δὲ σήμερον λογχηφόρον,
Χθὲς σ7ρατιώτην, σήμερον σ7ρατηγέτην.

[1] Vox addenda lexicis.

[2] Conf. Bolland. Oct. t. IV, p. 60 et sqq.

[3] Post Fabric. edidit Wernsd. p. 240, sine τοῦ.

[4] W. βαλλικὰς et in notis f. καλλινίκας.

[5] γοῦν Vat.

[6] W. fort. συνεγράφῃ. Imo legend. συμμερίζῃ.

[7] Δημητρίου Vat.

[8] Cf. Bolland. *loc. cit.* p. 63.

[9] Apogr. Ἤτην, quæ vox nihili. Legendum puto Ἦ μήν.

LXXXI. Εἰς τὴν μυροβλυσίαν[1].

Τίνος, μέγισῖε Σαλομῶν[2], κλῆσιν λέγεις;
Μύρον κενωθέν; οἶμαι τὴν[3] Δημητρίου,
Ἐξ οὗ τὸ μύρον ὠκεανίζον[4] ῥέει,
Ἀντλῶμεν[5]· οὐδεὶς ἐκκενώσας τὴν χάριν.

LXXXII. Εἰς Λοῦπον τὸν δοῦλον τοῦ ἁγίου Δημητρίου.

Ἔβλεψε δοῦλος δεσποτικὴν σφενδόνην,
Μεθ' ἧς ἐγερσεῖ[6] πλεῖσῖα τῶν τερασῖίων·
Οὐκοῦν ὑπέσχεν ἀξίαν καὶ τὴν δύσιν
Τμηθεὶς κεφαλὴν καὶ συνὼν τῷ δεσπότῃ.

LXXXIII. Εἰς Λεόντιον ὕπαρχον Ἰλλυριοῦ παρεθέντα καὶ ἰώμενον.

Τὴν Ἰλλυριῶν ἀμφέπων ἐπαρχίαν
Λεόντιος παρεῖτο πᾶν τὸ σαρκίον·
Εἰς τὴν σορὸν δὲ προῤῥιφεὶς[7] Δημητρίου
Τῆς κλήσεως ἄξιον ἅμα[8] λαμβάνει.

* LXXXIV. Εἰς τὸν Μαρτινιανὸν καὶ αὐτὸν ὕπατον παρεθέντα καὶ ἰαθέντα.

Μαρτινιανῷ κοινὰ καὶ Λεοντίῳ
Ἰλλυριοὶ[9] νέκρωσις ἄκρα σαρκίου,
Ῥίψις κατ' αὐτῆς τῆς σοροῦ Δημητρίου,
Καὶ ῥῶσις εὐθὺς τῶν μελῶν τερασῖία.

[1] Post Fabric. edidit Wernsd. p. 240, ubi μυροβλησίαν. In not. f. μυροβλυσ.

[2] Wernsd. Σαλαμῶν. In not. l. Σαλομῶν. *Cantic.* I, 3.

[3] W. γὰρ pro τήν.

[4] ὦκα σανίζον W. qui F. ῥανίζον.

[5] Τ' ἀντλῶ μὲν W. qui F. ἀντλῶμεν. Mox fort. ἐκκενώσει.

[6] Fort. ἐνεργεῖ.

[7] Apogr. προριφείς.

[8] Fort. ἅμμα vel αἷμα.

[9] Fort. Ἰλλυριοῖς.

LXXXV. Εἰς τὸν αἱμόῤῥουν σΊρατηλάτην[1].

Αἷμα προχύσας τοῦ Θεοῦ μάρτυς χάριν,
Σὺ μὲν πρόχυσιν ἀντιλαμβάνεις μύρων·
Ἱσῖᾷς δὲ καὶ πρόχυσιν ἄλλην αἱμάτων
Τῶν θανατηρῶν, μάρτυς ὁ σΊρατηλάτης.

LXXXVI. Εἰς τὴν[2] ἐν τῷ λιμῷ ἐπιφέρουσαν σῖτον ἔμπορον.

Ὁ ναυτιλάρχης[3] ποῖ φέρεις τὴν ὁλκάδα;
Ἄφες τὸν εὐθὺ τῆς βασιλίδος πλόον,
Καὶ ΘετΊαλοῖς τὸν σῖτον ἐλθὼν ἐμπόλει[4].
Ὄναρ ὁ μάρτυς ταῦτα τῷ σιτεμπόρῳ.

LXXXVII. Εἰς τὴν ἐν Θεσσαλονίκῃ ἴασιν τοῦ λοιμοῦ[5].

Ὁ τοῦ λιμοῦ χθὲς ἐξελὼν τὴν ἀγχόνην[6]
Λοιμοῦ βρόχον νῦν ἐξελεῖ ΘετΊαλίας.
Ὡς λαμπρὰ, Δημήτριε, θρέπΊρα τιννύεις
Τῇ σῇ τιθηνῷ καὶ τροφῷ καὶ πατρίδι!

LXXXVIII. Εἰς τὸν κατὰ τὸν νεωκόρον Ὀνησίφορον[7].

Οὐ σοὶ τρέφει μέλιτΊα τὸν κηρὸν μόνῳ
Τῆς μαρτυρικῆς λάρνακος, νεωκόρε.
Ἄφες τὸ δεινὸν, μὴ βοήσεις[8] τυμβόθεν[9]
Ὁ μάρτυς ἐκβρόντητον ἐργάσαιτό σε.

[1] *Mirac. S. Demetrii*, cap. II, n° 24 et seq. Vers. 3 καὶ om. in cod.

[2] Subaud. ὁλκάδα. *Mirac. S. Demetrii*, cap. VIII et IX.

[3] Vox addenda lexicis. Apogr. ναυλάρχης, sed leg. ναυτιλάρχης.

[4] Apogr. ἐκπόλει.

[5] *Mirac. S. Demetrii*, cap. III.

[6] Conf. cod. Paris. XLIV, 31.

[7] Apogr. . . . . ιφόρον (*sic*). De Onesiphoro templi custode confer *Mirac. S. Demetrii*, cap. VII.

[8] Leg. βοήσας.

[9] Hac voce augenda lexica.

LXXXIX. Εἰς τὴν ἐν τῷ λάρνακι ἐκδρομὴν τοῦ πυρὸς ἐπὶ τῷ Μαυρικίῳ[1].

Μὴ τῶν μελῶν θίγγανε τοῦ Δημητρίου,
Κράτιστε Μαυρίκιε, τὴν φλόγα τρέσας.
Οὐ βούλεται γὰρ ἥμισυς[2] τῇ πατρίδι
Ὁ στρατιώτης συμμαχεῖν καὶ συμπνέειν.

* XC. Κατὰ φιλοπόρνου γραὸς, τοῦ αὐτοῦ Φιλῆ[3].

Ὦ μιαρὰ[4] γραῦς, κακὸν ἀνθρώποις μέγα!
Ὦ μιαρὰ γραῦς Θουκρίτου[5] παλαιτέρα,
Ῥυτὶς ῥοϊκὴ[6] καὶ χρονικὴ σαπρία!
Ὦ γραῦς ἀσελγὴς[7], ὦ βέβηλε πρεσβῦτις,
Μαχλῶσα καὶ καπρῶσα καὶ γαυρουμένη!
Ὦ γραῦς σοβὰς πρόβακχε, μαινὰς ἀγρία!
Ὦ μιαρὰ γραῦς τρὶς τὸ γραῦς[8] καὶ τετράκις,
Πεντακόρωνε πρέσβα, σαπρὰ πρεσβῦτις,
Ἀτλαντικὸν[9] πέλαγος, Αἰγαῖον βάθος,
Πόντε, Προποντὶς, ὠκεάνειον στόμα,
Θάλασσα ταύτης πάμπαν ἁλμυρωτέρα[10],
Εἰς ἣν ἐκυβίστησεν[11] ὁλκὰς μυρία,

[1] *Mirac. S. Demetrii*, cap. v, n° 47 et seq.

[2] Plat. *Leg.* I, p. 647 D : Οὐδ' ἂν ἥμισυς ἑαυτοῦ γένοιτο πρὸς ἀρετήν.

[3] Edidit B. Thorlacius in *Prolusion. et Opusc. acad. Havniæ*, 1815, t. III, p. 65, cum titulo : Ἡ γραῦς ἀσελγής. Alii Th. Prodromo adjudicant; cf. Boisson. *Anecd. græc.* t. V, p. 164, et Dutheil, *Notit. mss.* tom. VIII, p. 181.

[4] Cod. Vat. v. 1, 2 et 6, μικρὰ pro μιαρά.

[5] Th. θεοῦ κρίτου. Conf. Boisson. *Anecd. græc.* tom. IV, p. 430.

[6] Th. et cod. Paris. ῥεϊκή. Cod. Vat. ῥεϊκὴ καὶ μρονική.

[7] Cod. Vat. ἀσελγίς.

[8] Cod. Paris. τρὶς τὸ γρᾶς.

[9] Th. Ἀτλάντου πέλαγος, πελαγοῦς Αἰγαίου. Conf. Boisson. *Anecd. græc.* tom. IV, p. 318.

[10] Cod. Vat. ἁλμυροτέρα. Cod. Paris. ἁλμυρωτάτη.

[11] Cod. Vat. ἐκυβίστησαν ὁλκαί.

Εἰς ἣν ἐναυάγησαν[1] αὔτανδρα σκάφη!
Ὦ τέλμα πηλοῦ καὶ βαθύτης ἰλύος[2],
Τῆς ἐγχέλυος οἶκε καὶ τοῦ βατράχου,
Τῆς φύσεως μόλυσμα καὶ τῶν ἐν φύσει!
Ὦ βροῦχε καὶ χάλαζα καὶ κνὶψ καὶ σκότος,
Καὶ συνόλως ὄλεθρε τοῦ βροτῶν γένους[3]!
Ὦ[4] γραῦς πολιὰ μέχρι καὶ τῶν ὀφρύων,
Κἂν ἐμπαροινῇς τῇ ταλαιπώρῳ φύσει
Βαφαῖς καταχρίουσα[5] πυκναῖς τὰς τρίχας!
Ὦ γραῦς[6] ὀδόντος[7] παντὸς[8] ἐστερημένη,
Μόνοις παρατρώγουσα γομφίοις δύο,
Οὓς εὖ γε[9] ποιῶν οὐκ ἀφεῖλεν[10] ὁ χρόνος,
Ὡς μὴ νομισθῇς ἀρτιγέννητον[11] βρέφος!
Ὦ γραῒς[12] ὠχρὰ κἂν πλανᾷς ψιμμιθίῳ!
Ὦ σταφὶς ἰσχνὴ κἂν δοκῇς[13] ὄμφαξ ἔτι!
Ὦ Καμάρινα[14] κἂν μυρίζῃ πλουσίως!
Ὦ βυρσόδερμον κἂν τὸ δέρμα λεπτύνῃς,
Λημῶσα[15] κἂν ὁ κόχλος ἀμφὶ τὰς κόρας,
Ῥυσσοῦσα[16] κἂν τὸ[17] φῦκος ἀμφὶ τὰς γνάθους,
Ποδαγριῶσα κἂν σοφίζῃ[18] τὴν νόσον[19],
Λύγισμα[20] τὴν ποδάγραν ἐξειργασμένη,

[1] Cod. Par. ἐναυάγησεν αὔτανδρος.
[2] Cod. Vat. ἐλύος.
[3] Th. et cod. Vat. συνόλης — βίου.
[4] Ὦ deest in cod. Vat.
[5] Codex Vatic. κατατρύχουσα — τὸ σῶμα.
[6] Cod. Paris. γραῦ.
[7] Th. ὀδόντας.
[8] Cod. Vat. πάμπαν.
[9] Cod. Paris. ἄγε.
[10] Cod. Paris. ἀφῆκεν.
[11] Cod. Vat. ἀντιγέννητον.
[12] Cod. Paris. et cod. Vat. γραῦς.
[13] Cod. Paris. δοκεῖς.
[14] Codex Paris. Καμάρινε — μερίζῃ. Th. μυρίξῃ.
[15] Cod. Vat. λυμῶσα.
[16] Th. et cod. Par. ῥυσσῶσα.
[17] Cod. Vat. καὶ pro τό.
[18] Th. σοφίξῃ.
[19] Cod. Vat. νήσον.
[20] Cod. Vat. λίγυσμα.

Κυρτουμένη τε[1] κἂν δοκῇς ὀρθουμένη[2]!
Ὦ γραῦς[3], πάλιν γραῦς καὶ πάλιν γραῦς, καὶ πάλιν[4],
Αἶσχος παλαιὸν, ἀρχαϊκὴ κακία!
Τί ταῦτα ποιεῖς; αὖθις εἰς πόθους ῥέπεις[5]·
Ἐρωτοληπτεῖς, ἀφροδίσια[6] πνέεις·
Καὶ μὴν ἔδει σε τοῦτο[7] συνιδεῖν τέως,
Ὡς πάντα καλὰ τῷ προσήκοντι χρόνῳ.
Χρόνῳ τρυγᾷς τὸν βότρυν ἐκ τῆς ἀμπέλου,
Χρόνῳ δρεπάνην εἰς τὸν ἄσταχυν φέρεις·
Τὸ βάλσαμον, τὸ κρίνον ἡ χλόη χρόνῳ[8].
Οἶνος νεάζων καὶ σφριγῶν ἀναζέει[9],
Καὶ ῥηγνύει τὸν πίθον[10] ἐξ ἀταξίας·
Νέος γὰρ ὢν[11] πέπονθε καὶ τὰ[12] τῶν νέων·
Ἀλλ' εἰς τὸ γῆρας καὶ τὸν ἔσχατον χρόνον
Καθίσταται μὲν εἰς ἑαυτὸν εὐφρόνως[13],
Συστέλλεται δὲ καὶ φρονεῖ καθὼς[14] γέρων.
Σὺ δὲ προβᾶσα[15] τὰς ὅλας ἡλικίας,
Τὴν δὲ τρίχα[16] φθάσασα τὴν γηραιτάτην,
Ἐλθοῦσα[17] δ' ἐγγὺς τῆς θανασίμου πύλης,
Καὶ τῆς βοῆς κλύουσα[18] τῶν Ἐριννύων

[1] Th. et cod. Vat. omittunt τε.

[2] Th. et cod. Vat. αἰδουμένη. Cod. Paris. ὀρθουμένη et supra αἰδ.

[3] Th. et codex Paris. ὦ γραῦς καὶ πάλιν γρ. καὶ π. γρ. πάλιν.

[4] γραῦς καὶ πάλιν deest in Th.

[5] Cod. Vat. βλέπεις.

[6] Cod. Par. ἀφροδισίων.

[7] Th. τοῦτῳ (*sic*).

[8] Pro χρόνῳ cod. Paris. κρίνῳ.

[9] Th. et cod. Vatic. ἅμα ζέει (Th. ξέει).

[10] Cod. Paris. πύθον.

[11] Th. ἂν pro ὤν.

[12] Cod. Vat. τὴν τῶν νέων.

[13] Th. et cod. Vat. σωφρόνως.

[14] Cod. Paris. καθά.

[15] Cod. Vat. προβῆσα.

[16] Th. et cod. Vatic. τὴν δ' ἐσχάτην. V. clar. Boisson. *Anecd. nov.* p. 91, cogitat de legendo τρύγα, quum præcesserit comparatio vini.

[17] Cod. Paris. ἐλθοῦσα σ' ἐγγύς.

[18] Cod. Vat. ἐκλύουσα.

Καὶ τῆς ὑλακῆς τοῦ κυνὸς τοῦ Κερβέρου,
Ἔτι σχολάζεις οἷς νεάνιδες κόραι,
Καὶ τὰς παρειὰς τῷ φύκει[1] περιχρίεις.
Παπαῖ τάλαινα τῆς φιλαφροδισίας!
Παπαῖ παραπλὴξ τῆς ἐρωτοληψίας!
Θνήσκων[2] ὁ τέτλιξ[3] μουσικώτερον λέγει,
Καὶ σὺ πρὸς αὐταῖς ταῖς πνοαῖς[4] ταῖς ἐσχάταις
Στολὴν στολίζῃ[5] τὴν ἑταιρικωτέραν[6]·
Χρυσαῖς δὲ κοσμεῖς σφενδόναις τοὺς δακτύλους,
Ὡς ἂν λάβῃς θήραμά τινας τῶν[7] νέων
Ἰδόντας[8] εἰς τὸν κόσμον, οὐκ εἰς τὸν χρόνον.
Καὶ τίς τοσοῦτον ἀφρονέστατος νέος
Ὡς καρτερῆσαι κανθάρῳ προσεγγίσαι[9],
Κἂν εἰ μύροις πάττοιτο[10] πᾶν τὸ[11] σαρκίον;
Ἢ τίς φάγοι μέλιτι[12] συμμιγῆ κόπρον,
Ἢ χρυσοπάστῳ συζυγῆ[13] δελφακίῳ,
Εἰ μὴ βλαβείη[14] τόν τε νοῦν καὶ τὰς φρένας;
Οὐκ ἐξαμείβειν οἶδε τέχνη τὴν φύσιν,
Κἂν πάντα κινήσειεν, ὡς λόγος, κάλων,
Καὶ πάντας ἐξεύροιτο μηχανῆς τρόπους·
Οὐδὲ γραὸς πρόσωπον ἀσβόλης γέμον
Φρονῶν τις ὠνήσαιτο κἂν τριωβόλου.

[1] Cod. Vat. τῷ φύλλε.

[2] Th. θνήσκαν.

[3] Cod. Vat. τέτιξ.

[4] Th. et cod. Vat. ἐκπνοαῖς pro ταῖς πνοαῖς. Conf. Boisson. *Anecd. gr.* t. IV, p. 275.

[5] Cod. Vat. στολίζει.

[6] Cod. Paris. ἑταιρικωτάτην.

[7] Th. et cod. Vat. τῶν τινας.

[8] Cod. Paris. εἰδόντας.

[9] Th. προσεγγίσας.

[10] Codex Parisin. πάτοιτο, et supra πάττοιτο.

[11] Cod. Vat. τὸ πᾶν.

[12] Cod. Paris. μέλι τι συμμιγὲν κόπρῳ.

[13] Cod. Paris. συζυγεῖ.

[14] Cod. Paris. λαβείη.

Πάλαι ϖοτ' ἦς χρήσιμος ἴσως εἰς ἔρον[1],
Πάλαι ϖοτ' ἦς ἔρωτος ἀνθρώποις δέλος[2]
Κρύπτον τὸ κέντρον[3] τῆς κακῆς ἀγκιστρίδος[4].
Νῦν ϖορνοβόσκει, νῦν ϖροαγωγὸς γίνου.
Οὐδὲν γὰρ ἄλλο τῷ χρόνῳ τῷ σῷ ϖρέπει,
Καὶ μᾶλλον εἰπεῖν τῷ βίῳ καὶ τῷ τρόπῳ.
Ἀλλ' οὐ θέλεις; καὶ βρῶμα τοῖς λύκοις γίνου.
Φθάρητι[5] κακοῖς τῶν κακῶν ἢ[6] κακίων,
Ἔῤῥ' ἐς κόρακας, ἔῤῥε ϖρὸς τὸν Πλουτέα.
Μὴ μέλλε Κλωθὼ, κόψον[7] ὀψὲ τὸν μίτον.
Ὁ νεκροπομπὸς τὴν ταλαίπωρον δέχου·
Ὁ νεκροπορθμεὺς ναυστόλει τὴν ϖρεσβύτιν.
Μὴ μέλλε Ῥαδάμανθυ, μηδ' ὁ Κρὴς Μίνως·
Δεῦτε κρινοῦντες τὴν ϖολιὰν[8] μαχλάδα
Οὐκ ἀπορῆτε[9] μαρτύρων κατηγόρων·
Αὐταὶ κλίναι[10] βοῶσιν, αὐταὶ λυχνίαι[11]·
Ὅμως[12] ἀπέστω καὶ κλίνη καὶ λυχνία·
Τὰ στίγματα κράζουσιν ἀντὶ στεντόρων,
Καὶ μαρτυροῦσι τὸν βίον τῆς ϖεμπέλου[13].
Τί γοῦν ϖάθοι[14], καὶ τίνος εὐθύνης τύχοι;
Πολλαὶ ϖαρ' ὑμῖν[15] τῶν βασάνων ἰδέαι,
Πολλοὶ κολασμῶν καὶ διάφοροι τρόποι·

[1] Th. et cod. Vat. ἔριν. Cod. Paris. ὡς ἔρον.

[2] Th. et cod. Vat. βέλος.

[3] Cod. Vat. κέντριν.

[4] Vox nota ex nostro solum.

[5] Th. φθάρηθι κακῶς.

[6] Th. σὺ pro ἤ.

[7] Cod. Vat. κύψον.

[8] Th. ϖαλαιάν.

[9] Th. ἀπορεῖτε.

[10] Cod. Vat. κλίνας.

[11] Cod. Vat. κιχνίαι.

[12] Cod. Vat. ὅλως et ex corr. ὅμως.

[13] Cod. Vat. ϖαμπέλου.

[14] Cod. Vatic. ϖάθη — τύχη. Conf. Boisson. *Anecd. nov.* p. 71.

[15] Th. male γὰρ pro ϖαρ' ἡμ. Cod. Paris. ϖαρ' ἡμῶν.

Εἴς δὲ πρέπει μάλισθα τοιαύτη[1] κρίσει·
Τῷ γὰρ παλαιῷ καὶ γέροντι Κερβέρῳ
Ἡ γραῦς δοθήτω καὶ δότω τὰς εὐθύνας[2]·
Καίτοι πρὸς οὕτως ὀσθρακωθὲν σαρκίον
Ἐξασθενήσει καὶ τὸ Κερβέρου σθόμα.

XCI. Ἀναφορὰ Φιλῇ[3].

Ἐγὼ μὲν ἐλθὼν ἀπὸ τῆς Βυζαντίδος
Εἶδον τὸ σὸν πρόσωπον ἀνθοῦν ὡς ῥόδον,
Καὶ τῶν ἀηδῶν ἐκπεφευγὼς τὸ ψύχος
Τῇ καρδίᾳ προὔθηκα λαμπρὰν αἰθρίαν·
Μᾶλλον δὲ παρεὶς τὴν πυρὰν τοῦ νῦν θέρους
Ἐμαυτὸν ἐδρόσισα[4] τοῖς ῥήμασί σου.
Σὺ δ' ὡς μεγαλόδωρος, ὦ νοῦ γεννάδα,
Καὶ τῶν λεόντων σκύμνε τῆς κραταρχίας,
Δίφρον παρασχὼν ἐκδρομῆς ἱπποκρότου[5],
Καὶ τὴν τρίβον πόῤῥωθεν ἐξομαλίσας,
Ὑποσθρέφειν κέλευε τῷ πνέοντί σε·
Οἱ γὰρ φάγοι κώνωπες ἀλγύνουσί με
Προβοσκίσι πλήτθοντες ἐκτόπως λάλοις·

[1] Th. et cod. Vat. *τοιαύτη τῇ κρίσει*, contra metrum.

[2] Cod. Vat. *εὐθήνας*.

[3] Carm. XCI, XCII, XCIII ex cod. Vat. 714, fol. 336 v°.

[4] Cod. Paris. CCXLI, 19 : *Ψιλοῦ τέως ῥήματος ὀμβρίσας δρόσον*.

[5] Hanc vocem ignorant lexica, quibus adde : *Ἱππηνίοχος*, cod. Par. 975, A, Schol. in Greg. Naz. p. 609, A : *Οἶκος δὲ ἦν πολυτελῶς κατεσκευασμένος, ἔνθα τοὺς ἵππους ἐξεύγνυον οἱ ἱππηνίοχοι· εἰς ὃν φιλιππόδρομοι παρεγίνοντο.* — *Ἱπποβατέω* codex Parisinus, 2322, fol. 57 v°. — *Ἱπποδρομέω* Theod. Prodr. VIII, 33, *Bibl. Patr.* Mai t. VI, p. 405 : *Πόσους πεζεύσας ποταμούς, πόσους ἱπποδρομήσας.* — *Ἱπποϊατρική* Meliten. v. 1340. Formam *ἱπποΐατρος* pro *ἱππίατρος* affert *Thesaurus*. — *Ἱπποφαγία*, Theod. Prod. II, 24 ed. Mai : *Ὡς ἅψασθαι καὶ μιαρᾶς αὐτὸν ἱπποφαγίας.* Addam et *Μονόϊππος* ex cod. Par. Suppl. 497, fol. 192 r°.

Καὶ τοὺς κε.φ.[1] δάκνοντας οὐ φέρων κνίπας,
Καὶ τὴν ὑποβρέμουσαν ἑσπέρας φλόγα,
Μᾶλλον δὲ τὴν ὕποπτον ὁρμὴν τῶν λόγων[2],
Παλινδρομεῖν ἐντεῦθεν ἐκβιάζομαι.

XCII.

Ἀσκήσεως πέπτωκεν ὁ στεῤῥὸς στύλος·
Στυλιανὸς γὰρ τὸν βίον καταστρέφει.

XCIII.

Τάττει Θεός σοι τοὺς πόδας τεθνηκότι
Εἰς συντέλειαν Ἀμβακοὺμ, καθὼς ἔφης.

XCIV[3]. Τοῦ αὐτοῦ (Φιλῆ) εἰς τὴν κοίμησιν.

Θεὸς[4] ἐπὶ γῆς μὴ τελευταία κρίσις·
Οὐκοῦν γέρας δὲ[5] μητρικῆς ταφῆς τόδε.

XCV. Στίχοι ἰαμβικοὶ Φιλοπόνου τινὸς εἰς τὸν κανόνα τοῦ μεγάλου σαββάτου[6].

Βουλὴν Ἰωσὴφ χρηματίζει τὴν ἄνω,
Καὶ Νικόδημος τὴν θέσιν τε τὴν κάτω,
Ὁ μὲν Θεοῦ κένωσιν οἷσπερ ἐνδύει,
Ὁ δὲ βροτῶν θέωσιν οἷσπερ ἐγχρίει[7]·
Ὅμως τὸ καινὸν θαῦμα θάπτοντες πόθῳ
Ἐκ τοῦ ξύλου λύουσιν, οὐκ ἐκ τοῦ κράτους.

[1] Sic in cod. An voluit *κέπφους*? Sed metrum vitiatur. Fort. *κενούς*. An *κελούς*. In *Thesauro* Κελὸς affertur sine exemplo pro Niger, *μέλας*; qui et *κελαινός*. Sed hæc mihi non placent. Dativum vel adverbium hic cum *δάκνοντας* exspectes.

[2] Forsan *λόχων*.

[3] Carm. XCIV, et XCVI ex cod. Vatic. 914, fol. 189 r°.

[4] Hæc non sana videntur.

[5] Forsan leg. *δή*.

[6] Cod. Vat. 573, fol. 72 r°.

[7] Cod. *χρίει* et *λύσιν*.

XCVI. Εἰς δακτύλιον τοῦ βασιλέως.

Λίθος χλοάζων πέντε βοῦς δοκεῖ τρέφειν.

XCVII[1].

Θεὸς τὸ διτλὸν οὐκ ἔχων[2] τῶν πνευμάτων
Φέρει[3] τὸ τριτλὸν οὐδενὸς τῶν σωμάτων·
Αὐτὸς μετασχὼν οὐ ῥεούσης τετράδος
Αἰσθήσεων[4] πέφυκεν ἔξω πεντάδος·

Θεὸς τὸ διτλὸν] Θέλων δεῖξαι ὁ σοφὸς οὑτοσὶ καὶ γεννήτωρ τούτου τοῦ λόγου ὡς ἀσώματος ὁ θεὸς καὶ ἀνείδεος, καὶ πόῤῥω πάντη σωματικῆς διαπλάσεως καὶ συστάσεως, φησὶν οὑτωσί· ὁ θεὸς ὁ πάντων δημιουργὸς, ἡ ἄϋλος καὶ ἀσώματος καὶ ἀκατάληπτος φύσις τὸ διτλὸν τῶν πνευμάτων οὐκ ἔχει. Τί ἐστι διτλὸν τῶν πνευμάτων; τὰ δύο πνεύματα δηλονότι· ποῖα ταῦτα; ἡ ψυχὴ καὶ ἡ ἀναπνοή· πνεῦμα γὰρ καὶ ἡ ψυχὴ, πνεῦμα καὶ ἡ ἀναπνοή. Ταῦτα δὲ σώματα ὄντα ἐπὶ θεοῦ ἀσεβὲς εἰπεῖν· ὁ γὰρ θεὸς οὔτε ψυχὴν ἔχει, οὔτε ἀναπνοήν.

Ἔχει τὸ τριτλὸν] Ἀλλ' οὐδενός φησι τῶν σωμάτων ἔχει τὸ τριτλὸν ὁ θεός· ποῖον δέ ἐστι τὸ τριτλὸν τῶν σωμάτων; τὸ τριμερὲς τῆς ψυχῆς, οἷον τὸ θυμητικὸν, τὸ ἐπιθυμητικὸν καὶ τὸ λογιστικόν[5]· ταῦτα δ' ἐπὶ θεοῦ τολμηρὸν καὶ ἄτοπον εἰπεῖν.

Αὐτὸς μετασχὼν]... τετράδα φησὶ τὴν πρὸς τὰ ἄνω τοῦ σώματος ἤγουν τῆς κεφαλῆς θέσιν, καὶ κεῖσθαι πρὸς τοὺς πόδας καὶ πρὸς τὰ ἔμπροσθεν τῆς κοιλίας, καὶ πρὸς τὰ ὄπισθε τῶν νώτων· ταῦτα γὰρ τέτταρα εἰσὶν ἐν τῇ τοῦ σώματος διαπλάσει, ἄνω, κάτω, ἔμπροσθεν, ὄπισθεν· ῥέουσαν δὲ ταύτην εἶπεν, ὡς ῥεομένην καὶ φθειρομένην καὶ ἐλαττονουμένην ἢ νόσῳ ἢ γήραϊ.

Αἰσθήσεων πέφυκεν] Οὐδὲ τὰς πέντε αἰσθήσεις ἔχει θεὸς, φησίν· αὗται γὰρ σωμάτων εἰσί.

[1] Cod. Vat. 573, fol. 27 r° et rursus 86 r°; et codex Paris. 887, fol. 1 v°. Habet et codex Paris. 1295, fol. 8 v°, cum interpretatione quam hic edimus. In codd. anepigraphum, sed Philæ adscribendum videtur.

[2] ἔχει codd. Paris.

[3] ἔχει cod. Paris. 1295.

[4] ἐσθησέων cod. Vat. in priori transcriptione.

[5] De eadem divisione conf. Meliten. v. 465.

Κίνησιν οὐ πάσχων[1] δὲ διπλῆς ἑξάδος
Φέρει τὸ σεπτὸν τῆς ἀρίστης ἑπτάδος[2].

Κίνησιν οὐ πάσχων] Διπλῆν ἑξάδα λέγει τὰ τῆς ψυχῆς καὶ σώματος ἴδια· ποῖα ταῦτα; τοῦ μὲν σώματος ταῦτα· τὰ τῆς κεφαλῆς, τὰ τῶν ποδῶν, τὰ νῶτα, τὰ τῆς κοιλίας, τὰ δεξιὰ πλευρὰ καὶ τὰ ἀριστερά· τὰ δὲ τῆς ψυχῆς ταῦτα· δόξα, φαντασία, νοῦς, λογισμὸς, διάνοια καὶ ὁ κατὰ προφορὰν λόγος. Ταῦτα γοῦν σωμάτων ὄντα ἐπὶ Θεοῦ οὐ πέφυκεν.

Φέρει τὸ σεπτὸν] Ἤγουν ἔχει μόνα τὰ ἑπτὰ χαρίσματα τοῦ παναγίου Πνεύματος, ἅπερ Ἠσαΐας φησίν.

[1] *οὐκ ἔχει* cod. Paris. 887. — [2] *ἑβδόμης* cod. Vat.

MANUELIS PHILÆ
CARMINA.

V.

APPENDIX.

APPENDIX.

I[1]. Τοῦ σοφωτάτου Φιλῆ μετάφρασις τῶν οἴκων τῆς ὑπεραγίας Θεοτόκου. Κοντάκιον.

Σοὶ τῇ στρατηγῷ τῶν βροτῶν ὑπερμάχῳ
Τὸν εὐχαριστήριον, ἁγνὴ παρθένε,
Εἴτουν ἐπινίκιον ὡς δοῦλος πλέκω,
Ῥυσθεὶς διὰ σοῦ τῶν κακῶν τῶν ἐν βίῳ·
Τὸ γοῦν ἀπροσμάχητον αὐχοῦσα κράτος
Πολυτρόπων αὖθίς με κινδύνων ῥύου.
Ἄνωθεν[2] ἐλθὼν ἄγγελος πρωτοστάτης,
Τὸ Χαῖρε φησὶ τῇ Θεοῦ λοχευτρίᾳ·
Ὁμοῦ δὲ φωνῇ μὴ σεσωματωμένῃ
Σεσωματωμένον σε τὸν Λόγον βλέπων,
Ἐκστατικῶς ἵστατο κραυγάζων τάδε[3]·
Ὦ χαῖρε· καὶ γὰρ τῆς χαρᾶς τὸ φῶς βλύσεις·
Ὦ χαῖρε· καὶ γὰρ τῆς ἀρᾶς τὸ πῦρ σϐέσεις·
Ὦ χαῖρε, δι' ἧς Ἀδὰμ ἐξανίσταται,
Καὶ τῶν ὀδυρμῶν ἡ σύνοικος λύεται·
Ὕψος δυσανάβατον ἀνθρώπων γένει,
Βάθος δυσεξάγγελτον[4] ἀγγέλων φύσει,
Ναὶ χαῖρε, ναὶ καθέδρα τοῦ βασιλέως
Φέρουσα τὸν φέροντα χειρὶ τὴν κτίσιν[5],

[1] Ex cod. Escur. I. R. 19. Cf. *Catalog.* meum, p. 16. Contuli cum codice Paris. 2748, fol. 148 v°. in quo legitur : *Ψυχὴ θύοιτο μᾶλλον ἢ τὸ πᾶν Θεῷ. Ὦ τίς φυλάξῃ ταῦτα καὶ σωθήσεται;* In cod. Paris. 2075, fol. 24 r°, paraphrasis hujus Philæ poematioli, cujus deest initium. In indice græco : *Οἱ οἶκοι τῆς ὑπεραγίας Θεοτόκου.*

[2] In marg. codex Escurial. *Ἄγγελος πρωτοστάτης.*

[3] Codd. *ταῦτα.*

[4] Conf. cod. Paris. x, 78.

[5] Cod. Escur. *κτῆσιν.*

Ἀσῖὴρ νοῦ τε[1] δεικνύων τὸν ἥλιον,
Γασῖὴρ ἀπαθὴς ἐνθέου σαρκωσέως.
Ὦ χαῖρε· καὶ γὰρ σὺ νεουργεῖς τὴν φύσιν,
Ἣ νῦν διὰ σοῦ προσκυνεῖ τὸν δεσπότην!
Ὦ χαῖρε, νύμφη γαμικῶν ἔργων δίχα!
Βρύουσα[2] καλοῖς παρθενικοῖς ἡ κόρη
Τῷ Γαβριὴλ ἔφασκε θαῤῥούντως τάδε·
Τὸ παράδοξον ὧν ἔφης μηνυμάτων
Δυσπαράδεκτον[3] ἐσῖί μου τῇ καρδίᾳ·
Συλλήψεως γὰρ τὴν κύησιν ἀσπόρου
Κράζων προκατήγγειλας ἀλληλούϊα.
Γνῶναι θέλουσα[4] γνῶσιν οὐκ ἐγνωσμένην
Ἡ Μαριὰμ ἔφασκε τῷ πρωταγγέλῳ·
Ἐξ ἀσπόρων, βέλτισῖε, λαγόνων γόνον
Οἷόν τε μοὶ πῶς ἐσῖὶ τεχθῆναι φράσον,
Πρὸς ἣν ἐκεῖνος εἶπεν αἰδοῖ καὶ τρόμῳ·
Ὦ χαῖρε, βουλῆς μυσῖικῆς μύσῖις ξένη!
Ὦ χαῖρε, σιγῆς ἐνδεῶν πίσῖις μόνη!
Ὦ τῶν Ἰησοῦ θαυμάτων προοίμιον!
Ὦ τῶν κατ' αὐτὸν δογμάτων τὸ βέλτιον,
Γέφυρα πορθμεύουσα τοὺς βροτοὺς ἄνω,
Ἄλλη κλίμαξ φέρουσα τὸν θεὸν κάτω!
Ὦ καὶ πολυθρύλλητον ἀγγέλων τέρας!
Ὦ καὶ πολυθρήνητε[5] δαιμόνων σκόλοψ[6]!

[1] Syllaba deest. Fort. ἀσῖὴρ νεουργέ.

[2] In marg. codex Escur. Βλέπουσα ἡ ἁγία.

[3] German. Cpolit. cod. Coisl. 278, fol. 206 r°: Οὐκ οἶδα δ' εἰ καὶ φύσιν ἔχει ἀληθινὴν μυρμηκολέων τὸ τέρας, καὶ ἐπαληθεύειν ἐγώ φημι τὸ δύσπισῖον τοῦτο καὶ δυσπαράδεκτον ἐμὲ εἶναι τὸν ἄνθρωπον.

[4] Cod. Esc. θέλουσαν. In marg. Γνῶσιν ἄγνωσῖον.

[5] Conf. cod. Flor. CLIX, 6. Hic incipit paraphrasis in cod. Paris.

[6] Cod. Esc. σκόλωψ.

Ὦ φῶς τὸ θεῖον ἀσπόρως[1] γεννήσασα,
Καί πως τὸ καινὸν μηδόλως διδάξασα!
Ὦ χαῖρε, τοῦ νοῦ τῶν σοφῶν ὑπερτέρα!
Ὦ χαῖρε, πισΊῶν ἀγλαΐζουσα φρένας!
Ὦ χαῖρε, νύμφη γαμικῶν ἔργων δίχα!
 Δύναμις[2] ἦλθεν ὑψόθεν τῇ παρθένῳ
Πρὸς τὴν ξένην σύλληψιν αὐτῆς ἐκτάδην·
Νηδὺν δὲ τὴν ἔγκαρπον αὐτῆς εὐθέως
Ὡς ἡδὺν ὠργάνωσεν[3] ἀγρὸν ἐν θέρει
Τοῖς τὸν σΊάχυν τέμνουσι τῆς σωτηρίας,
Ἐκ τοῦ βοᾶν τὸν ὕμνον ἀλληλούϊα.
 Ἔχουσα[4] μήτραν ἡ κόρη θεοτρόφον
Ἔσπευδεν[5] ἐλθεῖν ἄχρι τῆς Ἐλισάβετ·
Ἧς τὸ ξένον[6] φίλημα συνὲν τὸ βρέφος
Ἅλμασιν ὡς ᾄσμασιν εὐθὺς ἐκρότει,
Καὶ τερφθὲν ἐψέλλιζε πρὸς τὴν παρθένον.
Ὦ χαῖρε, φυῆς κλῆμα[7] τῆς ζωηφόρου!

. . . . . . .πολυθρήνητον τραῦμα! Χαῖρε, τὸ φῶς ἀῤῥήτως γεννήσασα! Χαῖρε, τὸ πῶς μηδένα διδάξασα! Χαῖρε, σοφῶν ὑπερβαίνουσα γνῶσιν! Χαῖρε, πισΊῶν καταυγάζουσα φρένας! Χαῖρε, νύμφη ἀνύμφευτε!

Δύναμις τοῦ ὑψίσΊου ἐπεσκίασε τότε πρὸς σύλληψιν τῇ ἀπειρογάμῳ καὶ τὴν εὔκαρπον ταύτης νηδὺν ὡς ἀγρὸν ὑπέδειξεν ἡδὺν ἅπασι τοῖς θέλουσι θερίζειν σωτηρίαν, ἐν τῷ ψάλλειν οὕτως· Ἀλληλούϊα.

Ἔχουσα θεοδόχον ἡ παρθένος τὴν μήτραν ἀνέδραμε πρὸς τὴν Ἐλισάβετ· τὸ δὲ βρέφος ἐκείνης εὐθὺς ἐπιγνοῦν τὸν ταύτης ἀσπασμὸν ἔχαιρε καὶ ἅλμασιν ὡς ᾄσμασιν ἐβόα πρὸς τὴν θεοτόκον· Χαῖρε, βλα-

[1] Conf. cod. Paris. IX, 89.

[2] In margine codex Escur. Δύναμις τοῦ ὑψίσΊου.

[3] Codex Paris. ὡς ἡδὺν ὑπέδειξεν. Cod. Escur. ὡς αὐτὸν ὀργάνωσεν.

[4] In marg. cod. Escur. Ἔχουσα θεοδόχον.

[5] Cod. Escur. ἔσπευσεν.

[6] Cod. Escur. σεμνόν.

[7] Cod. Escur. κλίμα.

Ὦ χαῖρε, καρποῦ κτῆμα τοῦ κοσμοτρόφου!
Ὦ καὶ γεωργὸν ἡ κύουσα[1] κύριον!
Ὦ καὶ φυτουργὸν ἡ φύουσα τίμιον,
Ἄρουρα βλαστάνουσα μακροθυμίαν,
Τράπεζα βαστάζουσα φιλανθρωπίαν!
Ὦ χαῖρε λειμὼν τῆς τρυφῆς τῆς ἐνθέου[2]!
Ὦ χαῖρε λιμὴν τῶν ψυχῶν τῶν ἐν ζάλῃ!
Ὦ χαῖρε δεκτὸν ἱκέτου θυμίαμα[3]!
Ὦ χαῖρε κόσμου παντὸς ἱλαστήριον!
Ὦ χαῖρε Χριστοῦ πρὸς βροτοὺς εὐστοργία!
Ὦ χαῖρε θνητῶν πρὸς Θεὸν παῤῥησία!
Ὦ χαῖρε νύμφη γαμικῶν ἔργων δίχα!
Ζάλης[4] λογισμῶν ἔνδον ἀστάτων γέμων
Δεινὴν ταραχὴν εἶχεν ὁ μνήστωρ τέως·
Κλεψίγαμον γὰρ τὴν ἄγαμόν σε κρίνων
Ἤσχαλλεν[5]· ὡς δ' ἔγνωκε[6] τουτὶ τὸ ξένον

στοῦ ἀμαράντου κλῆμα. Χαῖρε καρποῦ ἀκηράτου κτῆμα. Χαῖρε γεωργὸν γεωργοῦσα φιλάνθρωπον. Χαῖρε φυτουργὸν τῆς ζωῆς ἡμῶν φύουσα. Χαῖρε ἄρουρα βλαστάνουσα εὐφορίαν οἰκτιρμῶν. Χαῖρε τράπεζα βαστάζουσα εὐθηνίαν ἱλασμῶν. Χαῖρε ὅτι λιμένα τῶν ψυχῶν ἑτοιμάζεις. Χαῖρε ὅτι λειμῶνα τῆς τρυφῆς ἀναθάλλεις. Χαῖρε δεκτὸν πρεσβείας θυμίαμα. Χαῖρε παντὸς τοῦ κόσμου ἐξίλασμα. Χαῖρε Θεοῦ πρὸς θνητοὺς εὐδοκία. Χαῖρε θνητῶν πρὸς Θεὸν παῤῥησία. Χαῖρε νύμφη ἀνύμφευτε.

Ζάλην ἔνδοθεν ἔχων λογισμῶν ἀμφιβόλων ὁ σώφρων Ἰωσὴφ ἐταράχθη

[1] Cod. Par. κυήσασα pro κύουσα.

[2] Ex paraphrasi versus 66 post 67 ponendus videtur.

[3] Anon. cod. Paris. 1087, fol. 113 r°: Ψυχὴ, μὴ ἀπολέσῃς σαυτὴν εἰς τὸ συνάξαι χρήματα διὰ τὴν τῶν συγγενῶν καὶ ἀδελφῶν θεραπείαν· καὶ ἔσῃ ὥσπερ τὸ θυμίαμα τὸ εὐωδιάζον ἑτέρους, ἑαυτὸ δὲ καῖον.

[4] In marg. codex Escur. Ζάλην ἔνδοθεν ἔχων. Conf. cod. Paris. v, 10.

[5] Cod. Escur. ἤσχαλεν. Cod. Paris. ἤσχαλεν et supra ἤσχαλλεν.

[6] Cod. Paris. ἔμαθε.

Ἐξ ἁγίου Πνεύματος ἐν σοὶ τυγχάνειν,
Πρεσβυτικῶς[1] ἔψαλλεν ἀλληλούϊα.
Ἤκουσαν[2] ᾠδῆς ἀγγέλων οἱ ποιμένες,
Οἳ καὶ[3] δραμεῖν σπεύσαντες ὡς πρὸς ποιμένα
Ἄμωμον αὐτὸν εἶδον ἀμνὸν τὸν Λόγον,
Ἐν γαστρὶ βοσκηθέντα σεμνῆς παρθένου,
Καὶ τὸ ξένον μέλποντες εὐθὺς ἐκρότουν·
Ὦ μῆτερ ἀμνοῦ[4] τοῦ Λόγου καὶ ποιμένος!
Ὦ χαῖρε σηκὲ τῶν λογικῶν θρεμμάτων!
Ὦ καὶ νοητοῦ θηρὸς ἀμυντήριον,
Καὶ παραδείσου πτυχὸς ἀνοικτήριον[5]!
Ὦ χαῖρε φαιδρὸν οὐρανοῦ καὶ γῆς τέρας!
Ὦ χαῖρε λαμπρὸν γῆς τε καὶ πόλου γέρας,
Ὁ μὴ σιωπῶν τῶν ἀποστόλων τόμος,
Ὁ μαρτυρικὸς κατὰ τῆς πλάνης τόνος,
Ἔρεισμα[6] σεπτὸν[7] τῆς ἀμώμου πίστεως,

πρὸς τὴν ἄγαμόν σε θεωρῶν, καὶ κλεψίγαμον ὑπονοῶν, ἀμέμπτε· μαθὼν δὲ σοῦ τὴν σύλληψιν ἐκ Πνεύματος ἁγίου ἔφη ἀλληλουΐα.

Ἤκουσαν οἱ ποιμένες τῶν ἀγγέλων ὑμνούντων τὴν ἔνσαρκον Χριστοῦ παρουσίαν, καὶ δραμόντες ὡς πρὸς ποιμένα θεωροῦσι τοῦτον ὡς ἀμνὸν ἄμωμον ἐν τῇ γαστρὶ Μαρίας βοσκηθέντα, ἣν ὑμνοῦντες εἶπον· Χαῖρε ἀμνοῦ καὶ ποιμένος μήτηρ. Χαῖρε αὐλὴ λογικῶν προβάτων. Χαῖρε ἀοράτων ἐχθρῶν ἀμυντήριον. Χαῖρε παραδείσου θυρῶν ἀνοικτήριον. Χαῖρε ὅτι τὰ οὐράνια συναγάλλεται τῇ γῇ. Χαῖρε ὅτι τὰ ἐπίγεια συγχορεύει οὐρανοῖς. Χαῖρε τῶν ἀποστόλων τὸ ἀσίγητον στόμα. Χαῖρε τῶν ἀθλοφόρων τὸ ἀήττητον θράσος. Χαῖρε στερρὸν τῆς πίστεως ἔρεισμα. Χαῖρε

[1] Cod. Paris. *μετὰ δέους* pro *πρεσβυτικῶς*. Conf. infra v. 250 et cod. Escur. XXIV, 5.

[2] In marg. codex Escur. *Ἤκουσαν οἱ ποιμένες*.

[3] Codex Escurialensis *οἶκον*. Post 79 versus deest ut apparet ex verbis paraphrasis.

[4] Cod. Paris. *ἁγνὴ* pro *ἀμνοῦ*.

[5] Cod. Escur. *ἀνοικητήριον*.

[6] Codd. *ἔρισμα*.

[7] Cod. Escur. *πιστῶν*.

Γνώρισμα καινὸν τῆς ἀπείρου χάριτος!
Ὦ χαῖρε δι' ἧς πᾶς[1] ἐγυμνώθη τάφος!
Ὦ χαῖρε δι' ἧς ἐνδεδύμεθα κλέος!
Ὦ χαῖρε νύμφη γαμικῶν ἔργων δίχα!
Θεοδρόμου[2] τυχόντες ἀσ7έρος μάγοι
Εἵποντο καὶ κρατοῦντες αὐτὸν ὡς λύχνον
Βασιλέα κράτισ7ον ἠρεύνων τότε·
Φθάντες δὲ τὴν ἄφθασ7ον ἀσμένως φύσιν,
Καὶ τοῦτο σαφῶς ἐκπλαγέντες τὸ ξένον,
Ὁμοφρόνως ἔψαλλον ἀλληλούϊα.
Ἰδόντες[3] αὐτὸν ἐν χεροῖν τῆς παρθένου,
Τὸν δημιουργήσαντα χειρὶ τὴν φύσιν,
Ἄνακτα κεκρίκασι Χαλδαίων γόνοι,
Δώροις δὲ τιμήσαντες αὐτὸν ἐκρότουν[4],
Κἂν δουλικὴν εἴληφε μορφὴν ἀσπόρως.
Ὦ χαῖρε μῆτερ οὐ δύνοντος ἀσ7έρος!
Ὦ χαῖρε λαμπὰς τῆς νοητῆς ἡμέρας!

λαμπρὸν τῆς χάριτος γνώρισμα. Χαῖρε δι' ἧς ἐγυμνώθη ὁ Ἅδης. Χαῖρε δι' ἧς ἐνεδύθημεν δόξαν. Χαῖρε νύμφη ἀνύμφευτε.

Οἱ θεοδρόμον ἀσ7έρα θεωρήσαντες μάγοι τῇ τούτου ἠκολούθησαν αἴγλῃ, καὶ ὡς λύχνον κρατοῦντες αὐτὸν, δι' αὐτοῦ ἠρεύνων κραταιὸν ἄνακτα· καὶ φθάσαντες τὸν ἄφθασ7ον ἐχάρησαν αὐτῷ βοῶντες ἀλληλούϊα.

Ἴδον (sic) παῖδες Χαλδαίων ἐν χερσὶ τῆς παρθένου τὸν πλάσαντα χειρὶ τοὺς ἀνθρώπους, καὶ δεσπότην νοοῦντες αὐτὸν, εἰ καὶ δούλου ἔλαβε μορφὴν, ἔσπευσαν τοῖς δώροις θεραπεῦσαι καὶ βοῆσαι τῇ εὐλογημένῃ· Χαῖρε ἀσ7έρος ἀδύτου μήτηρ. Χαῖρε αὐγὴ μυσ7ικῆς ἡμέρας. Χαῖρε τῆς

[1] Cod. Paris. πῶς.

[2] In marg. codex Escur. Θεοδρόμον ἀσ7έρα. Theod. Stud. *Iamb.* p. 574 : Τάγμα τῶν θεοδρόμων βίων.

[3] In marg. codex Escur. Ἴδον παῖδες Χαλδαίων.

[4] Ex paraphrasi fort. v. 106 post 107 ponendus est.

Ὦ τῆς ἀπάτης τὴν κάμινον[1] λύσασα,
Καὶ τῆς Τριάδος τὴν χάριν τρανώσασα!
Ἐξήλασας γὰρ τὸν τετυραννηκότα[2],
Καὶ δεσπότην εὔσπλαγχνον εἰσῆξας μόνη,
Θρησκευμάτων ἔλεγχε παντὸς βαρβάρου,
Καὶ πρακτέων λύτρωσις οἰκτρῶν βορβόρου!
Ὦ χαῖρε πυρὸς προσκύνησιν παύσασα!
Ὦ χαῖρε παθῶν πυρὸς[3] ἀπαλλάξασα!
Πισΐῶν ὁδηγὲ σωφροσύνης ἐνθέου[4],
Φυλῶν ἁπασῶν εὐφροσύνης παρθένε!
Ὦ χαῖρε νύμφη γαμικῶν ἔργων δίχα!
Κήρυκες[5] οἱ βλέψαντες ὀφθέντες μάγοι,
Ἥκουσιν εἰς γῆν τῆς Βαβυλῶνος πάλιν,
Κατὰ[6] τὸ χρησμῴδημα καὶ πρόσταγμά σου,
Καὶ πανταχοῦ τρανοῦντες ἀγγέλλουσί[7] σε,

ἀπάτης τὴν κάμινον σβέσασα. Χαῖρε τῆς Τριάδος τοὺς μύσΐας φωτίζουσα. Χαῖρε τύραννον ἀπάνθρωπον ἐκβαλοῦσα τῆς ἀρχῆς. Χαῖρε κύριον φιλάνθρωπον δείξασα Χρισΐόν. Χαῖρε ἡ τῆς βαρβάρου (et supra βαρβάρων) λυτρουμένη θρησκείας. Χαῖρε ἡ τοῦ βορβόρου ῥυομένη τῶν ἔργων. Χαῖρε πυρὸς προσκύνησιν σβέσασα. Χαῖρε φλογὸς παθῶν ἀπαλλάτΐουσα. Χαῖρε πισΐῶν ὁδηγὲ σωφροσύνης. Χαῖρε πασῶν γενεῶν εὐφροσύνη. Χαῖρε νύμφη ἀνύμφευτε.

Κήρυκες θεοφόροι γεγονότες οἱ μάγοι ὑπέσΐρεψαν εἰς τὴν Βαβυλῶνα, ἐκτελέσαντές σου τὸν χρησμὸν καὶ κηρύξαντές σε τὸν Χρισΐὸν

[1] Similis metaphora *In Cantacuzen.* 147 : *Λόγος γὰρ ἡδὺς ἄχρις ὀσΐῶν εἰσρέων Ἀποκρύφων σβέννυσι καμίνους πόνων.* Const. Man. 358 : *Τὴν τοῦ φθόνου κάμινον βρέμουσαν εἶδεν ἔνδον.* German. Cpolit. codex Coislin. 278, fol. 195 r° : *Ἐν καμίνῳ πειρασμῶν πολλάκις κατηκοντίσθησαν.*

[2] Cod. Escur. *τετυραννικότα.*

[3] Conf. cod. Paris. ccvii, 76.

[4] Παρθένε pro *ἐνθέου* cod. Escur. in quo vers. seq. deest.

[5] In marg. cod. Escur. *Κήρυκες θεόφοροι.*

[6] Cod. Escur. *καὶ* pro *κατά.*

[7] Codd. *ἀγγέλουσι.*

Τὸν Ἡρώδην ἀφέντες ὡς λῆρον[1], Λόγε·
Ψάλλειν γὰρ οὐκ ἔμαθεν ἀλληλούϊα.
 Λάμψας[2] ἱλασμοῦ φῶς ἐν Αἰγύπτῳ ξένον
Τὸν τῆς πλάνης ἔλυσας[3], ὦ σῶτερ, ζόφον·
Πέπτωκε δὲ πτῆξάν[4] σε πᾶν ταύτης βρέτας·
Ὅσοι δ' ἀπηλλάγησαν ἁπλῶς τῆς πλάνης[5],
Πρὸς τὴν ἀπειρόγαμον[6] ἐκρότουν τάδε·
Ὦ χαῖρε παγκόσμιος ἀνθρώπων στάσις!
Ὦ χαῖρε φιλάγαθε δαιμόνων κλίσις!
Ὦ τῆς ἀπάτης τὸ κράτος πατήσασα,
Καὶ τῶν ξοάνων τὸν δόλον φαυλίσασα[7],
Θάλασσα ποντίσασα κρυπτοὺς τριστάτας,
Ζωῆς πέτρα βλύσασα τῇ φύσει δρόσον,
Καὶ στύλε πυρὸς ἰθύνων τοὺς ἐν σκότει·
Σκέπη δὲ[8] κόσμου νεφέλης πλατυτέρα,
Τροφὴ δὲ[9] μάννα τοῦ πάλαι διάδοχε[10],

ἅπασιν, ἀφέντες τὸν Ἡρώδην ὡς ληρώδη, μὴ εἰδότα ψάλλειν ἀλληλούϊα.

Λάμψας ἐν τῇ Αἰγύπτῳ φωτισμὸν ἀληθείας ἐδίωξας τοῦ ψεύδους τὸ σκότος· τὰ γὰρ εἴδωλα ταύτης, σῶτερ, μὴ ἐνέγκαντά σου τὴν ἰσχὺν πέπτωκεν. Οἱ τούτων δὲ ῥυσθέντες νῦν βοῶσι πρὸς τὴν Θεοτόκον· Χαῖρε ἀνόρθωσις τῶν ἀνθρώπων. Χαῖρε κατάπτωσις τῶν δαιμόνων. Χαῖρε ἡ τῆς πλάνης τὸ κράτος πατήσασα. Χαῖρε τῶν εἰδώλων τὸν δόλον ἐλέγξασα. Χαῖρε θάλασσα ποντίσασα Φαραὼ τὸν νοητόν. Χαῖρε πέτρα ἡ ποτίσασα τοὺς διψῶντας τὴν ζωήν. Χαῖρε πύρινε στύλε ὁδηγῶν τοὺς ἐν σκότει. Χαῖρε σκέπη τοῦ κόσμου πλατυτέρα νεφέλης. Χαῖρε τροφὴ

[1] Cod. Esc. ὡς λῆρον ἀφέντες. Quod minus placet.

[2] In marg. cod. Escur. Λάμψας ἐν τῇ Αἰγύπτῳ.

[3] Cod. Paris. λέλυκας — ζόφου.

[4] Cod. Escur. πτύσσαν.

[5] In cod. Paris. hic versus sic legitur: Οἱ τῆς πλάνης δὲ κρείττονες δεδεγμένοι.

[6] Cod. Escur. ἀπειράγαμον.

[7] Cod. Paris. ἐλέγξασα.

[8] Cod. Paris. τε pro δέ.

[9] Cod. Paris. τε.

[10] Cod. Esc. διαδόχου.

Τρυφῆς δὲ πάλιν ἁγίας διάκονε.
Ἐπαγγελίας χαῖρε[1] γῆ τρισολβία,
Ἐξ ἧς ῥέει μέλιτι[2] συμβαῖνον γάλα!
Ὦ χαῖρε νύμφη γαμικῶν ἔργων δίχα!
Μέλλοντι[3] Συμεῶνι τὸ πνεῦμα ζέον
Τοῦ νῦν ἀπατεῶνος αἰῶνος λύειν,
Ἑκὼν προσαχθεὶς, ἐβραβεύθης ὡς βρέφος·
Θεὸν δέ σε γνοὺς ἐντελῆ καὶ θαυμάσας,
Καὶ τὴν ἀνυπέρβλητον ἐκπλαγεὶς χάριν,
Πρεσβυτικῶς ἔψαλλεν[4] ἀλληλούϊα.
Νέαν[5] κτίσιν δέδειχεν ἡμῖν ὁ κτίσας,
Νῦν τοῖς ὑπ' αὐτοῦ πρὸς τὸ φῶς παρηγμένοις.
Γαστρὸς γὰρ αὐτὸς ἐκφυεὶς τῆς ἀσπόρου,
Κἀντεῦθεν αὐτὴν ὥσπερ ἦν δείξας πάλιν
Πάντας παρεσκεύασεν[6] ἀθροῦντας λέγειν·
Ἄνθος τὸ λαμπρὸν χαῖρε τῆς ἀφθαρσίας,
Στέφος τὸ σεπτὸν χαῖρε τῆς ἀσιτίας,
Ἐγέρσεως τὸν τύπον ἡ προλάμψασα,

τοῦ μάνα (leg. μάννα) διαδόχε. Χαῖρε τρυφῆς ἁγίας διάκονε. Χαῖρε ἡ γῆ τῆς ἐπαγγελίας. Χαῖρε ἐξ ἧς ῥέει μέλι καὶ γάλα. Χαῖρε νύμφη ἀνύμφευτε.

Μέλλοντος Συμεῶνος τοῦ παρόντος αἰῶνος μεθίστασθαι τοῦ ἀπατεῶνος, ἐπεδόθης ὡς βρέφος αὐτῷ· ἀλλ' ἐγνώσθης τούτῳ καὶ Θεὸς τέλειος, διόπερ ἐξεπλάγη σου τὴν ἄρρητον σοφίαν κράζων ἀλληλούϊα.

Νέαν ἔδειξε κτίσιν ἐμφανίσας ὁ κτίστης ἡμῖν τοῖς ὑπ' αὐτοῦ γενομένοις ἐξ ἀσπόρου βλαστήσας γαστρὸς καὶ φυλάξας ταύτην ὥσπερ ἦν ἄφθορον, ἵνα τὸ θαῦμα βλέποντες ὑμνήσωμεν αὐτὴν βοῶντες· Χαῖρε τὸ ἄνθος τῆς ἀφθαρσίας. Χαῖρε τὸ στέφος τῆς ἐγκρατείας. Χαῖρε ἀναστά-

[1] Cod. Escur. καῖ (*sic*).

[2] Cod. Paris. ῥέει γάλακτι συμβαῖνον μέλι.

[3] In marg. cod. Escur. Μέλλοντος Σιμεῶνος.

[4] Cod. Escur. ἔψαλλον.

[5] In marg. cod. Escur. Νέαν ἔδειξε κτίσιν.

[6] Codex Parisin. παρεσκεύασε θαρσοῦντας.

Τῶν ἀγγέλων τὸν βίον ἡ προδείξασα,
Ἀγλαόκαρπον[1] ξύλον εἰς πισῖῶν τρύγην,
Εὐσκιόφυλλον δένδρον εἰς πολλῶν σκέπην,
Ὁδηγὸν[2] ἡ κύουσα[3] τῶν πλανωμένων[4],
Σωσῖικὸν ἡ τίκτουσα τῶν κατασχέτων,
Κριτοῦ δικαίου πρὸς τὸ λυπεῖν ἔκλυσις,
Καὶ παντοδαπῶν σφαλμάτων διάλυσις.
Χαῖρε σῖολισμὲ[5] τῆς ψυχῶν παῤῥησίας,
Στοργὴ δὲ θερμὴ πᾶσαν αἱροῦσα[6] σχέσιν.
Ὦ χαῖρε νύμφη γαμικῶν ἔργων δίχα.
  Ξένον[7] τόκον βλέψαντες ἐκ τῆς παρθένου
Τοῦ μὴ καθαροῦ νῦν ξενωθῶμεν βίου,
Τὰς καρδίας ἄραντες ἐκ γῆς πρὸς πόλον.
Ὁ γὰρ ἀφιλόκομπος[8] εἰς γῆν ἐκ πόλου,
Ὑψηλὸς ὢν χθὲς, καὶ ταπεινὸς προσφάτως,
Ὑψοῖ δὲ τοὺς βοῶντας ἀλληλούϊα.

σεως τύπον ἐκλάμπουσα. Χαῖρε τῶν ἀγγέλων τὸν βίον ἐμφαίνουσα. Χαῖρε δένδρον ἀγλαόκαρπον, ἐξ οὗ τρέφονται πισῖοί. Χαῖρε ξύλον εὐσκιόφυλλον, ὑφ' οὗ σκέπονται πολλοί. Χαῖρε κυοφοροῦσα λυτρωτὴν αἰχμαλώτοις. Χαῖρε ἀπογεννῶσα ὁδηγὸν πλανωμένοις. Χαῖρε κριτοῦ δικαίου δυσώπησις. Χαῖρε πολλῶν πταιόντων συγχώρησις. Χαῖρε σῖολὴ τῶν γυμνῶν παῤῥησία. Χαῖρε σῖοργὴ πάντα πόθον νικῶσα. Χαῖρε νύμφη ἀνύμφευῖε.

Ξένον τόκον ἰδόντες ξενωθῶμεν τοῦ κόσμου, τὸν νοῦν εἰς οὐρανὸν μεταθέντες· διὰ τοῦτο γὰρ ὁ ὑψηλὸς ἐπὶ γῆς ἐφάνη ταπεινὸς ἄνθρωπος, βουλόμενος ἑλκύσαι πρὸς ὕψος τοὺς αὐῖῷ βοῶντας ἀλληλούϊα.

[1] Eustath. *Opusc.* p. 7, 51. Cod. Escur. δένδρον pro ξύλον.

[2] Cod. Escur. ὁδηγῶν.

[3] Cod. Paris. κυήσασα.

[4] Ex paraphrasi versus 161 et 162 permutandi videntur.

[5] Codex Parisinus, σῖολὴ μὲν τῶν ψιλῶν.

[6] Cod. Escur. αἱροῦσαν.

[7] In marg. cod. Escur. Ξένον τόκον ἰδόντες.

[8] Cod. Escur. ἀμφιλόκομπος.

Ὅλος[1] παρῆν ἄνωθεν ὁ κτίστης κάτω
Καὶ τῶν ἄνω δήπουθεν οὐκ ἀπῆν ὅλως[2]·
Τῇ γὰρ θεϊκῇ συγκαταβάσει τότε
Μεταβατικὸς[3] οὐ προσῆν οὐδεὶς[4] τόπος
Εἰς παρθένου σύλληψιν ἀκροωμένης·
Ὦ χαῖρε σεμνὴ χώρα μὴ χωρουμένη!
Ὦ χαῖρε σεπτοῦ μυστικοῦ θύρα[5] ξένη,
Ἄκουσμα δύσνοις[6] καθάπαξ ἀμφίλογον·
Καύχησις εὔνοις οὐδόλως ἀμφίβολος[7]·
Τοῦ τῶν Χερουβὶμ ἁρματηλάτου θρόνε·
Τοῦ τῶν Σεραφὶμ καταγωγέως[8] δόμε·
Εἰς ταυτὸν ἡ σπείσασα καὶ τἀναντία·
Καὶ τῷ τόκῳ ζεύξασα[9] τὴν ἀνανδρίαν.
Ὦ χαῖρε δι' ἧς παράβασις οἴχεται[10]·
Ὦ χαῖρε δι' ἧς παράδεισος οἴγεται·
Ὦ χαῖρε καὶ κλεὶς τῆς θεοῦ κραταρχίας

Ὅλος ἦν ἐν τοῖς κάτω καὶ τῶν ἄνω οὐδόλως ἀπῆν ὁ ἀπερίγραπτος λόγος. Συγκατάβασις γὰρ θεϊκὴ, οὐ μετάβασις δὲ τοπικὴ γέγονε, καὶ τόκος ἐκ παρθένου θεολήπτου ἀκουούσης ταῦτα· Χαῖρε θεοῦ ἀχωρήτου χώρα. Χαῖρε σεπτοῦ μυστηρίου θύρα. Χαῖρε τῶν ἀπίστων ἀμφίβολον ἄκουσμα. Χαῖρε τῶν πιστῶν ἀναμφίβολον καύχημα. Χαῖρε ὄχημα πανάγιον τοῦ ἐπὶ τῶν Χερουβίμ. Χαῖρε οἴκημα πανάριστον τοῦ ἐπὶ τῶν Σεραφίμ. Χαῖρε ἡ τἀναντία εἰς ταυτὸ ἀγαγοῦσα. Χαῖρε ἡ παρθενίαν καὶ λοχείαν ζευγνῦσα. Χαῖρε δι' ἧς ἠνοίχθη παράδεισος. Χαῖρε δι' ἧς ἐλύθη

[1] In marg. cod. Escur. Ὅλος ἦν ἐν τοῖς κάτω.

[2] Cod. Paris. ἀπῆν οὐδόλως.

[3] Cod. Escur. μεταβατικὸς et supra κῶς.

[4] Cod. Escur. ὅλως pro οὐδείς.

[5] Cf. Boiss. *An. gr.* IV, 98.

[6] Cod. Escur. δύσνους.

[7] Cod. Escur. ἀμφίβολον.

[8] Cod. Escur. καταγωγέω. Cf. cod. Flor. CLXIV, 3.

[9] Cod. Escur. ζεύξασαν.

[10] In paraphrasi versus 187 et 188 transmutati sunt.

Καὶ πάλιν ἐλπὶς τῶν καλῶν τῶν ἀφθόρων.
Ὦ χαῖρε νύμφη γαμικῶν ἔργων δίχα.
Πᾶσα[1] κτίσις φρίξασα[2] καὶ τῶν ἀγγέλων
Κατεπλάγη τὸ θαῦμα καὶ συνεστάλη·
Καὶ γὰρ τὸν ἀπρόσιτον ὡς Θεὸν μόνον,
Προσιτὸν ὡς ἄνθρωπον ἡμῖν ἐσκόπουν,
Συνόντα μὲν τοῖς πᾶσιν ἐκ μετουσίας,
Ψάλλειν δὲ δόντα σφίσιν ἀλληλούϊα.
Ῥήτωρ[3] σιγᾷ πᾶς ὥσπερ ἰχθὺς ἐνθάδε·
Οὐ δύναται γὰρ ὑπὸ τῆς τέχνης λέγειν
Πῶς καὶ μένεις, ἄχραντε, σεμνὴ παρθένος,
Καὶ φρικτὸν ἐξήνεγκας ἀνθρώποις τόκον·
Ἡμεῖς δὲ φαμὲν ἐκπλαγέντες τὸ ξένον,
Θεοῦ σοφίας χαῖρε νυμφὼν παρθένε,
Καὶ τῆς προνοίας τοῦδε ταμεῖον μέγα·
Καὶ γὰρ σοφοὺς ἔδειξας εὐθὺς ἄφρονας·
Καὶ τεχνικοὺς ἤλεγξας ὡς παράφρονας,
Κατήσχυνας[4] δὲ τῶν φυσικῶν τοὺς λόγους

παράβασις. Χαῖρε ἡ κλεὶς τῆς Χριστοῦ βασιλείας. Χαῖρε ἐλπὶς ἀγαθῶν αἰωνίων. Χαῖρε νύμφη ἀνύμφευτε.

Πᾶσα φύσις ἀγγέλων ἐξεπλάγη τὸ μέγα τῆς σῆς ἐνανθρωπήσεως ἔργον. Τὸν ἀπρόσιτον γὰρ ὡς Θεὸν ἐθεώρει πᾶσι προσιτὸν ἄνθρωπον, ἡμῖν μὲν συνδιάγοντα, ἀκούοντα δὲ παρὰ πάντων οὕτως· Ἀλληλούϊα.

Ῥήτορας πολυφθόγγους ὡς ἰχθύας ἀφώνους ὁρῶμεν ἐπὶ σοὶ, Θεοτόκε· ἀποροῦσι γὰρ λέγειν τὸ πῶς καὶ παρθένος μένεις, καὶ τεκεῖν ἴσχυσας· ἡμεῖς δὲ τὸ μυστήριον θαυμάζοντες πιστῶς βοῶμεν· Χαῖρε σοφίας Θεοῦ λοχεῖον. Χαῖρε προνοίας αὐτοῦ ταμεῖον. Χαῖρε φιλοσόφους ἀσόφους δεικνύουσα. Χαῖρε τεχνολόγους ἀλόγους ἐλέγχουσα. Χαῖρε ὅτι

[1] In marg. cod. Escur. Πᾶσα κτίσης ἀγγέλων.

[2] Cod. Esc. κτήσασα.

[3] In marg. cod. Escur. Ῥήτορας πολυφθόγγους.

[4] Cod. Escur. κατήσχυναι.

Δεινὸν μαρασμὸν ἐμβαλοῦσα τοῖς μύθοις·
Ὦ χαῖρε, καὶ γὰρ Ἀτλικὰς πλοκὰς λύεις,
Τὰ δίκτυα πληροῦσα τῶν ἁλιέων·
Ὦ χαῖρε βυθοῦ κακίας ἐξάρασα·
Ὦ χαῖρε πολλοὺς τὴν χάριν πλουτίσασα[1]·
Ὦ χαῖρε πορθμὶς τῶν θελόντων εὖ πλέειν·
Ὦ χαῖρε λιμὴν τῶν πλεόντων ἐν βίῳ·
Ὦ χαῖρε νύμφη γαμικῶν ἔργων δίχα.
Σῶσαι[2] θέλων τὸν κόσμον ὁ κτίστης Λόγος
Ἥκει πρὸς αὐτὸν αὐτεπαγγέλτῳ[3] σχέσει·
Ποιμὴν δὲ καὶ πρόβατον ἡμῖν εὑρέθη,
Ἐπεὶ δι' ἡμᾶς καὶ καθ' ἡμᾶς ὡράθη·
Τὸ γὰρ ὅμοιον τῷ κατ' αὐτὸ[4] καλέσας
Ὡς δεσπότης ἤκουσεν ἀλληλούϊα.
Τεῖχος[5] σὺ πανύμνητε[6] καὶ τῶν παρθένων,
Καὶ τῶν ἐπὶ σὲ καταφευγόντων, κόρη·
Θεὸς γὰρ ἡμῖν εὖ κατεσκεύακέ σε,

ἐμωράνθησαν οἱ δεινοὶ συζητηταί. Χαῖρε ὅτι ἐμαράνθησαν οἱ τῶν μύθων ποιηταί. Χαῖρε τῶν Ἀθηναίων τὰς πλοκὰς διασπῶσα. Χαῖρε τῶν ἁλιέων τὰς σαγήνας πληροῦσα. Χαῖρε βυθοῦ ἀγνοίας ἐξέλκουσα. Χαῖρε πολλοὺς ἐν γνώσει πλουτίζουσα. Χαῖρε ὁλκὰς τῶν θελόντων σωθῆναι. Χαῖρε λιμὴν τῶν τοῦ βίου πλωτήρων. Χαῖρε νύμφη ἀνύμφευτε.

Σῶσαι θέλων τὸν κόσμον ὁ τῶν ὅλων κοσμήτωρ πρὸς τοῦτον αὐτεπάγγελτος ἦλθε, καὶ ποιμὴν ὑπάρχων ὡς θεὸς δι' ἡμᾶς ἐφάνη καθ' ἡμᾶς ἄνθρωπος· ὁμοίῳ γὰρ τὸ ὅμοιον καλέσας ὡς θεὸς ἀκούει ἀλληλούϊα.

Τεῖχος εἶ τῶν παρθένων θεοτόκε παρθένε, καὶ πάντων τῶν εἰς σὲ προσφευγόντων. Ὁ γὰρ τοῦ οὐρανοῦ καὶ τῆς γῆς κατεσκεύασέ σε ποιη-

[1] Cod. Escur. πλουτήσασα.

[2] In marg. cod. Escur. Σῶσαι θέλων τὸν κόσμον.

[3] Cod. Escur. αὐτοπαγγέλτῳ.

[4] Cod. Escur. τὸ κατ' αὐτόν.

[5] In marg. cod. Escur. Τεῖχος εἶ τῶν παρθένων.

[6] Cf. Cod. Paris. 1189, fol. 14 v°.

Ὁ δημιουργὸς οὐρανοῦ καὶ γῆς μόνος,
Σὴν μήτραν ἐνδὺς καὶ βοᾶν πάντας θέλων·
Ὦ χαῖρε σεμνὴ, σὺ γὰρ ἁγνείας τύπος,
Καὶ καταγωγὴ καὶ πύλη σωτηρίας·
Ἀρχηγὲ τῆς ἄνωθεν ἀναπλάσεως·
Χορηγὲ τῆς ἐκεῖθεν ἀντιλήψεως.
Ὦ χαῖρε νουθετοῦσα τοὺς ἀσυνέτους,
Ὡς ἀναγεννήσασα τοὺς κακοσπόρους[1]·
Ὦ χαῖρε, καὶ γὰρ τῶν φρενῶν κτείνεις[2] φθόρον,
Ἐπεὶ γεωργὸν πᾶσιν ἁγνείας κύεις·
Ὦ χαῖρε παστὰς ἀσπόρου νυμφεύσεως·
Ὦ χαῖρε πιστοὺς[3] κυρίῳ συνδήσασα·
Ὦ χαῖρε καλὴ παρθένων κουροτρόφε,
Καὶ τῶν καθαρῶν πνευμάτων νυμφοστόλε·
Ὦ χαῖρε νύμφη γαμικῶν ἔργων δίχα.
    Ὕμνος νικᾶται πᾶς τις ἁμίλλῃ τρέχων
Πρὸς τὴν ἀγαθότητα τὴν σὴν τὴν χύδην·
Κἂν γὰρ τοσαρίθμους[4] τὶς ᾠδὰς προσφέροι[5],

τῆς, ἄχραντε, οἰκήσας ἐν τῇ μήτρᾳ σου, καὶ πάντας προσφωνεῖν διδάξας. Χαῖρε ἡ στήλη τῆς παρθενίας. Χαῖρε ἡ πύλη τῆς σωτηρίας. Χαῖρε ἀρχηγὲ νοητῆς ἀναπλάσεως. Χαῖρε χορηγὲ θεϊκῆς ἀγαθότητος. Χαῖρε· σὺ γὰρ ἀνεκαίνισας τοὺς συληθέντας τὸν νοῦν. Χαῖρε· σὺ γὰρ ἀνεγέννησας τοὺς συλληφθέντας αἰσχρῶς. Χαῖρε ἡ τὸν φθορέα τῶν φρενῶν καταργοῦσα. Χαῖρε ἡ τὸν σπορέα τῆς ἁγνείας τεκοῦσα. Χαῖρε παστὰς ἀφθόρου νυμφεύσεως. Χαῖρε πιστοὺς κυρίῳ ἁρμόζουσα. Χαῖρε καλὴ κουροτρόφε παρθένων. Χαῖρε ψυχῶν νυμφοστόλε ἁγίων. Χαῖρε νύμφη ἀνύμφευτε.

Ὕμνος ἅπας ἡττᾶται συνεκτείνεσθαι σπεύδων τῷ πλήθει τῶν πολλῶν οἰκτιρμῶν σου. Ἰσαρίθμους γὰρ ψάμμῳ ᾠδὰς ἂν προσφέρωμέν σοι,

[1] Hanc vocem ignorant lexica. In *Thesauro* κακοσπορία.

[2] Cod. Escur. κτείνης.

[3] Cod. Escur. πιστοῖς.

[4] Cod. Paris. ἰσαρίθμους.

[5] Cod. Escur. προσφέρει.

Σοὶ, ϖαμβασιλεῦ[1], τί Φράσει κατ' ἀξίαν
Ὧν αὐτὸς ἐβράβευσας ἐξ εὐσπλαγχνίας
Τοῖς ἐκθύμως ψάλλουσιν ἀλληλούϊα.
    Φωτὸς[2] θεϊκοῦ λυχνίαν τοῖς ἐν σκότει
Τὴν ἁγίαν δέδορκεν ἡ γῆ ϖαρθένον.
Τὸ ϖῦρ γὰρ[3] ἀνάπλουσα τῆς ἀϋλίας
Πρὸς Φῶς ὁδηγεῖ, νοῦ[4] μὲν αὐγάζον[5] σκότος,
Οὕτω δὲ τιμᾶν ϖεῖθον αὐτῆς τὸν τόκον·
Ὦ χαῖρε ϖαστὰς τοῦ νοητοῦ Φωσφόρου.
Ὦ χαῖρε λαμπὰς[6] τοῦ Φθορᾶς ἄτερ Φάους,
Ὡς ἀστραπὴ μὲν τὰς ψυχὰς αὐγάσασα[7],
Ἐχθρὸν δὲ βροντὴ ϖάντα[8] καταπλήξασα[9]·
Φωτισμὸν ἀνίσχουσα τῆς εὐσπλαγχνίας,
Ποταμὸν ἐκβλύζουσα τῆς ἀφθαρσίας,
Δεικνῦσα τὸν ϖρὶν τῆς κολυμβήθρας τύπον,
Τὸν δεινὸν ἐκτρίβουσα τῆς ϖλάνης ῥύπον.

βασιλεῦ ἅγιε, οὐδὲν τελοῦμεν ἄξιον ὧν δέδωκας τοῖς σοὶ βοῶσιν ἀλληλούϊα.

Φωτοδόχον λαμπάδα τοῖς ἐν σκότει Φανεῖσαν ὁρῶμεν τὴν ἁγίαν ϖαρθένον· τὸ γὰρ ἄϋλον ἅπτουσα ϖῦρ ὁδηγεῖ ϖρὸς γνῶσιν θεϊκὴν ἅπαντας, αὐγῇ τὸν νοῦν Φωτίζουσα, κραυγῇ δὲ τιμωμένη ταύτῃ· Χαῖρε ἀκτὶς νοητοῦ ἡλίου. Χαῖρε λαμπτὴρ τοῦ ἀδύτου Φέγγους. Χαῖρε ἀστραπὴ τὰς ψυχὰς καταλάμπουσα. Χαῖρε ὡς βροντὴ τοὺς ἐχθροὺς καταπλήττουσα. Χαῖρε ὅτι τὸν ϖολύφωτον ἀνατέλλεις Φωτισμόν. Χαῖρε ὅτι τὸν ϖολύδωρον ἀναβλύζεις ϖοταμόν. Χαῖρε τῆς κολυμβήθρας ζωγραφοῦσα τὸν τύπον. Χαῖρε τῆς ἁμαρτίας ἀναιροῦσα τὸν ῥύπον. Χαῖρε λουτὴρ ἐκπλύνων

[1] Cod. Escur. τῷ ϖαμβασιλεῖ.

[2] In marg. cod. Escur. Φωτοδόχον λαμπάδα. Vox Φωτοδόχος ap. Ephr. Syr. *Opp.* III, 530.

[3] γὰρ deest in cod. Paris.

[4] Cod. Esc. νοῦν.

[5] Cod. Escur. αὐγάζων.

[6] Cod. Paris. λαμπτήρ. Cod. Escur. λαμπὰς τῆς.

[7] Cod. Escur. αὐγάζουσα.

[8] Cod. Escur. ϖᾶσα.

[9] Cod. Paris. καταπλήξασασα (*sic*).

Ὦ χαῖρε λουτὴρ ἐκπλύνων τὰ κρύφια.
Ὦ χαῖρε κρατὴρ μιγνὺς[1] ἀγαλλίασιν,
Ὀσμή τε Χρισῖοῦ τῆς φίλης εὐωδίας,
Ζωῆς δὲ σεμνὴ μυσῖικῆς εὐωχία.
Ὦ χαῖρε νύμφη γαμικῶν ἔργων δίχα.
    Χάριν[2] παλαιῶν παρέχων ὀφλημάτων
Ὁ τῶν ἁπάντων δεσπότης εὐεργέτης,
Αὐτὸς πρὸς ἡμᾶς ἦλθε τοὺς ἀπωσμένους·
Σχίσας δὲ τὸν κώδικα τῶν δανεισμάτων
Ἤκουσεν εὐθὺς παρὰ τῶν ἐλευθέρων
Ὡς δεσπότης εὔσπλαγχνος ἀλληλουΐα.
    Ψάλλοντες[3] ὃν δέδωκας ἀνθρώποις τόκον,
Ὥς ἔμψυχον ναόν σε τιμῶμεν μόνην·
Ἐν γασῖρὶ γὰρ ᾤκησε τῇ σῇ, παρθένε,
Ὁ χειρὶ τὰ ξύμπαντα[4] κατέχων Λόγος,
Πάντας δὲ καθήγνισε διδάξας λέγειν·
Ἡ καταγωγὴ τοῦ Θεοῦ χαίροις, κόρη·
Ναὶ χαῖρε πάντων βελτίων[5] τῶν ἁγίων,
Κιβωτὲ χρυσωθεῖσα Θείῳ πνεύματι,

συνείδησιν. Χαῖρε κρατὴρ κιρνῶν ἀγαλλίασιν. Χαῖρε ὀσμὴ τῆς Χρισῖοῦ εὐωδίας. Χαῖρε ζωῆς μυσῖικῆς εὐωχία. Χαῖρε νύμφη ἀνύμφευτε.

Χάριν δοῦναι Θελήσας ὀφλημάτων ἀρχαίων ὁ πάντων χρεωλύτης ἀνθρώπων ἐπεδήμησε δι' ἑαυτοῦ πρὸς τοὺς ἀποδήμους τῆς αὐτοῦ χάριτος· καὶ σχίσας τὸ χειρόγραφον ἀκούει παρὰ πάντων οὕτως· ἀλληλουΐα.

Ψάλλοντές σου τὸν τόκον εὐφημοῦμέν σε πάντες ὡς ἔμψυχον ναὸν, Θεοτόκε· ἐν τῇ σῇ γὰρ οἰκήσας γασῖρὶ ὁ κατέχων πάντα τῇ χειρὶ κύριος ἡγίασεν, ἐδόξασεν, ἐδίδαξε βοᾶν σοι πάντας· Χαῖρε σκηνὴ τοῦ Θεοῦ καὶ Λόγου. Χαῖρε ἁγία ἁγίων μείζων. Χαῖρε κιβωτὲ χρυσωθεῖσα

[1] Cod. Paris. δεικνύς.

[2] In marg. cod. Escur. Χάριν δοῦναι Θελήσας. In cod. Paris. v. 258 σχίσας σὺ δέ, contra metrum.

[3] In marg. cod. Escur. Ψάλλοντες σοῦ τὸν τόκον.

[4] Cod. Escur. σύμπαντα.

[5] Cod. Paris. μείζων καθάπαξ.

Θησαυρὲ τοῦ ζῆν κρειττόνως ἀδάπανε,
Βασιλέων κόσμησις εὐσεβεστάτων,
Θυηπόλων καύχησις εὐλαβεστάτων.
Ὦ στερρὲ[1] πύργε χαῖρε τῆς ἐκκλησίας,
Καὶ χαράκωμα τῆς κάτω κραταρχίας.
Ὦ χαῖρε δι' ἧς καὶ τὰ νικητήρια,
Καὶ δυσμενεῖς πίπτουσι καθαιρούμενοι.
Ὦ χαῖρε τοὐμοῦ δυσπαθοῦς ἄκος φάους,
Ψυχῆς δὲ[2] θερμὴ τῆς ἐμῆς προστασία.
Ὦ χαῖρε νύμφη γαμικῶν ἔργων δίχα.
Ὦ[3] μῆτερ, ἡ τεκοῦσα σεμνὴ παρθένος
Τὸν τῶν ἁγίων ἁγιώτατον Λόγον,
Τὴν νῦν παρ' ἡμῶν προσφορὰν δεδεγμένη,
Ἅπαντας ἡμᾶς συμφορᾶς πάσης ῥύου,
Καὶ τῆς ἐκεῖσε τοῦ πυρὸς τιμωρίας
Τοὺς εὐσεβῶς[4] βοῶντας ἀλληλούïα.

τῷ πνεύματι. Χαῖρε θησαυρὲ τῆς ζωῆς ἀδαπάνητε. Χαῖρε τίμιον διάδημα βασιλέων εὐσεβῶν. Χαῖρε καύχημα σεβάσμιον ἱερέων εὐλαβῶν. Χαῖρε τῆς ἐκκλησίας ὁ ἀσάλευτος πύργος. Χαῖρε τῆς βασιλείας τὸ ἀπόρθητον τεῖχος. Χαῖρε δι' ἧς ἐγείρονται τρόπαια. Χαῖρε δι' ἧς ἐχθροὶ καταπίπτουσι. Χαῖρε χρωτὸς τοῦ ἐμοῦ θεραπεία. Χαῖρε ψυχῆς τῆς ἐμῆς σωτηρία. Χαῖρε νύμφη ἀνύμφευτε.

Ὦ πανύμνητε μῆτερ, ἡ τεκοῦσα τὸν πάντων ἁγίων ἁγιώτατον Λόγον, δεξαμένη τὴν νῦν προσφορὰν, ἀπὸ πάσης ῥῦσαι συμφορᾶς ἅπαντας, καὶ τῆς μελλούσης λύτρωσαι κολάσεως τοὺς σοὶ βοῶντας ἀλληλούïα.

[1] Cod. Escur. στερέ. Occasione data lexicis addam ex cod. Coisl. 94, fol. 212 r° et 213 v° στεῤῥοκαρδία, fol. 227 v° στεῤῥοκάρδιος, et fol. 278 v° στερεοκαρδέω. Vox στερεοκάρδιος jam nota ex Ezech. II, 4. Στεῤῥόψυχος ap. Jo. Eugenicum cod. Paris. 2075, fol. 16 v°. Adde et στερεοπαγὴς ex *Bibl. Patr.* Mai, t. V, p. 63, et στερεοποδέω *ibid.* p. 68.

[2] δὲ omittit cod. Paris.

[3] In marg. Ὦ πανύμνητε μήτηρ (leg. μῆτερ).

[4] Cod. Paris. τῷ θεῷ pro εὐσεβῶς.

II[1] Τοῦ Φιλῆ κυροῦ Μανουὴλ[2] τοῦ Ἐφεσίου σ7ίχοι εἰς τον βασιλέα Ἀλέξανδρον.

Ὃ μὲν τύχη δείκνυσι, καλύπ7ει χρόνος·
Ὃ δὲ χρόνος δίδωσιν, ἁρπάζει φθόνος·
Ἀλλὰ τὸν Ἀλέξανδρον αἰδοῖ τῶν πόνων
Τύχη μὲν ἀπέφηνε παντὸς βελτίω,
Χρόνος δὲ λαϐὼν ὑπερέσχε τοῦ φθόνου.
Αἱ γὰρ ἀγαθαὶ τῶν φιλισ7όρων[3] φύσεις
Λαθεῖν ἀγεννῶς[4] οὐκ ἐῶσι τὸν μέγαν,
Ἐπείπερ αἱ μὲν δεξιοῦνται τοῖς λόγοις,
Αἱ δὲ χρόαις γράφουσι τὸν σ7εφανίτην·
Παγκόσμιος γὰρ εὐτυχεῖ τοῦτον πίναξ
Τοῖς ἀνδραγαθήμασιν ἐσ7ηλωμένον.
Ἔγωγε μὴν τὸν ἄνδρα καὶ πρὶν θαυμάσας
Νῦν μᾶλλον ὑμνῶ τῆς πολυζήλου τύχης.
Ἔτι γὰρ ἡϐῶν[5] τῶν γερόντων ἐκράτει,
Καὶ χρημάτων ἤσκησεν ὑπεροψίαν,
Ἀρχὴν ἑαυτῷ παγγενῆ θησαυρίσας,
Καὶ πλαισ7ὸς ὢν ἄπλαισ7ος εὐθὺς εὑρέθη·
Καὶ γυμνάσας τὸ σῶμα τοῖς ὑπὲρ φύσιν
Μόνος τὸ πᾶν κατέσχεν ἀπ7έρῳ τάχει[6]·
Αὐτῷ δὲ τῆς γῆς οὐκ ἀποχρώσης ὅλης,
Καὶ δευτέραν δήπουθεν ἐζήτει κτίσιν·

[1] Ex cod. Paris. 1642, fol. 276 v°, edidit Cramer in *Anecd. Paris.* tom. I, p. 43. Habet et cod. Paris. 941.

[2] Prius erat Ἐμμανουὴλ, cod. 941.

[3] φιλοσ7όργων Cram.

[4] εὐγενῶς Cram.

[5] Cf. Boisson. *Anecd. gr.* t. II, p. 35.

[6] Cod. Flor. cxx, 7 : Σὺ δ' ἀπ7έρῳ φθάσασα τὸν κράλην τάχει. Theophan. Ceram. pag. 418 C : Ἡ μὲν φήμη τῶν θεοσημείων ἀπ7έρῳ τάχει πανταχῆ διαθέουσα. Ephræm. *Chronic.* 6254 : Συντρέχοντας ἀπ7έρῳ τάχει. Tryphiod. 85 : Ἄπ7ερος δρόμος.

Κἂν εἶχεν αἰθὴρ δυσμενεῖς ἀπροσμάχους,
Ἐκ μηχανῆς ἂν εἷλε κἀκείνους τάχα.
Πλουτεῖ δὲ νυνὶ καὶ τελευτήσας Φίλους
Οὓς ἂν περιὼν ἦγεν αὐτὸς ἐν Φίλοις.
Πατρικιώτης μαρτυρεῖ λέγοντί μοι.
Καὶ τόνδε γὰρ ἔδειξε λαμπρὸν ὁ χρόνος
Ἐν τῇ καθ' αὐτὸν ὀλβιούμενον Φύσει·
Ὃς ὢν Φιλαλέξανδρος ἁπάντων πλέον,
Μᾶλλον δὲ Φιλότιμος ἐκ τῶν πρακτέων,
Μικροῦ μὲν αὐτὸν πανταχοῦ ζῶντα βλέπει,
Καὶ τὴν πρὸς ἐχθροὺς δραστικὴν τύχην πνέει,
Φανεὶς ἐφ' ἡμῶν συμφυὴς Ἡφαιστίων.
Γράφειν δὲ καὶ πρὸς μέτρον ὑπήλειψέ με
Τὰς τοῦ μοναρχήσαντος ἀνδραγαθίας.
Ἐτίμα γὰρ δὴ καὶ τὰ μέτρα τῶν στίχων
Ὁ Φιλομουσότατος εὐθὺς ἐκ βρέφους·
Πάντως δὲ ναρκᾶν οὐδαμῶς ἦν τὸν Φίλον,
Τοσοῦδε θεσπίζοντος ἀνδρὸς τὸ γράφειν,
Καὶ τὸν πολυθρύλλητον ἐκφράζειν βίον.
Ὃ γὰρ ἐκεῖνος ἔδρα τοὺς παλαιτέρους,
Τοῦτ' αὐτὸς ἀντείληφεν ἐκ τῶν ὑστέρων·
Καὶ τοὺς λόγους μάλιστα σεμνύνειν θέλων
Ἐν τῇ δυνάμει τῶν λόγων σεμνύνεται·
Πλὴν ἀλλὰ νικᾷ πανταχοῦ καὶ τοὺς λόγους.
Καὶ γὰρ τὸ νικᾶν ὥσπερ ἐξ ἔθους ἔχων
Ὁ τρισαριστεὺς ἀντιπίπτει τοῖς κρότοις.
Οὐ μὴν σιγῇ τὸν ἄνδρα παρελθεῖν δέον,
Ὃς καὶ πρὸς ἐχθροὺς εὐμενὴς ἦν ἔσθ' ὅτε,
Παντὸς μίσους[1] ἄγευστον ἀθρῶν τὸ κράτος.

[1] μέσους Cram.

III[1]. Τοῦ αὐτοῦ μεταφραστικοὶ ἀπό τινος τῶν[2] τοῦ Λουκιανοῦ λόγων εἰς εἰκόνα ἔχουσαν ἐζωγραφημένον τὸν τοῦ Ἀλεξάνδρου γάμον.

Θάλαμος ἰδοὺ νυμφικὴν φέρων κλίνην,
Ἐφ' ἧς ἀτεχνῶς[3] εὐπρεπὴς ἡ Ῥωξάνη·
Σκοπεῖ δὲ τὴν γῆν ὡς ὑπ' αἰδοῦς ἡ κόρη,
Μὴ πρὸς τὸν Ἀλέξανδρον ἑστῶτα βλέπῃ.
Ἔρως δέ τις πάρεστιν ἐξ ὀπισθίου,
Καὶ τῆς κεφαλῆς τὴν καλύπτραν ἑλκύσας
Τῷ νυμφίῳ δείκνυσι τὴν ποθουμένην.
Ἄλλος δ' ἀφαιρεῖ[4] τοῦ ποδὸς τὴν ἀρβύλην,
Δουλοπρεπεῖ[5] σχήματι καμφθεὶς εἰς γόνυ.
Ταύτην γὰρ ἂν βούλοιτο καὶ κατακλίνειν.
Ἄλλος[6] δὲ τῆς χλανίδος αὐτὸν[7] ἁρπάσας,
Ἕλκει πρὸς αὐτὴν[8] ἐμβριθῶς τὴν Ῥωξάνην.
Ὁ γοῦν βασιλεὺς γειτνιῶν τῇ παρθένῳ
Πρὸ τοῦ γάμου στέφανον εὐθὺς εἰσφέρει·
Καὶ νυμφαγωγῶν συμπαρῆν Ἡφαιστίων·
Ὃς ἀπερεισθεὶς εἰς τὸ μειρακύλλιον,
Τὸ φαιδρὸν, ὦ βέλτιστε, καὶ βρύον τόδε
(Πρὸς γὰρ τὸν Ὑμέναιον ἡ τέχνη βλέπει),
Γαμηλίου δείκνυσι πυρσοὺς λαμπάδος.
Ἄλλοι δ' ἔρωτες αὖθις ἡδεῖς ἐκτόπως
Ἐν τοῖς ὅπλοις παίζουσι τοῖς τοῦ νυμφίου.

[1] Ex eodem codice edidit Cramer, *loc. cit.* et post eum, ut ineditum, ex cod. Monac. CCLXXXI, Ideler, *Physic. gr. min.* t. I, p. 284. Habet et cod. Paris. 941. Refert Luciani Herodotum sive Aetionem, c. V seqq. p. 243 ed. Didot.

[2] ἀπό τινος τοῦ sine τῶν Cram.

[3] Cram. ἀτέχνως.

[4] Idel. ἄλλοι δ' ἀφαρεῖ.

[5] S. Epiph. *Opp.* tom. II, p. 106, et Cyrill. Alex. tom. III, pag. 335 B.

[6] Idel. ἄλλοι.

[7] αὐτός Cram. et cod. 941.

[8] Idel. πρὸς αὐτόν.

Οἱ μὲν γὰρ αὐτῶν, ὡς ὁρᾷν ἔχεις, δύο
Κατωμαδὸν[1] φέρουσιν αὐτοῦ τὸ ξίφος.
Ἄλλοι δὲ δύο τῶν βασιλέων ἕνα
Ἡτlημένον σύρουσιν ἐκ τῆς ἀσπίδος,
Λαβόντες αὐτῆς τὰς ἀπὸ σκύτους[2] πέδας.
Εἷς δ' ἄλλος εἰσδὺς ὕπlιον τὸν[3] θώρακα
Τάχα τὸν ἐσμὸν[4] ἐκταράξει τῶν φίλων,
Ὅταν ἐπ' αὐτὸν[5] ἡ ῥοπὴ τούτους φέρῃ.
Πλὴν οὐ γραφὴ καὶ μῦθος ἁπλῶς ἃ βλέπεις·
Ἀλλ' ἔσlιν εὑρεῖν ἀπὸ τῶν ὁρωμένων
Ὡς αὐτὸς Ἀλέξανδρος ἐλθὼν εἰς γάμους
Τῶν ἀρεϊκῶν εἴχετο σπουδασμάτων.

IV[6]. Τοῦ Φιλῆ σlίχοι ἐγκωμιασlικοὶ εἰς τὸν ἅγιον Ἀνδρέαν Κρήτης τὸν Ἱεροσολυμίτην τὸν ἐγκωμιάσαντα τὸν μέγαν τῶν Μυρέων Νικόλαον[7].

Κρήτης ὁ ποιμὴν δεῦρο παρὼν Ἀνδρέας,
Ἀφίσlαται γὰρ οὐδὲ τοῦ νῦν συλλόγου
Τῷ πανταχοῦ παρόντι[8] συνὼν δεσπότης,
Τὸν Μυρέων πρόεδρον ὑμνεῖ τὸν μέγαν·
Δοκεῖ γὰρ ἐσlὼς εἰς τὰ τῆς τέχνης βάθη
Τοσοῦτον ἀθρεῖν οὐρανὸν τερασlίων[9],
Ψάμμον τε μετρεῖν ἢ φορυτὸν ἀσlέρων[10],
Ἢ κυμάτων πρόσχυσιν ἢ βλάσlης γένος·

[1] Cram. *κατωμαδὸν σύρουσιν ἐκ τῆς ἀσπίδος*, omissis vs. 23 et 24.

[2] Idel. *σκότους*.

[3] Idel. [*ἐς*] pro *τόν*.

[4] Conf. cod. Flor. CLIX, 6.

[5] Cram. *ὅταν δ' αὐτόν*. Ideler *ὅταν δ' ἐπ' αὐτόν*.

[6] Ex codice Paris. 3088, E. Bigotii manu, qui notavit : «Cod. Ambros. N. num. 351, fol. recent. script.»

[7] De S. Nicolao, episcopo Myrensi in Lycia, vide Fabric. *Bibl. gr.* tom. X, pag. 298.

[8] Cod. *πυρόντι*.

[9] Cod. *τερασlείων*.

[10] Conf. cod. Paris. x, 56.

Ἀλλ', ὦ κιϐωτὲ[1] παντοδαπῶν θαυμάτων,
Οὐρανίων θάλαμε[2] θησαυρισμάτων,
Ἥλιε τῆς γῆς ἄφθονε πλωχοτρόφε,
Ἡ μὲν κάτω θάλασσα τῶν δεῦρο κρότων
Χεῖται προσηνὴς, σὺ δ' ἀναπλεῖς καὶ τρέχεις·
Τοῦ Πνεύματος γὰρ τὴν καλὴν αὖραν φέρεις,
Καὶ λιμένας δή τινας ἀῤῥήτους ἔχεις,
Ἀγωγίμοις βρίθουσι τὸν πλοῦν ἐξάγων.
Σοφὸς γὰρ εἶ σὺ τῶν ψυχῶν ἐπισλάτης
Τὸν τοῦ βίου μάλισλα κοιμίζων σάλον[3],
Καὶ τὰς ἀγωγὰς τῶν ἀϐουλήτων λύεις,
Καὶ τοὺς κατακλύζοντας αἱρεῖς κινδύνους.
Πλὴν εὐμενῶς τὸ δῶρον ὁ πρᾶος δέχου,
Κἂν ἐξελέγχθῃ τοῖς κατορθώμασί σου·
Εἰ γὰρ παρῆν ἐνταῦθα καὶ νοῦς ἀγγέλου,
Καὶ γλῶσσα καινὴ, καὶ γραφῆς ἄλλης κρότος,
Καὶ ῥημάτων δύναμις ὑπερκοσμίων,
Ἔδραμεν ἂν ὅ φασι παρὰ Λύδιον[4],
Ἐπείπερ αὐτὸς εἰς τὸ νικᾶν ἐκρίθης,
Τροφεῦ προμηθεῦ[5], κἂν συνεκρίθης ὅμως.
Καὶ μὴν ἐπαινεῖς τὰς παραθέσεις, μάκαρ,
Εἴ που τὶς ἀνθάμιλλον[6] αὐτοῖς σε κρίνοι
Τοῖς εὐδοκιμήσασι καὶ πρὸ τοῦ νόμου,
Καὶ τοῖς μετὰ χάριτος ἠγωνισμένοις·

[1] Conf. cod. Paris. CCIII, 6.

[2] Conf. cod. Flor. CCXII, 2.

[3] Cod. Flor. CXIII, 15 : Καὶ πραγμάτων ἅπαντα κοιμίζων σάλον. Conf. Sancti Ephræm. Syr. *Opp.* tom. I, pag. XXI : Καὶ θόρυϐον πάντα βιωτικὸν, καὶ κλύδωνα, καὶ σάλον ἐκκλίνων. Maxim. Tyr. I, 1 : Οὐχ ὑπομένουσι τὸν τῆς ψυχῆς σάλον.

[4] Cod. παραλύδιον. De hoc proverbio conf. *Parœmiogr.* in Παρὰ Λύδιον ἅρμα ibique interpr.

[5] Cod. προμυθεῦ.

[6] Cod. ἀνθάμαλλον.

Ὅταν γὰρ ᾖ τὸ πρᾶγμα νικῶν τὴν φύσιν,
Οὐκ ἔστιν ὑμνεῖν ἀπὸ τῶν ὑπὲρ φύσιν,
Ὥσπερ Θεοῦ θέλοντος ἐμφαίνειν θέαν,
Καὶ τὸ ξένον πρόσλημμα τῆς μετουσίας
Εἰς ἡλιακὸν παραμορφοῦμεν σέλας·
Ἀλλ' ἀκροατὴς[1] τῶνδε τῶν λόγων γίνου,
Καὶ τοὺς φόρους λάμβανε τοὺς ἐτησίους
Ζυγοστατῶν τὸ ψῆγμα τῆς προθυμίας.
Ὁ Χριστὸς αὐτός ἐστι δεικνὺς ἐν τύπῳ
Καὶ πρὸς τὰ λεπτὰ τῆς καλῆς χήρας βλέπων·
Μᾶλλον δὲ καὶ πλούτιζε τοὺς πενεστάτους,
Καὶ τὴν χάριν βράβευε δαψιλεστέραν·
Ἰσάγγελος γὰρ καὶ πρὸ τῆς ἐκδημίας
Ὑπῆρξας ἐν γῇ· σὺ δ' ἐπευλόγει, θύτα.

V[2].

Χρυσοῦ Λόγου τράπεζα τοῦ ζῶντος, κόρη,
Καὶ σωματικῶς καὶ ψυχικῶς με τρέφε.
Σὺ τοῦ Λόγου τράπεζα, κἀγὼ σὸς κύων·
Τῶν θαυμάτων πρόσριπτε, παρθένε, ψίχας.

VI[3]. Ἐπίγραμμα ἕτερον εἰς τοὺς δ' δι' ἰάμβων τοῦ Φιλῆ.

Πρὸς τὰς ἐπῳδὰς τῶν πονηρῶν πνευμάτων
Βύουσα τὴν αἴσθησιν, οἰκτρὰ καρδία,
Τῶν δεσποτικῶν ἀκροῶ διδαγμάτων·
Βρονταὶ γάρ εἰσιν ἐκ Θεοῦ προηγμέναι
Καὶ ῥεῖθρα[4] καινὰ μυστικῆς ἐπομβρίας,

[1] Cod. ἀκρατής, contra metrum et sensum.

[2] Edidit Boisson. *Anecd. gr.* tom. III, p. 23, ex cod. 1630, fol. 43 v°.

[3] Ex eodem codice, fol. 44 r°, edidit Boisson. *Anecd. gr.* tom. V, p. 171.

[4] De hac metaphora conf. cod. Vat. xi, 3.

Ὑφ' ὧν ὁ Σατὰν συσχεθεὶς ἀπεπνίγη.
Κἂν ἀστραπῆς ἔλλαμψιν ἀθρῆσαι θέλης,
Ἔχεις, ἰδοὺ, τὸ Πνεῦμα καὶ ταύτης πλέον·
Κἂν ὑλομανῇς ὑπὸ τῆς ἁμαρτίας,
Κάθαιρε καὶ λίπαινε τὸν χέρσον βίον,
Ὡς ἂν ὁ καρπὸς[1] εὐστοχῇ τῶν πρακτέων
Σταχυφορῶν[2] τὸ σπέρμα τῆς σωτηρίας.

VII[3]. Τοῦ Φιλῆ.

1. In S. Pascha et in tarditatem.

Εἰ[4] ζῇ τὰ νεκρὰ τῆς φθορᾶς ἐφθαρμένης,
Ἔδειξε Χριστὸς ἐκ ταφῆς ἀνηγμένος.
Εἰ ζῇ δὲ καὶ νοῦς εἰς ψυχὴν ἥκων λόγων,
Ὁ γρήγορος νοῦς εὐφυῶς ἂν δεικνύοι[5].

2. Apologeticus suæ in Pontum fugæ.

Τὸν[6] ἀστυκὸν θόρυβον οὐ στέγων[7], πάτερ,
Εἰς Πόντον ἐκπλεῖς, ἀλλ' ὑποστρέφεις πάλιν,
Ἐκεῖθεν ἡμῖν ὄλβον οὐ φαῦλον φέρων,
Τὸν νῦν κριτικὸν τῶν ἐπισκόπων λόγον.

3. Ad eos qui ipsum acciverant, nec venerant in Paschate.

Τὰς[8] εἰς τὰ καλὰ βλαπτικὰς ὑποθέσεις
Σοφῶς ἀναιρεῖς, τούσδε συνθεὶς τοὺς λόγους,

[1] Cod. Flor. XLIV, 52.

[2] Conf. cod. Flor. LII, 2.

[3] In S. Gregorii orationes. Hæc tetrasticha edid. Bandini, *Catal.* t. I, p. 242 sqq. et Matthæi Mosq. 1780, in-4°, p. 6 sqq. Insunt et in codd. Parisin. 554 et 528 qui infra litteris A et B indicabuntur.

[4] Bandin. p. 242.

[5] A, δεικνύει.

[6] Band. p. 242. Jam ediderant Lambecius in *Comment. de Bibl. Cæs.* lib. III, cod. 80, p. 184; Jac. Tollius in *Itiner. ital.* pag. 200, et post eos Wernsdorf, pag. 308, sed sine versu ultimo.

[7] Codd. Par. στέργων.

[8] Band. p. 242. Leg. ὑπερθέσεις.

Καὶ μακαρισμῶν πάντας ἀξίους, πάτερ,
Τοὺς ὀξέως τρέχοντας εἰς ταῦτα κρίνεις.

4. Contra Julianum invectiva prior.

Πολὺς[1] μὲν εἶ σὺ πανταχοῦ νικῶν, πάτερ,
Μόνου δὲ τοῦ νῦν ἀκριβῶς ἥττων μένεις·
Ἐχρῆν γὰρ εἰς ἓν συνδραμεῖν πάντα στόμα,
Καὶ τὸν στυγητὸν τῷ Θεῷ καθυβρίσαι.

5. Invectiva secunda.

Ἰουλιανὸς[2] ἐγκαλυπτέσθω τρέμων,
Καὶ δευτέραν γὰρ ἔσχεν ἰδοὺ καιρίαν,
Ὡς τοξότου βάλλοντος εὐστόχῳ ῥύμῃ
Σοῦ, πάτερ, αὐτόν. Εἴθε καὶ τρίτην ἔθου.

6. Prima de Pace.

Ἔλυσε[3] μὲν τὴν γλῶτταν ἡ προθυμία,
Ἥνωσε δ' εὐθὺς τῶν μοναστῶν τὴν στάσιν
Τὰ τοῦ λόγου σφίγματα τοῦ προκειμένου,
Μή που τὶ δεινὸν καὶ τὸ πᾶν ἔθνος πάθῃ.

7. In laudem Cæsarii fratris sui.

Ὁ[4] ζῶν ἀδελφὸς τὸν θανόντα δακρύων
Τὸν νῦν μονῳδεῖ καὶ τελευτήσας λόγον·
Ἑκάτεροι δ' οὖν τῷ Θεῷ ζῶσι πλέον,
Ἄλλους κρότους γράφοντες ἀλλήλοις πάλιν.

8. In laudem sororis suæ Gorgoniæ.

Καὶ[5] Γοργονίᾳ κειμένῃ τῇ συγγόνῳ[6]

[1] Band. p. 246.
[2] Band. *l. c.*
[3] Band. p. 242.
[4] Band. *l. c.*
[5] Band. *l. c.*
[6] Band. συγγένῳ.

Τὸ γρήγορον σὸν προσλαλεῖ, πάτερ, σ7όμα.
Πλὴν τοῦτο καινὸν, εἴγε μὴ θᾶτ7ον πάλιν
Πρὸς αὐτὸν ἐξέκυψεν ἡ σύμπνους λόγον.

9. Apologeticus ad patrem suum.

Ἰδοὺ[1] πατὴρ καὶ τέκνον, ἰδοὺ καὶ λόγος
Ἡδὺς πρὸς αὐτὸν, ὥσπερ ἐκ τόκου τόκος·
Ἐχρῆν γὰρ ἀμφοῖν τὴν γονὴν τὴν σαρκίνην
Καὶ τὴν λογικὴν προσλαβεῖν εὐτεκνίαν.

10. Apologeticus post reditum e fuga.

Ὁ[2] δραπέτης ἕσ7ηκε θαῤῥούντως λέγων,
Καὶ τοὺς δικασ7ὰς τῆς φυγῆς οὐκ ἐκκλίνει·
Μεῖναι γὰρ οὐκ ἦν τὴν σοφὴν ταύτην λύραν,
Καὶ τοὺς δυσηχεῖς τῇ πολιτείᾳ ψόφους.

11. Ad Gregorium Nyssenum.

Ἔδειξε[3] Γρηγόριος ἐκ τοῦ νῦν λόγου
Τὴν τῷ φίλῳ[4] πρέπουσαν εἰς φίλον[5] σχέσιν·
Τῷ γὰρ ἀδελφῷ τοῦ Βασιλείου τάδε
Σοφῶς διαιτῶν[6] ὡς τροφὴν καταρτύει.

12. De se ipso, et ad patrem senem.

Λαλεῖ[7] πρὸς υἱὸν ὁ σπορεὺς πλὴν ἀγράφως,
Λαλεῖ δὲ καὶ παῖς τῷ σπορεῖ πλὴν ἐγγράφως,
Καὶ γίνεται δὴ κρᾶσις ἀμφοῖν τις ξένη,
Λόγου σιωπὴ, καὶ σιγῆς αὖθις λόγος.

[1] Band. p. 243.

[2] Band. *l. c.*

[3] Band. *l. c.* Codd. Paris. A, B et Matth.

[4] τοῦ φίλου Band.

[5] φίλων A.

[6] δι' αὐτὸν Band. et Matth.

[7] Band. *l. c.*

13. In electione Eulalii Doarensium episcopi.

Θησαυρὸν [1], Εὐλάλιε, δογμάτων βλέπων,
Ἅρπαζε μὴ ψήγματα καὶ βώλους μόνον·
Γρηγόριος γὰρ μὴ φθονῶν σοι τῆς τύχης
Σωρηδὸν εἰσήνεγκεν αὐτὸν ἐνθάδε.

14. De pauperum amore.

Τράπεζαν [2] ἁβρὰν καὶ πρυτανεῖον μέγα,
Τὸν δεῦρο σαφῶς ὀργανοῖς, πάτερ, λόγον·
Καὶ τοῖς φίλοις πένησιν αὐτὸν ἐκδίδως,
Οἷς δὴ συναλγεῖν ἀξιοῖς τοὺς εὐπόρους.

15. In Macchabæorum laudem.

Ἔδειξε [3] Γρηγόριος ἐκ τοῦ νῦν λόγου
Πῶς δύναται νοῦς [4] ζωγραφεῖν πάντα χρόα·
Μικροῦ γὰρ αὐτοὺς ἠνθρακωμένους [5] βλέπω
Τοὺς παντοδαποὺς τῷ Θεῷ στεφανίτας.

16. In plagam grandinis.

Πατὴρ [6] σιωπᾷ καὶ λαλεῖ παῖς ἐνθάδε.
Τὴν [7] γὰρ χαλαζῶν ἐμβριθῶς κατηγμένων
Ὁ μὲν γέρων ἔπληξε καὶ συνεστάλη,
Ὁ δὲ πρὸς ἀκμὴν ἄλλον ἐξῆρε κτύπον.
Οὐρανόθεν χάλαζα ῥιφεῖσα βρύχει·
Πλὴν τὸν μὲν ἐκ γῆς πάντα καρπὸν συντρίβει·

[1] Band. p. 247.
[2] Band. p. 244. Codd. A, B et M.
[3] Band. *l. c.* Codd. A et B.
[4] νοῦ B et M. Deest in A.
[5] Band. ἐνθρακωμένους.
[6] Codd. A et B. Deest in Band. et in M. qui tantum habent tetrastichon sequens Οὐρανόθεν κ. τ. λ. Versus 9-16 sunt ab ineptis Philæ Simiis.
[7] Fort. τῶν γὰρ χαλ.

Ποιεῖ δὲ τὸν νῦν οὐρανοδρόμον[1] λόγον,
Πληγῆς πονηρᾶς ἀντιφάρμακον πόαν.
Χάλαζα δεινὸν τυγχάνει ὅταν ὕει·
Ὕδωρ δὲ λεπτὸν καὶ γλυκὺ ἄριστόν γε.
Τὴν γοῦν χάλαζαν Θεὸς εἴθε μὴ βρέξαι,
Ὕδωρ δὲ μᾶλλον ἡδὺ τὸ τρέφον στάχυν.
Ἀρούρας ὠφελεῖ καλὴ ἐπομβρία[2],
Ἀνομβρία δὲ τὰ σπέρματα ἐκθλίβει.
Αἰτούμεθα γοῦν τὸν Θεὸν τούτου χάριν,
Ὕειν τε καὶ λάμπειν, ἄνω δ' ἀὴρ ψύχειν.

17. Ad cives suos et ad præfectum irascentem.

Ἄρχοντος[3] ὀργὴ, δεῖμα τοῖς ὄχλοις μέγα,
Μεῖζον δὲ κακὸν, εἴ τις ἐκ τούτου στάσις.
Γρηγόριος γοῦν εὐφυῶς τοῦτο βλέπων
Ἑκατέρων ἵστησι τὸν λόγον μέσον.

18. Funebris in patrem.

Εἰ[4] σὺ μὲν υἱεὺς, καὶ σπορεὺς, ὃν δακρύεις,
Λόγος δὲ τὸν φύσαντα μὴ θνήσκειν, πάτερ,
Τί τοῦτο ποιεῖς; ἀλλὰ πῶς φησι, ξένε,
Μητρὸς ποθεινῆς ἀμβλυνῶ βρέμον πάθος.

19. Ad Julianum exæquatorem.

Τὸν[5] ἐξισωτὴν τῶν βασιλείων φόρων
Ὁ γρήγορος νοῦς δεξιοῦται τοῖς λόγοις[6],
Καὶ τοὺς φόρους τίθησιν εὐθὺς[7] μετρίους
Εὐσπλαγχνίας πλάστιγγας αὐτῷ ῥυθμίσας.

1 Band. et M. αἰθεροδρόμον.
2 Supra ἤγουν πολὺς ὑετός.
3 Band. p. 243.
4 Band. *l. c.*
5 Band. p. 243. Codd. A et B.
6 Band. τῷ λόγῳ.
7 Band. et M. τίθησι μετριωτέρους. Cod. B. αὐτῷ pro εὐθύς.

20. De dogmatibus et constitutione episcoporum.

Καὶ[1] δογματιστὴς καὶ Θεοῦ ῥήτωρ γίνῃ,
Καὶ παιδαγωγὸς τῶν ἐπισκόπων, πάτερ·
Πολλοὺς γὰρ ἂν ἔβλεψεν αὐτοὺς ἡ κτίσις,
Εἰ μὴ σὺ τοὺς πρέποντας ἠκρίβους νόμους.

21. In laudem magni Athanasii.

Ἀθανάσιε[2], τάχα καὶ ζῇς καὶ πνέεις,
Ὡς οὐ παρελθὼν τὸν βραχὺν τοῦτον βίον[3].
Ἀθάνατον γὰρ πανταχοῦ σε δεικνύων
Ὁ γρήγορος νοῦς τόνδε σοι πνεῖ τὸν λόγον.

22. Secunda de pace.

Ἰδοὺ[4] συνελθὸν εἰς ὁμοφθόγγους βάσεις
Τὸ χθιζὸν ἀντίφθεγμα τῆς ἐκκλησίας!
Ὁ γρήγορος νοῦς τὸν σοφὸν τοῦτον λόγον
Εἰρηνικὸν σύνδεσμον αὐτῇ δεικνύει.

23. Tertia de pace.

Ἰδοὺ[5] τρίτον τίθησιν εἰρήνης λόγον
Ἡ δαυϊτικὴ[6] σφενδόνη τοῦ δεσπότου,
Δι' οὗ τὸν ἐχθρὸν τῶν ψυχῶν καταισχύνει
Λύουσα πᾶν ὄνειδος ὀρθοδοξίας.

24. In S. Cyprianum.

Ὁ[7] Κυπριανὸς πρὶν μὲν ἦν γόης μέγας,
Ἐσύστερον δὲ τῷ Θεῷ μείζων θύτης·

[1] Band. p. 244.
[2] Band. *loc. cit.* Codd. A, B et M.
V. 3 fort. leg. *ἔβλεψε νωθρούς.*
[3] Band. *χρόνον.*
[4] Band. p. 243.
[5] Band. p. 246.
[6] Band. *δινιτική.*
[7] Band. pag. 244. Codd. A, B et M.

Ταύτης δὲ τῆς χάριτος οὐκ ἔχων κόρον
Καὶ μαρτυρικὸν δείκνυται θῦμα ζέον.

25. In laudem Heronis philosophi.

Ἄνθρωπον[1] ἐξόριστον ἀθρήσας, μάκαρ,
Εἰς τὴν κατ' αὐτὸν εὐτυχῶς ἀνηγμένον
Ἐκ τοῦ λόγου μάρτυρα μικροῦ δεικνύεις,
Καὶ ζηλότυπόν τινα τοῖς ἄλλοις νόμον.

26. De se ipso.

Ἀτθὶς[2] ὅλη σὺ, κἂν ἐπ' ἀγροῦ τι γράφοις·
Οὐ γὰρ τόποι κρίνουσι τὰς φύσεις, πάτερ.
Οὐκοῦν σεαυτῷ προσλαλεῖς καὶ τοῖς φίλοις
Τὸν πραγμάτων γέμοντα φαυλίζων βίον.

27. Adversus Eunomianos.

Ἔπληξεν[3] Εὐνόμιον ἡ σὴ σφοδρότης,
Καὶ τοὺς ἀπ' αὐτοῦ πάντας οἰκτροὺς δεικνύεις·
Εἴργεις γὰρ αὐτοὺς δογματίζειν ἀφρόνως,
Καὶ τοὺς ἀναιδεῖς ψαλμικῶς ἄγχεις γνάθους.

28. De theologia.

Ἄνωθεν[4], οὐ κάτωθεν, ὦ πάτερ, λέγεις·
Θεὸς γὰρ ἐν σοὶ, καὶ θεοῦ πλάκας φέρεις,
Καὶ δημαγωγεῖς εὐφυῶς καὶ κοσμίως,
Ἐπηλυγασθεὶς μυστικῆς αὔρας γνόφῳ.

29. De filio prima.

Τὴν τοῦ Λόγου γέννησιν ἡμῖν δεικνύων
Καὶ γνωσιμαχεῖς, καὶ λαλεῖς, πάτερ, ξένα·

[1] Band. p. 244.
[2] Band. p. 246.
[3] Band. p. 244.
[4] Et sequens, Band. *l. c.*

Πρὸς γὰρ ἀπαθῆ καὶ ῥοῆς ὑπερτέραν
Τίς ἂν ὅλως πρόβλημα γενναῖον τέκοι;

30. De filio secunda.

Πάλιν[1] τὸν υἱὸν δογματίζεις τῇ κτίσει,
Καὶ τεκνοποιεῖς πᾶσαν αὐτῷ τὴν φύσιν·
Καὶ γὰρ ὁ πατὴρ ἀσφαλῆ σε δεικνύει,
Τοῦ Πνεύματος λαλοῦντος, ἃ γράφεις, πάτερ.

31. De Spiritu sancto.

Ἕλλην[2] μὲν ἂν φλήναφος εἰς ὕδωρ, πάτερ,
Σὺ δ' εἰς τὸ σεπτὸν εὐφυῶς πνεῦμα γράφεις·
Καὶ γὰρ ἑαυτῷ ζωγραφεῖ καὶ δεικνύει
Κυροῦν ἅπερ φῇς, μὴ φυῇ νόθοις σέβας.

32. De moderatione in disputationibus.

Τὴν[3] ἐκ λόγων ἅμιλλαν, ὡς χρὴ, σεμνύνων,
Εὐταξίας δόγματα θεσπίζεις, πάτερ·
Τὸ κόσμιον γὰρ πανταχοῦ φίλον τίθης
Καὶ τὴν ἐπιπρέπουσαν εὐαρμοστίαν.

33. Adversus Arianos.

Ἀρειανοὶ[4] τεφροῦσθε ληροῦντες μάτην,
Τὴν γὰρ ὑμῖν ἔφλεξε κακοδοξίαν
Ὁ γρήγορος νοῦς ἀδρανοῦς ὕλης τρόπου[6]
Ὀξὺς κέραυνος εὑρεθεὶς τοῖς ἐκφύλοις.

34. In Ægyptiorum adventum.

Ὁ[5] μὲν Σολομὼν ἐκ νότου βασιλίδα,

[1] Band. p. 245.
[2] Band. *l. c.*
[3] Band. *l. c.*
[4] Band. p. 245.
[5] Band. p. 244.
[6] De hac voce dubito.

Σὺ δ' ἀνθυποσπᾷς χύματι γλώτΊης, πάτερ,
Ἄπειρον ἑσμὸν εὐσεβῶν ΑἰγυπΊόθεν,
Τὰ τῶν λόγων κρούματα θαυμάζοντά σοι.

36[1]. De se ipso.

Ἐπισκοπῆς[2] ἐρᾶν σε πᾶς τις ἂν λέγοι
Τῆς οὐ ταπεινῆς, ἀλλὰ τῆς ὑπερτάτης.
Καὶ γὰρ κατ' αὐτῶν ἐν λόγοις τῶν ἀφρόνων
Ἄνωθεν, οὐ κάτωθεν ὡπλίσθης, μάκαρ.

37. In illud Evangelii : *Quum consummasset Jesus*, etc.

Εὐαγγελικὰς[3] δεῦρο θαλάσσας βλέπων
Χαλᾷς τὸν ἁπλοῦν τῆς σαφηνείας βόλον,
Ζωγρῶν δὲ τὸν νοῦν τῶν ἀποῤῥήτων, πάτερ,
Τοὺς σοὺς ἐρασΊὰς ἑσΊιᾷς φιλοφρόνως.

38. In Theophania.

Ἄνθρωπε[4], συσΊάληθι πισΊεύσας μόνον,
Καὶ μηδὲν ἀμφίβαλλε τὸ πρᾶγμα βλέπων·
Τὰς γὰρ φύσεις ἤμειψεν ὁ κτίσΊης Λόγος
Σαρκὸς μετασχὼν καὶ θεὸς μείνας πάλιν.

39. In S. Lumina.

Γυμνὸν[5] θεωρῶν τὸν θεὸν καὶ δεσπότην,
Ἄνθρωπε, γυμνώθητι παθῶν καὶ δράμε·
Ὁ γὰρ ποταμὸς τοῦ προκειμένου λόγου
Παντὸς μολυσμοῦ τὰς ψυχὰς ἀποπλύνει.

[1] «In codice Florentino extremæ orationi xxxv nulli versus præcurrunt; eos tamen additurus amanuensis, vacuum inter orationis titulum et initium reliquit locum.» Band. p. 247.

[2] Band. p. 246.

[3] Band. *l. c.*

[4] Band. p. 245. Codd. A, B et Matth.

[5] Band. *l. c.* Codd. A, B et M.

40. In S. Baptisma.

Ἰδοὺ[1] ϖάλιν βάπτισμα καὶ φώτων χύσις·
Δὶς γάρ σε, ϖιστὲ, ϖρὸς τὸ καλὸν ὀτρύνω.
Σὺ γοῦν ϖάλιν ϖλύθητι καὶ φῶς εἰσδέχου,
Καὶ τοῖς ὑποχραίνουσι μὴ χρῶ ϖρακτέοις.

41. In Pentecosten.

Ἀλλ'[2] οὐδ' ὁ νυνὶ συντεθεὶς, ϖάτερ, λόγος
Τοῦ ϖανσόφου ϖνεύματος ἐγράφη δίχα·
Καὶ γὰρ ἕνα κρίνει σε τῶν ἀποστόλων
Γλώττης ξένης ϖνέοντα ϖυρφόρον μένος.

42. Oratio in præsentia CL episcoporum.

Ἐπισκοπικὴν[3] σεμνύνων ϖαρουσίαν
Τὴν τῶν λόγων τράπεζαν ὡς χρὴ δεικνύεις.
Καὶ γὰρ ἀγαθὸς ἑστιάτωρ εὑρέθης
Τὸ δογματικὸν, ϖάτερ, ἐγχέας ϖόμα.

43. In S. Basilium.

Πρόλογος[4] ὃν αὐθωρὸν ὁ Φιλῆς εἰς τὸν ϖαρόντα λόγον ἐξεῖπεν.

Ἄλλος ϖοταμὸς ὁ ϖροκείμενος λόγος[5]·
Καὶ γὰρ ἐν αὐτῷ μυστικῶς ὁ δεσπότης
Τὰ κρυπτὰ τοῦ ϖλάσματος ἐκπλύνει ϖάθη,
Καὶ δείκνυται φῶς καὶ τὸ νῦν λύει σκότος,
Ὃ τοῦ γένους ἔκρυψε τὴν ἀκοσμίαν·
Ῥίψαντες οὖν ἅπασαν ἐκ γῆς φροντίδα[6]

[1] Band. p. 245. Codd. A, B et M.

[2] Band. *l. c.* Codd. A, B et M.

[3] Bandini, p. 246. Codd. A, B et Matth. in quo εἰς μέσον τίθης pro ὡς χρὴ δεικνύεις.

[4] Ex cod. Paris. 554, fol. 113 r°. Deest in cod. B et in Band.

[5] Cod. ὁ ϖροκείμενος ὁ λόγος, contra metrum.

[6] Addidi φροντίδα.

Χωρεῖτε γυμνῇ τῇ ψυχῇ πρὸς τὸν λόγον,
Μᾶλλον δὲ βαπτίζεσθε καὶ ῥύπτεσθέ μοι
Ἄνδρες παρόντες, σὺ δ' ἐπευλόγει, θύτα.
Ζῆς[1] μάλα σεμνῶς καὶ τελευτήσας, μάκαρ·
Ὁ σύννομος γὰρ αὖθις ἐψύχωσέ[2] σε,
Μονῳδίας ἔντεχνον ἰσχὺν ἐγχέας
Ὡς πνεῦμα καὶ πῦρ[3] τῇ σκιᾷ τοῦ λειψάνου.
Αὐχεῖ[4] μὲν Ἑλλὰς μυρίους τοὺς ἐκγόνους,
Αὐχεῖ δὲ Πόντος τὸν Βασίλειον μόνον,
Καὶ καταποντοῖ τῷ καλῷ τὴν Ἑλλάδα·
Εἷς γὰρ καθ' Ἡράκλειτον ἐστὶ μυρίοι.
Κυνηγετοῦσιν οἱ χαμαὶ κυνηγέται
Κραυγαῖς ὑλακαῖς πλεκτάναις δόλοις λόχοις·
Κυνηγετοῦσιν οἱ Θεοῦ κυνηγέται
Εὐχαῖς προσευχαῖς· πίστις ἐκ Βασιλείου.
Καὶ τίς δὲ, Βασίλειε, τοῦ φύντος πλέον
Καθηγεμών σοι καὶ διδάσκαλος πρέπει;
Ὅθεν παρ' αὐτῷ τὸν λόγον καὶ τὸν βίον
Ὡς ἀρχετύπῳ γνησίῳ συνηυξάνου.
Πόντος σὲ, Βασίλειε, γεννᾷ καὶ φύει,
Λόγοις δὲ Καισάρεια παντοίοις τρέφει·
Μεθ' ἧς Ἀθῆναι καὶ τὸ Βύζαντος πέδον.
Τίς οὖν σε τούτων ἀγκαλίσαιτο πλέον;
Ναὶ ναὶ τὸ λουτρὸν τοῖς Ἀθήνησι ξένοις
Ὡς πλῆκτρον ὡς φόβητρον ὡς καινὴ θέα·
Ἀλλ' ἄχρι ταῦτα τοῦ σοφοῦ Βασιλείου
Μόνου φυγόντος τοὺς νεηλύδων νόμους.

[1] Band. p. 243. Codd. A et B.

[2] εὐψύχωσε A.

[3] Band. et Matth. καὶ φῶς.

[4] Hoc et sequentia tetrasticha sub nomine Theod. Prodr. ed. Basil. 1536. Desunt in Band. et in cod. B.

Σοφιστομανεῖς Ἀρμένιε, πλὴν μάτην·
Καὶ κομψολεσχεῖς, πλὴν κενῶς χέεις ψόφους.
Καὶ τίς γὰρ εἶ σὺ συλλογισμῷ καὶ λόγῳ
Πρὸς Γρηγορίου καὶ Βασιλείου στόμα;
Καππαδόκαι τὸ πάσχον, ἡ νόσος λιμὸς,
Ἰατρὸς ἡ χεὶρ τοῦ σοφοῦ Βασιλείου·
Τὸ φάρμακον λέβητες ἑφθῶν κυάμων,
Ὑπηρετοῦντος θαῦμα τοῦ δεδωκότος.
Ἐκεῖνο τοῦτο νῦν ἄνω φῶς λυχνίας,
Ἐκεῖνο τοῦτο νῦν ὄρους ἄνω πόλις·
Καισαρέων γὰρ ἐγκαθίδρυται θρόνῳ
Τὸ πίστεως φῶς, ἡ θεόδμητος[1] πόλις.
Ἔπαρχος εἶ, Μόδεστε, τοῖς ἄλλοις ὅλοις·
Μόνῳ δ' ὕπαρχος τῷ σοφῷ Βασιλείῳ.
Ἀρχὴ[2] γὰρ αὐτῷ, καίπερ ἐξάρχειν θέλων,
Μυρμηκιᾶς δὲ, καίπερ ὡς λέων βρύχων.
Οὐχ οὗτος ὁ χθὲς ἰταμὸν βρύχων λέων
Καὶ πάντ' ἀπειλῶν[3] τὸν μέγαν δεινὸν δράσειν;
Νῦν ἱκετεύει, ποτνιᾶται, δακρύει,
Ζητεῖ νόσου λύτρωσιν, ἣν καὶ λαμβάνει.
Τῆς ὕβρεως ὕπαρχε καὶ τῆς αἰσχύνης,
Γυναῖκας αἰτεῖς ἐν Βασιλείου δόμοις,
Γυναῖκας αἰτεῖς ἐν μελάθροις ἀγγέλου,
Καὶ τοὺς κεραυνοὺς τοὺς ἀφ' ὕψους οὐ τρέμεις.
Ἔζησας ὡς ἄσαρκος ἀγγέλου βίον·
Τέθνηκας ὡς ἔνσαρκος ἀνθρώπου μόρον·
Ἢ πῶς ἂν ὤφθης τῆς κάτω ζύμης μέρος,
Εἰ μὴ δὲ κἂν τέθνηκας, ὦ Καππαδόκη;

[1] Conf. cod. Esc. xxvi, 6, et *Patr. Apost.* ed. Cotel. t. I, p. 816.

[2] Huic versui inhæret vitium.

[3] Ed. καὶ πάντα ἀπ.

44. In novam dominicam.

Μάμας[1] ἀμολγαῖς εὐπαθῶν πρὶν δορκάδων
Πανηγυρικοὺς δεῦρο θηλάζει κρότους,
Καὶ τοῦ χρόνου δείκνυσι τὴν βασιλίδα
Ἣ πάσχα καινὸν καὶ ψυχῶν ἔαρ φύει.

45. In S. Pascha.

Ἔμπνευσις[2] ἰδοὺ τοῖς θανοῦσι δευτέρα,
Νοημάτων ἔχουσα καὶ τέχνης βάθος·
Παρῆκε γὰρ[3] δὴ τὴν Ἐλισσαίου τρίτην
Ὁ γρήγορος νοῦς, τῆς σκιᾶς πεπαυμένης.

46. In Ezechielem[4].

Ἰεζεκιὴλ[5] τοὺς ἀποκρύφους λόγους
Ἤγαγες εἰς φῶς, ὥσπερ εἰς ὄρθρον σέλας,
Μή που τὶ καὶ πρόσκομμα τοῖς ἄλλοις φέροι
Τὸ γρίφον αὐτοῦ καὶ σκιᾶς γέμον, πάτερ.

47. In Ecclesiasten[6].

Ἐκκλησιαστὴς[7] μᾶλλον αὐτὸς εὑρέθης
Ὁ δημαγωγὸς τῶν ὑπὲρ νοῦν δογμάτων·
Συνήγαγες μὲν πᾶσαν ἀνθρώπων φύσιν,
Ὡς ἄλλος Ὀρφεὺς τεχνικῆς γλώττης μέλει.

48. Ad Cledonium prima.

Λάμβανε[8], Κληδόνιε, τὰς θείας πλάκας,
Ἃς σοι θεὸς πέπομφεν ἐγγεγραμμένας

[1] Band. p. 245. Codd. A et B.
[2] Band. *l. c.* Codd. A et B.
[3] γὰρ τὴν τοῦ Ἐλ. Band. et B.
[4] *Edit.* tom. I, p. 870.
[5] Band. p. 247.
[6] *Edit.* tom. I, p. 874.
[7] Band. p. 247.
[8] Band. p. 246.

Τῷ δημιουργῷ τοῖς ἔργοις τῶν δακτύλων·
Τῶν γὰρ παλαιῶν ἧττον οὐδὲν ἐνθάδε.

49. Ad Cledonium secunda.

Καὶ[1] δευτέρας δέδεξο βροντὰς ὑψόθεν
Τὰς δογματικὰς ἀστραπὰς φρίξας τέως,
Βέλτιστε Κληδόνιε· καὶ γὰρ ὁ γράφων
Ἐκχεῖ μετ' ἀκμῆς γνωστικὴν ἐπομβρίαν.

50. Ad Nectarium.

Στήριζε, Νεκτάριε, τὴν ἐκκλησίαν,
Καὶ τὰ στίφη λίπαινε μὴ βόσκων μάτην·
Ὁ γρήγορος νοῦς τοῦ Θεοῦ γὰρ[2] ἐνθάδε
Σοφῶς διασπᾷ τοὺς βαρεῖς ταύτης λύκους.

51. Ad virginem exhortatio.

Καλὸν[3] μὲν ἁπλῶς πᾶσα γυνὴ παρθένος·
Ἀλλ' ἣν ἂν αὐτὸς ἐμμελῶς ἀπαρτίσῃς,
Ἔχει τι πασῶν τῶν ἀδιδάκτων πλέον,
Ὦ νυμφαγωγὲ τῶν ψυχῶν τῶν ἀφθόρων.

52. Ad Evagrium monachum.

Εὐάγριε[4], θήραμα τῷ Γρηγορίῳ·
Θεῖον γὰρ ἀμφίβληστρον ἐνθάδε πλέκων
Ἄφωνον ἰχθὺν τόνδε μικροῦ δεικνύει
Τὴν τῶν λόγων δύναμιν ἐκπεπληγμένον.

VIII.

Δαβὶδ[5] μελῳδὲ μουσικῆς ἀποκρύφου,

[1] Et seq. Band. p. 246.
[2] Band. et cod. γὰρ τοῦ Θεοῦ.
[3] Band. p. 247.
[4] Band. p. 247.
[5] Psalterii græci Venetiis circa annum 1495 impressi extremam paginam

Σὺ μὲν δι' αὐτῶν καὶ θανὼν ζῇς τῶν λόγων,
Ἡμῖν δὲ τὴν σὴν ἐμμελῆ δίδως λύραν,
Ἧς ἐστὶν εὑρεῖν ἐμμελῆ τὰ πρακτέα.
Καὶ γὰρ δι' αὐτῆς μυστικῶς κινουμένης
Διώκεται μὲν ἐμπαθὴς πᾶσα φθίσις·
Ἐλαύνεται δὲ δυσχερὴς ἅπας πόνος[1]·
Συστέλλεται δὲ συμφορῶν ἀπληστία·
Κοιμίζεται δὲ γνωστικῆς ἅλμης κλύδων·
Στηρίζεται δὲ τῶν παθῶν ἡ στεῤῥότης·
Καὶ τέρπεται μὲν τῆς ψυχῆς ἡ σεμνότης·
Ἐλέγχεται δὲ τοῦ Σατὰν ἡ φαυλότης
Ἐκ τῆς νοητῆς τῶν μελῶν εὐρυθμίας.
Ὦ τίς τοσαύτην εὗρεν ἀνθρώπων χάριν,
Εἰ μὴ σὺ τὴν πρέπουσαν ἀνθρώποις χάριν;

IX. Τοῦ αὐτοῦ[2] εἰς εἰκόνα τοῦ ὑπεραγάθου σωτῆρος Χριστοῦ, ὡς ἀπὸ βασιλέως κυροῦ Ἰωάννου.

Σὺ μὲν καθιστᾷς γῆς με πάσης δεσπότην,
Ὁ παμβασιλεὺς ὑπεράγαθος Λόγος,
Καί μοι πρὸ ταρσῶν πᾶν τὸ βάρβαρον κλίνεις,
Ὡς καὶ φόρους μοι δουλικῶς συνεισφέρειν·
Καὶ προσκύνησιν οὐκ ἐμοὶ μόνον νέμει,
Ἀλλ' εἴ τις ἡμῶν εἰκονισθῇ καὶ τύπος·
Ἐγὼ δὲ τῷ πλάσαντι καὶ στέψαντί με
Καὶ ταῦτα πάντα δόντι καὶ στέψαντί με
Τὴν δουλικὴν εὔνοιαν εἰσφέρω πάλιν,

hi claudunt versus sine nomine auctoris: sed facile agnoscas Manuelem Philen cui restituendi sunt.

[1] Cod. Paris. CCIII, 40: Κοιμίζεται δὲ συμφορῶν μέγας κλύδων, Ἀμβλύνεται δὲ δυσχερὴς ἅπας πόνος.

[2] Id est Theodori Prodromi, ex codice 854, fol. 229 r°.

Καὶ ζωγραφῶν σε προσκυνῶ σου τὸν τύπον,
Καὶ τὴν ἀπ' ἀργύρου τε καὶ χρυσοῦ χάριν
Καθώσπερ ἄλλους εἰσκομίζω σοι φόρους·
Ἐμοὶ γὰρ ἐκ σοῦ καὶ βίου πρώτη πλάσις,
Καὶ σκῆπτρα καὶ πάτριος ἀρχικὸς θρόνος,
Καὶ μυρίων πέλαγος[1] ἀριστευμάτων,
Ὧν ἥλιος μὲν μάρτυς ἀψευδὴς ἄνω,
Κάτω δὲ τῆς γῆς καὶ θαλάττης τὰ πλάτη.
Ἀλλ', ὦ κραταιὲ, πανσθενὲς παντοκράτορ,
Καὶ τοὺς προλοίπους δάμασόν μοι βαρβάρους,
Καὶ τοῖς ἐμοῖς φύλαττε τὴν πόλιν πόνοις,
Καὶ ψυχικὴν δὸς ἐν τέλει σωτηρίαν.
Ἰωάννης σοι ταῦτα πιστὸς οἰκέτης
Πορφυρόβλαστος[2] Κομνηνὸς αὐτοκράτωρ,
Τῷ βασιλεῖ μου καὶ θεῷ καὶ δεσπότῃ.

X. Τοῦ αὐτοῦ ἐπὶ ἀναγνώσει[3].

Ὁ παμβασιλεὺς ἐξανέστη τοῦ τάφου·
Ἡ συναγωγὴ τῶν Ἰουδαίων μάθε
Πῶς ἐξανέστη τοῦ τάφου κεκλεισμένου
Καὶ κειμένου δ' ἄνωθεν αὐτοῦ τοῦ λίθου,
Καθὼς προῆλθεν ἐκ πύλης κεκλεισμένης,
Τῆς παρθενικῆς ἐσφραγισμένης πάλιν·
Ψευδὲς τὸ ῥητὸν, τίς γὰρ ἂν πίστιν λάβῃ[4];
Τὸ γὰρ ἀληθὲς τοῖς μαθηταῖς ἐκλάπη·

[1] Theod. Stud. codex Parisin. 891, fol. 237 r°: Ἀπὸ πελάγους τῶν ἁμαρτιῶν μου ἀναῤῥυσάμενος. Germ. Cpol. cod. Coisl. 278, fol. 166 v°: Παρασύρου διὰ τοῦ τῶν δακρύων ῥεύματος εἰς τὸ πέλαγος τῶν οἰκτιρμῶν τοῦ θεοῦ.

[2] Theodor. Prodr. cod. Paris. 400, f. 113 v°: Ἄκουε πορφυρόβλαστε σκηπτοῦχε πολιοῦχε.

[3] Cod. 854, 229 v°. Cod. Ven. 512, sub nomine Philæ. Fort. del. v. 10.

[4] Fort. λάβοι.

Ποῖ δ' οἱ φύλακες ἦσαν; οὐκ ἐν τῷ τάφῳ
Ἐπαγρυπνοῦντες παρ' ὅλην γε τὴν νύκτα
Ὀλίγον ἀφύπνωσαν ἐκ ῥᾳθυμίας;
Εὐθὺς δ' ὁ νεκρὸς τοῖς μαθηταῖς ἐκλάπη·
Ἀσυλλόγιστον εἶπας, αἱ γὰρ σφραγίδες
Σῶαι μένουσιν, ὡς λέγεις, ἐν τῷ τάφῳ·
Εἰ γὰρ ὁ Χριστὸς τοῖς μαθηταῖς ἐκλάπη,
Οὐκ ἦν ὁ τάφος ἐσφραγισμένος πάλιν.
Πίστευε λοιπὸν, τὴν ἀνάστασιν λέγε,
Τοῖς στρατιώταις μηδαμῶς χρυσοῦν δίδου
Χριστὸν κλαπέντα μαρτυρεῖν πανταχόσε,
Ἐπείπερ οὐ δόξουσιν ἀληθῶς λέγειν·
Ὁ γὰρ ἀληθὴς ἀμετάβλητος Λόγος
Ἀρκεῖ τοσαῦτα τοῖς Ἰουδαίοις λέγειν.
Τυφλοὶ γὰρ ὄντες οὐ δύνανταί τι βλέπειν,
Ἀλλ' οὐδὲ κωφεύοντες ἀκούειν ὅλως·
Σὺ δ' ἐξαναστὰς, ὦ Θεοῦ θυηπόλε,
Τὸν εὐλογητὸν τοῖς προκειμένοις δίδου.

XI. Μονῳδικὸς[1] ἐπὶ τῷ γαμβρῷ τῶν βασιλέων κυρῷ Μανουὴλ τῷ Ἀνεμᾷ[2].

Ἐμέλλομέν σοι καὶ μονῳδίαν[3] γράφειν,
Ἥρως Μανουὴλ, κῆδος αὐτοκρατόρων,
Σοφὲ[4] στρατηγὲ, πύργε Ῥωμαίων μέγα,
Οἱ παιανικοῖς καὶ γαμηλίοις λόγοις

[1] Cod. Paris. 854, fol. 230 r°. Cod. S. Marci n° 512 cum lemmate: Monodica ἐπὶ τῷ γαμβρῷ τοῦ βασιλέως κυρίῳ Μανουὴλ τῷ ..... Fort. Theodori Prodromi.

[2] De hoc homine conf. Ducang. ad Zonar. tom. II, p. 122, ubi quosdam hujusce carminis versus ex nostro codice edidit, incerto, ut putat, auctore.

[3] Μονῳδίας cod. Venet.

[4] Versus 3-6 ap. Ducang. ubi male παιανικά et δακρύσθαι.

Τοὺς τῶν τέκνων σου συγκροτήσαντες γάμους·
Ἐμέλλομέν σε καὶ θανόντα δακρύσαι
(Ὢ πῶς λαλῶ θανόντα καὶ λαλεῖν στέγω!),
Καὶ πικρανεῖσθαι θλίψεως ἀψινθίᾳ
Οἱ σῇ ξυνάρσει πολλαχοῦ καὶ πολλάκις
Τὸ χαρμονικὸν ἐκτρυγήσαντες μέλι.
Τηρεῖ με καὶ γὰρ ὡς ἔοικεν ἡ τύχη
Τῶν δεσποτῶν μου τοῖς τάφοις θρηνεργάτην[1],
Σώζουσα κακῶς δυστυχῆ σωτηρίαν.
Πλὴν ἀλλὰ γὰρ ἐνταῦθα τῆς τραγῳδίας
Ἐπεχέθη μοι καὶ τὸ ῥεῦμα[2] τοῦ λόγου.
Οὐ γὰρ τὸ συμβὰν ἐκτραγῳδῆσαι φθάνω,
Καί με προχυθὲν προφθάνει τὸ δάκρυον.
Οὔπω μονῳδεῖν ἄρχομαι τὰ τοῦ πάθους,
Καί με στεναγμὸς βύθιος προλαμβάνει.
Οὔπω προβάλλω τὰς λαβὰς τὰς πενθίμους,
Ἢ τῶν κατ' ἀρχὰς ἄρχομαι προοιμίων·
Καὶ πάλλεταί μοι καρτερῶς ἡ καρδία,
Δραμεῖν δ' ἀπειλεῖ καὶ προκύψαι τῶν ἔσω
Τὸ στέρνον ἐκρήξασα[3] πολλῇ τῇ βίᾳ.
Οἷον γάρ, ὦ κράτιστε τῶν ἄστρων ἄναξ,
Ἰδεῖν ἐκαρτέρησας ἐν βίῳ πάθος,
Τόσον στρατάρχην δεξιὸν βουληφόρον

[1] Hac voce augenda lexica, quibus addi possunt : Βυρσεργάτης, Tzetz. Iambi, p. 511, ed. Kiesl. : Σκυτεὺς, ταριχεὺς, δυσγενὴς ἐργάτης. Versus syllaba brevior; leg. βυρσεργάτης ex cod. Paris. — Καινεργάτης, Theodor. Lascar. *Bibl. Patr.* Mai, tom. VI, p. 260. — Πανεργάτης, Doxop. in S. Athanas. *Opp.* t. I, p. CLXIV. In Meliten. v. 3037 : Παντεργέ μου; sed fort. leg. παντουργέ, quam formam adhibuit in v. 3031. — Σκηπτεργάτης, Theod. Lascar. *l. l.* p. 261. — Σφαιρεργάτης, id. *ibid.* p. 262.

[2] Eust. *Op.* p. 24, 38 : Τὸ γὰρ τοῦ ἐνθέου λόγου ῥεῦμα... προῤῥέον εἰς ἡμᾶς.

[3] Cod. ἐκρρήξασα.

Ἅδου πεσεῖν πάρεργον ἀκαρεῖ χρόνου·
Τόσον λέοντα καρτερὸν βαρυβρύχην[1]
Κεῖσθαι βρυχηθμοῦ καὶ θράσους λελησμένον·
Τόσην καλὴν ἅλωνα φιλανθρωπίας
Καινὴν παθεῖν λίκμησιν ἄχρι πυθμένος.
Ὦ[2] πάμμεγα φρόνημα καὶ βουλῆς πλάτος,
Ὕψος τύχης ἄτεκτον[3], ὄγκος ἀξίας,
Ἡρωϊκῆς βλάστημα τῆς ῥιζουχίας,
Καὶ ῥίζα πολλῆς εὐθαλοῦς εὐδενδρίας[4]!
Ὦ κόσμος ἠθῶν ἀγχινουστάτη φύσις,
Καὶ νοῦς ἀκάμας εἰς κυβέρνησιν μάχης!
Ὦ βλέμμα βασίλειον, ἀρχικὴ θέα,
Βραχιόνων κράτυνσις, ἀλκὴ καρδίας,
Καὶ πρῶτον εἶδος ἄξιον[5] τυραννίδος,
Ποῦ τὴν καθ' ἡμᾶς ἐκλελοιπότα κτίσιν,
Ὡς ναῦν ἀνερμάτιστον[6] ἐν κλυδωνίῳ,
Ὁμοῦ συνεισέδυτε ταύτην τὴν λίθον
Καὶ συστενοῦσθαι τῇ σορῷ συνειργμένα!
Ἄναξ[7] Μανουὴλ πορφυράνθητε κλάδε,

[1] Hac voce et ejusmodi sequentibus ditari possunt lexica. Βαρυαλγέω, German. Cpol. cod. Coisl. 278, fol. 177 r°: Κατηφιᾷς καὶ βαρυαλγεῖς. — Βαρυαλγία, Id. in corporis Sepult. p. 1500, B: Νὺξ βαρυαλγίας καὶ συμφορᾶς. — Βαρυβρίμητος, Theod. Prodr. ap. Boisson. *Anecd. nov.* p. 377: Καὶ μὴ βαρυβρίμητον, ὑψαυχηβρέμην. — Βαρύδαρτος, Theod. Stud. p. 466 A. — Βαρύγχητος, Jo. Damasc. *Opp.* tom. II, p. 837 A: Βαρύγχητον ἐκπέμπει μέλος. — Βαρυκακοδαίμων, codex Parisin. 2750 A, fol. 104 v°. — Βαρυλάλος, cod. Paris. 2421, fol. 53, 2ª part. — Βαρυογκώδης, Meletius, *De homine*, pag. 9, ed. Cramer. — Βαρυστέναχος pro πολυστέναχος, codex Coisl. Constant. Manass. v. 4008. — Βαρύστερνος, *Schol. Homer.* Villois. Λ, 5, et Matrang. *Anecd. græc.* p. 378.

[2] Vers. 33, 34, 37-41 ap. Ducang.

[3] Fort. ἄτευκτον.

[4] Hæc vox lexicis deest.

[5] Ducang. male ἄξιον τῆς τυρ.

[6] Cod. ἀτερμάτιστον.

[7] Vers. 46-49 ap. Ducang. ubi πορφυράνθητος κλάδος.

Εἴπερ ποτὲ στύγνασον ἐν τῷ νῦν πάθει[1],
Καὶ πολλαπλῶς δάκρυσον οὐχ ἕνα τρόπον·
Ἐζημιώθης τὸν στρατάρχην τὸν μέγαν
Τὴν[2] ὡς ἀληθῶς ἀδαμαντίνην σπάθην,
Τὸν χάλκεον χάρακα τῆς Βυζαντίδος·
Ἐζημιώθης τὸν σοφὸν βουληφόρον,
Τὸν ἐμβριθῆ νοῦν καὶ ταχὺν καὶ γεννάδαν·
Ἐζημιώθης τμῆμα τοῦ γένους μέγα,
Καὶ πρός γε τούτοις τὴν ὁμώνυμον χάριν.
Πέπτωκέ σοι πύργωμα τῆς ἐξουσίας,
Ὄλωλέ[3] σοι τάφρευμα τῆς σκηπτουχίας,
Παρῆλθέ σοι στήριγμα τῆς μοναρχίας,
Τὸ χαλκοβαφὲς[4] κατεθλάσθη σου δόρυ,
Ἡ βαρβαροδμήτειρα[5] τέθλασται σπάθη,
Καὶ πᾶσιν ἁπλῶς εὐτυχῶν τοῖς πρακτέοις
Εἴπερ τις ἄλλος τῶν πρὶν αὐτοκρατόρων,
Κατευθύνοντος τοῦ Θεοῦ σοι τὰς τρίβους·
Ταύτην δὲ δυστύχηκας ἄρτι ζημίαν,
Ἀντίρροπόν σου τῶν πρὶν εὐτυχημάτων
Τὸν γαμβρικὸν θάνατον ὤμοι τοῦ πάθους
Ἡ[6] πορφύρα πένθησον ἡ τρισολβία·
Τὸ σὸν καλοῦν βλάστημα, τὸ χρυσοῦν δῶρον,
Μελενδυτοῦν βλέπουσα τὴν Θεοδώραν.
Τῷ γὰρ ἑαυτῆς συμφάνασα[7] φωσφόρῳ
Καὶ δύντι συνέδυνεν ἐν τοῖς ἀμφίοις.
Θυγατέρες[8] πενθεῖτε τὸν φυτοσπόρον·

[1] Ducang. πένθει et πολλαπλασίοις δάκρυσιν.

[2] Versus 50-52 ap. Ducang.

[3] Versus 57-60 ap. Ducang.

[4] Ducang. χαλκόβαφες.

[5] Vox addenda lexicis. Ducang. βαρβαροδ' μήτειρα τεθλάστη.

[6] Vers. 67-71 ap. Ducang.

[7] Ducang. συμφώνευσα.

[8] Hic vers. ap. Ducang.

Χρυσᾶς ῥοὰς σπένδοιτε τούτῳ δακρύων·
Πρέπει γὰρ ἡμῖν ταῖς καλαῖς Ἡλιάσι
Τὸν Φαέθοντα δακρυούσαις τὸν μέγαν
Χρυσοῦν ῥέειν δάκρυον ἀντ' ἠλεκτρίνου.
Συγγαμβρικὴ[1] σύνταξις, οἱ συνδέσποται,
Τὸ ῥῆγμα πενθήσατε[2] τῆς τετρακτύος·
Ἀπεῤῥάγης[3] γὰρ ἡ τετράπλευρος φάλαγξ,
Ἀδελφικὴ σύμπνευσις ἡ τῆς πορφύρας·
Τὸν τῆς ἀδελφῆς συμμερίσατε[4] στόνον·
Ἔκδυτε[5] γαμβροὶ τὴν ὅλην πανοπλίαν,
Ἣ πενθερικὴν οὐκ ἀπήμυνε βλάβην·
Ἢ ποῦ γὰρ ἂν χρήσεσθε τοῖς ὅπλοις τόσον;
Ποῦ δ' ἂν ἐπαῤῥήζητε[6] Ῥώμῃ τῇ νέᾳ,
Μὴ καθελόντες τὴν τυραννοῦσαν σπάθην,
Τὸν δεσπότην μου καὶ τὸν ὑμῶν δεσπότην;
Ἡ στρατιὰ θρηνεῖτε τὸν στρατηγέτην,
Τὸν κοσμικὸν φρούραρχον οἰμώξατέ μοι·
Τὰ βαρβάρων σκιρτᾶτε καὶ μόνα γένη,
Τόσων βριαρῶν ἐκλυθέντα δακτύλων·
Ἢ δακρύοιτε καὶ τὰ βαρβάρων γένη,
Ἂν ἀνδρὸς ἐχθροῖς ἀρετὴ τιμητέα·
Οἱ δημοσίαις ἐκδεθέντες πλεκτάναις,
Καὶ τὴν ἐκεῖθεν οὐ στέγοντες ἀγχόνην,
Πενθεῖτε τὸν λυτῆρα τοῦ πικροῦ βρόχου·
Οἱ βασιλικῶν θυμικῶν πυρεκβόλων
Σφοδρὰν ἑαυτοῖς ἀνακαύσαντες φλόγα,
Τὸν ἄνεμον ζητεῖτε τὸν ζεφυρίτην

[1] Vers. 77-80 ap. Ducang.
[2] Ducang. πενθήσασα.
[3] Ducang. ἀποῤῥάγησα.
[4] Ducang. συμμετρήσατε.
[5] Ducang. ἔκδοτε.
[6] Fort. ἐπαρήξητε.

Ἐαρινὰ πνεύσαντα ταῖς ὑμῶν τύχαις,
Καὶ τὴν Ἀερμὼν[1] ἐκκαλεῖσθέ μοι δρόσον·
Καὶ γὰρ παρωνόμαστο πρὸς τῶν ἀνέμων,
Ἀλλ' οὐ ῥιπιστὴς ἦν θυμοῦ βασιλέων
Ὡς καικίας τις, ὡς θρασὺς ἀπαρκτίας,
Καταστολεὺς[2] δὲ καὶ πραΰνουσα δρόσος,
Χρηστὸς μεσίτης τοῖς κρατοῦσι δεσπόταις,
Καὶ τὸν μεσίαν ἐκμιμούμενος Λόγον.
Πανοπλίᾳ στέναζε τὸν πανοπλίτην,
Εἴ τις τέως αἴσθησις ἐν πανοπλίᾳ.
Ὦ συμφορᾶς ἅπαντα νικώσης γόον,
Καὶ θλίψεως ἅπασαν ἡττώσης φύσιν!
Τίνα προκλαύσω καὶ στενάξω προφθάσας
Καὶ τοῖς σταλαγμοῖς προῤῥανῶ τῶν δακρύων
Σὲ τὸν θανόντα καὶ προανηρπασμένον[3],
Καὶ συναναρπάσαντα κοινὰς ἐλπίδας;
Σὲ τὸν δύναντα καὶ κρυβέντα φωσφόρον,
Καὶ συγκατακρύψαντα[4] κοσμικὸν σέλας;
Σὲ τὸν καταστραφέντα πύργον Αὐσόνων,
Καὶ συγκαταστρέψαντα τῆς Ῥώμης τύχας;
Σὲ τὸν κλαπέντα παμβόητον[5] λυχνίτην
Ἐκ τοῦ μεγίστου καὶ βασιλείου στέφους,
Κἀντεῦθεν ἀμβλύνοντα τὴν τούτου χάριν,
Ἢ τὴν ξύνευνον τὴν περιλελειμμένην,
Τὴν θανατῶσαν πολλάκις τῆς ἡμέρας,
Τὴν σοὶ ξυνανθήσασαν ὡς φοῖνιξ νέος,

[1] Psalm. CXXXII, 3.

[2] Vox addenda lexicis.

[3] Nicephor. Cpol. in *Spicil. Solesm.* tom. I, p. 321 : Διὰ τῶν προαναρπασθέντων λόγων. Codex Parisin. 996, fol. 96 v°. Conf. Jo. Chrys. t. I, p. 82, D.

[4] Hanc vocem ignorant lexica.

[5] Vid. Meliten. v. 1407.

Καὶ σοὶ συνεκψυγεῖσαν[1] *ὡς χόρτος χλόης·*
Τὴν χθὲς περιθρύλλητον εἰς εὐτυχίαν,
Καὶ νῦν περιθρήνητον εἰς δυστυχίαν·
Τὸ λευκέρυθρον πορφυράνθητον[2] *ῥόδον,*
Καὶ νῦν μέλαινα τοῦτο καλύπτει κάλυξ·
Τὴν μακαριστὴν οὐ τοσοῦτον ἐκ γένους,
Οὐδ' ἀπὸ τριπλῆς εὐκλεοῦς μοναρχίας,
Οὐδ' ἀπὸ διπλῆς πορφυροβλαστησίας[3]*,*
Ἄλλης τε λαμπρότητος ἀξιωμάτων,
Ὅσον παρ' αὐτῶν τῶν καλῶν τῶν τοῦ τρόπου,
Ἃ βασιλικὴν οἶδε κοσμεῖν καρδίαν
Ὑπὲρ λίθους λάμποντας, ὑπὲρ μαργάρους,

[1] Hac voce augenda lexica, quibus accedat Ἐπαναψύχω ex German. Cpol. cod. Coisl. 278, fol. 58 v° : Ἕτεροι δὲ *ὑπτιάζοντες ἐπὶ κλίνης ῥιπίσιν ἐπαναψύχουσι.*

[2] Conf. supra v. 46. Theodor. Prodrom. ap. Mai, *Bibl. Patr.* t. VI, p. 404 : *Συμφρούρει δὲ καὶ τοὺς αὐτοῦ πορφυρανθήτους παῖδας.* Hac forma ditari possunt lexica quibus addam alia ejusmodi composita : *Πορφυροκρατὴς*, Th. Prodr. cod. Par. 2087, fol. 217 r° : *Ἥλιε πορφυρακρατές* (l. *πορφυροκρ.*). — *Πορφυραυγίζω*, cod. Par. 2256, fol. 84 v°. — *Πορφυροβάπτω*, Meliten. 83 : *Τὴν βαφὴν τῶν χρωμάτων ..... πορφυροβεβαμμένην.* Id. 1218 : *Ἦν δὲ καὶ πέπλον ἄνωθεν πορφυροβεβαμμένον.* — *Περιπορφυρίζω*, Meliten. v. 2839 : *Λευκὸν ὁμοῦ καὶ κόκκινον καὶ περιπορφυρίζον.* Unde conjunctim vox *Πορφυρολευκοκόκκινος*, Id. v. 45 : *Πορφυρολευκοκόκκινον δεικνύσασα τὴν ὄψιν, Καὶ χρυσοπρασινίζουσα τῇ θέᾳ τῶν πλοκάμων.* Id. v. 81 : *Πορφυρολευκοκόκκινον ἐν μέρει φαινομένην, Καὶ χρυσοπρασινίζουσαν καὶ βενετυφοροῦσαν.* Id. vers. 2842 : *Πορφ. ἔχειν χρωματουργίαν.* — *Συμπορφυροβαφέω*, Anastas. Sin. *Hodeg.* p. 306 : *Οὔτε γὰρ ἐὰν τὸν ἴδιον ὄνυχά τις πορφυροβαφήσῃ* (al. *τὸν ἴδιόν τις ὄν. πορφυροβαφήσας*) *ἤδη καὶ τὴν σάρκα καὶ τὸ ὀστοῦν τοῦ δακτύλου* (al. *καὶ τοὺς δακτύλους*) *συνεπορφυροβάφησε.*

[3] Hanc vocem ut et sequentes ignorant lexica : *Ἀγριόβλαστος*, *Miracul. S. Demetrii*, n° 124 : *Τὰς ἀγριοβλάστους βοτάνας.* — *Ἱερόβλαστος*, Theod. Stud. in *Bibl. Patr.* Mai, tom. V, p. 56 : *Ἡ ἱερόβλαστος ῥάβδος τοῦ Ἀαρών.* — *Παραναβλαστέω*, Nicol. Patriarch. epistol. *Spicil. Rom.* tom. X, p. 288 : *Τοῖς θρήνοις καὶ τοῖς παθέσι καὶ ταῖς μέμψεσι καὶ ταῖς ἐγκλήσεσιν, ὥσπερ τισὶ παραβλάστημασι πονηροῖς, ἔδωκε τὸ παραναβλαστεῖν.*

Καὶ πᾶσαν ὕλην τὴν χαμαὶ τιμωμένην.
Οἰκτρὸν μὲν, οἰκτρὸν καὶ τὸ σὸν πάντως πάθος·
Καὶ πῶς γὰρ οὐχὶ, τηλικοῦτον ἀσ7έρα
Ἀποῤῥαγῆναι τῆς βασιλείου σ7έγης
Καὶ νυκτὸς ἀσέληνον ἐκχέαι σκότος;
Πῶς δ' οὐχὶ κοινῆς ἄξιον θρηνῳδίας
Αὐτὸν ψυγῆναι τὸν μέγισ7ον Εὐφράτην,
Καὶ κοινὸν αὐχμὸν ἐνσκεδάσαι τῇ κτίσει;
Ἡ συμφορὰ δὲ τῆς νέας χήρας ὅμως
Πλείω πρὸς αὐτὴν ἐκκαλεῖται τὸν γόον.
Σὺ μὲν γὰρ ὧδε λαμπρὸν ἀνθήσας ὅσον
Καὶ βασιλικὸν εὐτυχῶς ζήσας βίον,
Καὶ τῶν ἀνάκτων τὴν σχέσιν προαρπάσας
Ὑπερφέρουσαν καὶ παρεξηλλαγμένην·
Πίσ7ιν γὰρ ὀρθὴν αὐτὸς αὐτοῖς εἰσφέρων
Τὸν ἐξ ἐκείνων ἀντελάμβανες πόθον,
Λαμπρῶς τε τοῖς σοῖς νυμφαγωγήσας τέκνοις,
Καὶ πᾶσαν ἁπλῶς τὴν χαμαὶ λαχὼν χάριν,
Εἴπέρ τις ἐσ7ὶν ἐν φθορᾷ τέως χάρις
Δράσας τε πολλοὺς κατὰ τὸν θεῖον λόγον
Ἐκ τοῦ Μαμωνᾶ τῆς ἀδικίας φίλους,
Καὶ πολλὰ τῆς γῆς οὐρανῷ θησαυρίσας·
Κειράμενός τε τὴν κάτω ταύτην τρίχα,
Καὶ τὸ τρίχινον ἐνδυσάμενος ῥάκος
Μετῆρες ἔνθεν εὐχερεσ7έρῳ τέλει,
Καὶ τῶν κάτωθεν ἐκραγεὶς βασιλέων
Τῷ τοῦ θεοῦ σου νῦν παρεδρεύεις θρόνῳ·
Καὶ βασιλείαν τὴν ἀνωτάτω βλέπεις.
Ἡ δ' εἰς ὀδυρμοὺς ὑπελείφθη τῷ βίῳ
Καὶ τὴν ἀεισ7ένακτον ἀντλεῖ πικρίαν·

Ἀμείϐεται δὲ φιλοτίμῳ δακρύῳ
Τὴν τοῦ παρόντος φιλοτιμίαν πάθους,
Καὶ πᾶσιν ἁπλῶς θανάτων κοινῶν τρόποις
Ἐπείγεται φθάσαι σε τῆς φιλανδρίας·
Ἀλλ' ἄνες ὀψὲ πορφύρας θεῖε κλάδε,
Καὶ μέτρα σου δὸς τῇ ῥοῇ τῶν δακρύων,
Κοίμισον ὀψὲ τὸν κλύδωνα τῆς λύπης,
Κόπασον ὀψὲ τὴν θάλασσαν τῶν πόνων.
Τί τοὺς θανόντας, ἀθάνατε, δακρύεις;
Ἴδῃς τὸν ἄνδρα καὶ συναφθήσῃ πάλιν
Καινὴν συναφὴν μυστικῆς κοινωνίας,
Πλὴν ἀλλ' ὅταν σε τῶν κάτω δεσμῶν λύσῃ
Ὁ μέτρα τάξας καὶ πνοῆς καὶ θανάτου.
Τί δὲ προλαβεῖν [1] ἀξιοῖς σὺ τοὺς ὅρους,
Οὓς ὁ πλάσας τέθεικεν ἀῤῥήτοις λόγοις;
Θνητοφρόνων [2] τὸ πάθος Ἑλληνοφρόνων,
Ἀνάστασις δὲ σοὶ νεκρῶν κατηγγέλη.
Ὕπνωσέ σοι χρόνιον ὁ ξυνευνέτης,
Ὕπνωσεν ἠρέμησεν ἐκ μακρῶν πόνων·

[1] Cod. προσλαϐεῖν.

[2] Vox addenda lexicis, quibus plura alia in φρων desinentia composita addam: Γηραιόφρων, Jo. Tzetz. *Epist.* 57, pag. 49. — Γλυκόφρων, Anon. *Codd. Monac.* tom. II, p. 176 : *Εἰ γοῦν θέλεις σὺ καὶ Λυκόφρονος τρόπῳ, Γλυκύφρονος νῦν, ὡς θέμις ἐγνωσμένον.* — Δυσϐουλιόφρων, codex Parisin. 2313, fol. 102 r°. — Ἐναντιόφρων, Anon. cod. Paris. 2506, fol. 14 r° : *Ἀκριτοϐούλους, ἐναντιόφρονας, ἀλαζόνας, ὑϐριστάς.* — Εὐθυδικόφρων, Theod. Lascar. ap. Mai. *Bibl. Patr.* tom. VI, p. 261. — Καταλαμπτίφρων (?), Id. *ib.* p. 262. — Μαρτυρόφρων, Theod. Stud. cod. Coisl. 94, fol. 216 r° : *Ταῦτα ψυχῆς μαρτυρόφρονος.* — Οὐλοόφρων, *Schol. Hom.* p. 783, edit. Bachm. — Πανέκφρων, Theodor. Stud. ap. Mai, *Bibl. Patr.* t. V, p. 52. — Παρθενόφρων, Leo Magister, ap. Matrang. *Anecd. gr.* pag. 568 : *Παρθενόφρονα μέλη δέχνυσο ταῦτα.* — Ταυτόφρων, Theodor. Stud. cod. Coisl. 94, fol. 180 r° : *Ἀθλητὴς Χριστοῦ σύμψυχος, ταυτόφρων.*

Τί γοῦν τὸν ὑπνώτlοντα μακρὰ δακρύεις;
Τί δὲ σlενάζεις τὸν κατηρεμηκότα,
Ὡς ἐξεγείρῃς τῶν σlεναγμῶν τῷ κτύπῳ·
Μεῖνόν τι μικρὸν, καὶ τὸ σάλπιγγος σlόμα
Τὸν σlρατιώτην ἐξεγείρει σοι πάλιν.
Σὺ πενθερικὴ[1] δρουγγαρικὴ καρδία,
Τῆς φύσεως αὔχημα καὶ τῶν βιβλίων,
Νῦν σοῦ προβαλοῦ τὴν ἴυγγα τῶν λόγων,
Καὶ τὴν καλὴν σειρῆνα τῆς εὐγλωττίας.
Νῦν σοῦ τὸν Ἑρμῆν τὸν παρήγορον λάλει,
Τὴν συγγενικὴν ὡς κατευνάσῃς ζάλην·
Ἢ καὶ σὺ πενθεῖς καὶ παρηγόρων δέῃ;
Κἀνταῦθα καὶ σὺ μαλθακώτερος γίνῃ,
Ὅπου τε πένθος γνησιώτερον ῥέει·
Ἀλλ' ὁ ζέσας ἄνασσα τὴν σὴν καρδίαν,
Πλήξας δὲ μᾶλλον ἢ σπαράξας εἰς βάθος,
Καὶ πῦρ ἀνάψας ἐν μέσοις τοῖς ἐγκάτοις,
Καθ' ἥπατός τε πικρὸν ἐκτείνας βέλος
Καί σοι κεράσας πικρίας πλήρη σκύφον
Τὸ ξέσμα παύσοι καὶ δροσίζοι τὴν φλόγα·
Καὶ κουφιεῖ σου τὴν ὀδύνην τοῦ βέλους,
Καὶ γλυκανεῖ σου τὴν ἐνοῦσαν πικρίαν
Παρηγορίας ὑψόθεν χέας μέλι[2].

XII. Τοῦ[3] Φιλῆ πρὸς ἰατρόν.

Ἰατρὲ, μὴ δίωκε τὸν τῦφον μάτην.
Εἰ γὰρ σιωπήσας[4] ἀκριβῶς ἀνακρίνῃς[5]

[1] Cod. συμπενθερικὴ.

[2] De hac metaphora conf. cod. Par. LVI, 54.

[3] Ex cod. Flor. 17, Plut. 59, f. 2 v°, edidit v. d. Piccolos, *Suppl. à l'Anthol.* p. 199.

[4] Fort. σκοπήσας Picc. recte.

[5] Fort. ἀνακρίνεις.

Ὅθεν πορίζῃ τὰς ἀφορμὰς τοῦ βίου,
Αὐτὸς σεαυτὸν καὶ μυσαχθήσῃ τάχα,
Τροφῆς χορηγοὺς οὖρα καὶ κόπρον[1] ἔχων.
Χρὴ οὖν ὀφρὺν ῥίψαντα τὴν ἐπηρμένην
Κόπρου σκάφας βλέπειν σε καὶ τὰς ἀμίδας,
Ὅθεν τραφήσῃ καὶ πόρους ἕξεις βίου.

XIII. Πρός[2] τινα τῶν φίλων παραινετικοί.

Ἐγώ σε φιλῶν, καὶ πρὸ τῶνδε τῶν λόγων,
Μᾶλλον δὲ πενθῶν ὑπὸ φιλοστοργίας
(Νεκρῷ γάρ ἐστιν ἀκριβῶς εἰκασμένος[3]
Ὁ μὴ λόγῳ πρέποντι κοσμῶν τὴν φύσιν),
Προὔθηκά σοι, βέλτιστε, γυμνὸν τὸν βίον,
Ὡς ἂν διδαχθῇς τὰς κενὰς ὑποκρίσεις,
Καὶ μὴ ταραχθῇς ὑπὸ τῆς ἀπειρίας,
Ὥσπερ μίμους φόβηρον[4] εἰ βλέπει βρέφος·
Καὶ νῦν δὲ τουτὶ τὸ χρυσοῦν πάσχων πάθος,
Κἂν αὐτὸς ὑπόχαλκος εὑρέθης φίλος,
Καὶ καθάπερ δύσοιστον ἐτμήθης μέλος,
Πληγεὶς ἐφ' ἡμᾶς δυσμενοῦς γλώττης βέλει[5],
Πάλιν παραινῶ μὴ περιχαίνειν κάτω,
Μὴ ζῆν κυνηδὸν, μὴ ῥοφῇς[6] τὸ πᾶν θέλε.
Εἰ γὰρ ἔχεις βούλιμον, οὐχ ἕξεις κόρον,
Πρὶν ἂν πίνῃς κύλικος[7] ἐμπίκρων πόνων,

[1] Fort. *κόπρους*. Vers. seq. fort. leg. *Χρή σ' οὖν*, sive *γοῦν*.

[2] In cod. Florent. XIX, Plut. XXXII, fol. 219. Hoc Philes carmen græce et latine, suppresso auctoris nomine, quum nondum innotuisset, ex cod. VI, Plut. VI, in tom. I *Catal.* p. 105, protulit Bandini; ubi tamen longius aliquanto est. Ibi lemma : *Ἔπη χρυσᾶ.*

[3] Band. *εἰκασμένη.*

[4] Fort. *μίμου φόβητρον.*

[5] Conf. cod. Paris. LXI, 56.

[6] Fort. *ῥοφεῖν.*

[7] Band. *κυλικίδος.*

Καὶ τῶν ϖεριττῶν ἐκφορεῖς[1] τὴν κοπρίαν,
Ἢ κατασαπῆς καὶ ῥοῆς[2] ἐπὶ κλίνης
Ἐμῶν τὰ κοινὰ τῇ στροφῇ τῶν ἐλπίδων·
Ἢ καὶ ϖροληφθεὶς δυστυχῶς τῆς ἑβδόμης
Πρὸς τὴν ἀκατάλυτον ἀχθῆς ὀγδόην,
Ἣν ἐσχάτην κρίσιμον εὑρὼν δακρύσεις,
Ἐπεὶ γαληνὸν τὸν κριτὴν οὐ δεικνύει·
Δεῖ γὰρ ἐς αὐτὴν ἀποδημήσαντά σε
Ποινὰς ὑποσχεῖν ἀντὶ τῶν ϖεπραγμένων.
Ὢ τίς[3] ὁ βαθὺς καὶ θορυβώδης κάρος,
Ὑφ' οὗ θανατῶν οὐ σκοπεῖς τὸ συμφέρον!
Καθεύδομεν γὰρ ὑπὸ τῆς ἀπληστίας,
Καὶ νυκτομαχεῖν ἀξιοῦμεν τὴν φύσιν,
Τὸ τῆς ὕλης ἄπιστον ἠγνοηκότες.
Τί τοῦτο ϖοιεῖς; ἵνα τί δ' οὔπω βλέπεις;
Ἀλλ' ἀμβλυωπεῖς ἐν σαφεῖ μεσημβρίᾳ,
Τὰ κρυπτά σου βλέφαρα μὴ ϖαρατρίβων.
Ὁ χρυσὸς ὠχρός ἐστιν ἀλγῶν τῷ φθόνῳ·
Καὶ γὰρ ἐπ' αὐτὸν ὡς βαρὺς ἕρπει δράκων
Τὴν τοῦ χρόνου κίνησιν ἀντιστρέφων,
Ὑφ' ἧς τὸν ἰὸν[4] τῆς φθορᾶς ἀναπτύει.
Καὶ σὺ ϖαρ' αὐτῷ ϖροσδοκᾷς τὰ βελτίω,
Τὸ τῆς τύχης εἴδωλον αἰσχρῶς φαιδρύνων;
Ὀφθαλμὲ γῆς, ἥλιε, ϖῶς τάδε βλέπεις;

[1] Fort. ἐκφορῆς.

[2] Fort. ῥυῆς.

[3] Band. ὦ τις.

[4] Simili metaphora Ephr. *Chr.* 246 : Κακίας ἰὸν ἐξεμῶν ψυχοφθόρον. Conf. et *Spicileg. Roman.* ed. Mai t. IX, p. 658. Theod. Prodr. *Not. mss.* t. VI, p. 529 : Καὶ ἅμα οἱ ἐκ τῆς καρδίας ἐξέλκεται ὁ τῆς ἀνίας καὶ τῆς ϖενίας ἰός. Acta Philippi, ed. Tisch. p. 76 : Καί ἐστιν ἐν αὐτῷ ἰὸς ϖονηρίας. De S. Michaele, *Act. SS.* sept. t. VIII, p. 42 : Ἐγχέουσι τοῖς ἀφυλάκτοις τῶν ἀνθρώπων τὸν τῆς ἀπωλείας ἴον (leg. ἰόν).

Πλὴν εἰ μὲν ὡς παῖς εὐμενῆ τοῦτον κρίνεις
(Μικροψύχου γάρ ἐσ7ιν ἀνδρὸς ἡ κρίσις),
Τί δῆτα παθὼν οὐ καλῶν[1] δρᾷς τὸν φίλον;
Στρεβλεῖς γὰρ αὐτὸν ἐγκρατῶς καὶ συμπνίγεις,
Κἂν αὐτὸς ὡς ἄληπ7ος εἰς ἄλλους τρέχῃ,
Τῆς σῆς φυλακῆς τὰς λαβὰς ἀνατρέπων.
Εἰ δ' αὖ πονηρὸν (τοῦτο γὰρ ὄντως) κρίνεις[2],
Τί τὸν φονευτὴν οὐ σ7υγεῖς, οὐδ' ἐκκλίνεις,
Οὐδὲ πρὸς οἰκτρὰς θᾶτ7ον ὠθεῖς γασ7έρας,
Ὡς ἂν ἔχῃς[3] μᾶλλόν τι κερδαίνειν μέγα;
Ἄνθρωπε, κατάμαθε τὴν κοινὴν φύσιν
Ἐκ τῶν πρὸς ἀπόδειξιν ὑποκειμένων,
Καὶ ῥίψον εἰς γῆν τὸν διάκενον τύφον.
Ὁρᾷς τὰ φυτὰ, πῶς μὲν ἡβᾷ καὶ βρύει,
Μετὰ χρόνον δέ τινα γηρᾷ καὶ φθίνει;
Τοῦτ' αὐτὸ καὶ σόν ἐσ7ιν, ὡς οἶδας, πάθος·
Καὶ νῦν μὲν ἀνθεῖς, ἀλλ' ἀπανθήσεις πάλιν,
Τοῦ[4] τῆς τελευτῆς ἀντενεχθέντος ψύχους.
Δέδοικα γοῦν ἔγωγε τὴν ἀκαρπίαν·
Ἡ γὰρ ἀπειλὴ τῆς τομῆς με συγχέει[5].
Γνῶθι σεαυτὸν, ἴδε τὸν ῥοῦν τοῦ χρόνου,
Τῆς ἡδονῆς τὸ νέκταρ ὀψὲ γοῦν φύγε·
Καὶ γὰρ ὀδυνῶν προξενεῖ σοι πικρίαν.
Ἕως τίνος χρήματα καὶ λειτουργίαι,
Τάχα δὲ καὶ κτήματα καὶ παροινίαι;
Μέχρι τίνος κόλακες ἐκλύσουσί σε;
Γενοῦ δανεισ7ὴς, τῷ θεῷ δὸς τὸν βίον·

[1] Leg. *οὐ καλῶς*. Sic dicebant *δρῶ σε εὖ*, de qua locutione conf. *Thesaur.*

[2] Band. *κρίσεις*.

[3] Band. *ἀνέχῃς*.

[4] Band. *τῆς τοῦ τελ.*

[5] Matth. VII, 19.

Ὀφειλέτης γάρ ἐσῖι καὶ χρεωλύτης,
Καὶ σὸς δανειστὴς, κἂν δοκῇς μὴ λαμβάνειν,
Κατοψοφαγῶν τῆς ψυχῆς σου τὸ χρέος.
Πλὴν ἥδε κοινὴ τῶνδε τῶν ὄντων φύσις
Τὸ[1] σὸν πρὸς αὐτὴν οὐκ ἀπαιτήσει χρέος,
Πάντως κἂν ἀλγῇς, κἂν φιλόψυχος[2] ἔχῃς·
Οἰχήσεται γὰρ εἰς τὸ πῦρ ἡ θερμότης,
Τὸ ξηρὸν εἰς γῆν, εἰς ὕδωρ ἡ ψυχρότης,
Ἀὴρ δ' ἐπ' αὐτὸν καὶ τὸ ῥευσῖὸν ἁρπάσει·
Κείσῃ δὲ νεκρὸς ὑπὸ γυμνοῖς ὀσῖέοις,
Ὁ νῦν περιτῖὸς καὶ κατεβλακευμένος,
Ὄφις δὲ τοῦ τένοντος ἐκρηγήσεται[3].
Τί πῦρ ἐν ὀργῇ κατὰ τοῦ πέλας πνέεις;
Τί δὲ βρυχηθμοὺς αὐθαδῶς ὑποκρίνῃ,
Καὶ τῇ λεοντῇ τῆς τιμῆς ἐναβρύνῃ,
Αἴλουρος, ἢ πίθηκος, ἢ θὼς τυγχάνων,
Ἢ μῦς ἀποσπῶν τὰς χρυσᾶς πάντων ψίχας[4],
Καὶ ζῶν ἀτερπῆ καὶ φιλῶν περὶ[5] βίον;
Τί δ' ὡς φάγος πάρδαλις ὑπόδρα βλέπεις,
Καὶ δεινοπαθεῖς, καὶ λαρυγγίζεις μάτην,
Ἄντικρυς ἡμίγυμνε σεμνὲ κοχλία,
Μᾶλλον δὲ γὺψ ἄνωθεν ἁρπάζων κρέα,
Πλὴν οὔτε νεβρῶν, οὔτε περδίκων πάλιν,
Ἀνδρῶν δὲ πάλαι δυσῖυχῶν καὶ σωφρόνων;
Πλούσιος εἶ, δέδιθι τὴν τότε φλόγα.
Τίς γὰρ ἀναψύξει σε διψῶντα δρόσος,
Εἰ μὴ σὺ τοὺς πένητας ἐνθάδε θρέψῃς[6];

[1] Band. τὸν σόν.
[2] Leg. φιλοψύχως.
[3] Fort. ἐκραγήσεται.
[4] Band. ψύχας.
[5] An φίλων ἄτερ?
[6] Band. θρέψεις.

Σύνες τίς ὁ πλάσας σε καὶ μεταπλάσας,
Ἐπείπερ εἰς χοῦν ἐκπεσὼν συνετρίβης·
Ἢ τίς χάριν σὴν καὶ Θεὸς καὶ σαρκίον,
Καὶ τίς πεπονθὼς, καὶ παθῶν μείνας δίχα,
Παθῶν ἀμιγῆ καὶ φθορᾶς ἔδειξέ σε;
Ταῦτα σκόπει, βέλτιστε, σωφρόνως ἔχων,
Καὶ μηκέτι θαύμαζε τὴν ἀμετρίαν.
Τὰ γὰρ ἔτι μέλλοντα μὴ σχόντι βλέπειν
Ὁ τῆς τελευτῆς ἀγνοεῖταί σοι χρόνος.
Ὥσπερ τὸ νῦν πῦρ οὐδὲ μετρίως φλέγει,
Πυρὸς γὰρ εἰκών ἐστιν, οὐ πῦρ τὴν φύσιν,
Οὕτω, θεατὰ, καὶ τὸ πῦρ τὸ παμφάγον
Ὃ θυμὸς ἐξέκαυσε τυράννου βρέμων,
Τοῖς τῶν νέων σώμασιν εὑρέθη δρόσος
Ἀπόκρυφον πῦρ ζωγραφοῦν πρὶν ἄλλό τι·
Ὡς ἂν διδαχθῇς τὸν Θεὸν πῦρ καὶ δρόσος,
Εἰς τὴν βάτον πῦρ, εἰς δὲ τὸν πόκον δρόσος.
Μὴ διδράσῃς[1] μάλιστα τὸν τύπον βλέπων·
Μὴ γὰρ ὅλως ἔφλεξε νηδὺν παρθένου
Σαρκὸς μετασχὼν καὶ Θεὸς μείνας πάλιν;
Ἑστήκασι δὲ τῆς φλογὸς ζῶντες μέσον,
Καὶ τεττίγων ᾄδουσιν οἱ παῖδες τρόπον·
Σιτούμενοι γὰρ τῆς ἐνεχθείσης δρόσου
Ὡς ἐν θέρει στέγουσι τὴν δεῦρο ζέσιν·
Πεπήγασι δ' οὖν τῆς βοῆς πεπαυμένοι·
Τὴν γὰρ σιωπὴν ζωγραφοῦσι τὸν τύπον,
Τῶν πραγμάτων πόῤῥωθεν ἠχούντων μόνον.
Ὢ πῶς τὸ πῦρ ἦν τοῖς δορυκτήτοις δρόσος,
Οὓς ἀγγέλου πτέρυγες ἐφρούρουν πέριξ;

[1] Fort. διστάσης.

Ἔνδον γὰρ ὀμβρήσαντες ἀγνείας δρόσον
Τὸν ἐκτὸς οὐκ ἔπληξαν ἀκμαῖον βρόμον.
Ἢ ϖοῦ θεμιτὸν ϖῦρ φαγεῖν ϖαῖδας φλέγον,
Τροφῆς ῥυπαρᾶς καὶ ϖαθῶν ὑπερτέρους;
Πυρὸς ϖοταμὸν Δανιὴλ ϖάλαι βλέπων
Ποταμὸν ἐξέβλυζε θερμῶν δακρύων·
Νῦν δὲ δροσισθὲν ϖῦρ ὑπ' ἀγγέλου βλέπων
Φαιδρύνεται μὲν καὶ κροτεῖν ἴσως θέλει,
Τοὺς ϖαῖδας ἀθρῶν εἰς τὸ ϖῦρ ζῶντας ϖάλιν·
Ἡ γὰρ συναιχμάλωτος ὑψώθη τύχη,
Τὴν ϖυρφόρον σβέσασα τοῖς Πέρσαις ϖλάνην·
Σιγᾷ δὲ λαλοῦν ἐκδιδοὺς τὸ βιβλίον,
Ὃ ϖραγμάτων ϖρόγνωσιν ἀῤῥήτων φέρει.
Πλὴν ϖάντως[1] καινά· καὶ τὸ μὲν ϖῦρ οὐ φλέγει,
Θῆρες δὲ ϖῦρ ϖνέοντες ἐξ ἀσιτίας
Τὸν τῶν ὀρεκτῶν ἄνδρα τιμῶσι, ξένε.
Φιμοῖ γὰρ αὐτῶν ἡ ϖροσευχὴ τὸ θράσος,
Τὴν ἰσχὺν ἀμβλύνουσα τῶν ϖαρισθμίων.
Ἀλλ' εἰσφέρουσί τινα καὶ λειτουργίαν,
Λείχοντες[2] αὐτοῦ τῶν ϖοδῶν εὖ τὴν κόνιν,
Καὶ ῥυπτικὸν σ7έγοντες ἐν γλώτ7αις ϖόνον.
Ἄτρεσ7ος οὖν ἔσ7ηκε τῶν σκύμνων μέσον
Ὁ ϖρεσβυτικὸς καὶ ϖρὸ τῆς ἡλικίας.
Αἰδήμονας γὰρ τοὺς ἀτιθάσσους βλέπει,
Καὶ τῇ σ7άσει γίγαντος ἐμφαίνει δρόμον.
Ὢ ϖῶς ἐναργεῖς ἡ γραφικὴ δεικνύει
Τοὺς ϖαντοδαποὺς τῆς ἀληθείας τύπους,
Κἂν οὐκ ἔχῃ[3] κίνησιν ἢ φθέγμα γράφειν;

[1] Fort. ϖάντα καινὰ, quæ jam enumerat. Cf. XL, A, 9.

[2] Esai. XLIX, 23.

[3] Band. ἔχει.

XIV. Τοῦ[1] σοφωτάτου ἀρχιεπισκόπου Βουλγαρίας κυροῦ Γρηγορίου στίχοι ἐπιτάφιοι εἰς τὸν μέγαν οἰκονόμον τῆς ἁγιωτάτης μεγάλης τοῦ Θεοῦ ἐκκλησίας καὶ ἀρχιδιάκονον τοῦ εὐαγοῦς βασιλικοῦ κλήρου Ἀλέξιον τὸν Καππαδόκην[2].

Τέθνηκας οἴμοι καὶ καλῶν ὁ καλλίων,
Ἀλέξιε κάλλιστε, κανὼν τοῦ βίου,
Ἐκκλησίας σέμνωμα, δογμάτων βάσις,
Θρηνεῖν δ' ἀφῆκας οἷς καλῶν ἐστιν ἔρως.
(Φεῦ!)[3] οἷον πέπονθεν εὐσεβούντων τὸ στῖφος
Τῆς σῆς στερηθὲν εὐαγοῦς συναυλίας,
Καὶ τῶν ἀρίστων ὑποθηκῶν καὶ λόγων,
Οὓς ὡς βέλη καρδίαις ἠκονημένα
Ἔπεμπες ἐχθροῖς ἐκ γραφῶν τῶν ἐνθέων,
Στάθμη τις ὢν κανών τε σώφρονος βίου.
Πένθησον, ἰδοὺ στῖφος εὐσεβοφρόνων
Καλοῦ στερηθὲν εὐκλεοῦς τε συμμάχου.
Ἐκκλησία, στέναξον ἐκ βάθους μέγα
Τὴν τηλικαύτην συμφορὰν δεδεγμένη.
Τίς γὰρ τἀληθὲς ἐκλαλήσει σὺν δίκῃ,
Ἀλεξίου σιγῶντος; ὦ δίκη δίκη!
Ἀπῆρας, ὦ βέλτιστε, πρὸς μετοικίαν,
Ἢ μᾶλλον εἰπεῖν τὴν καλὴν κατοικίαν·
Ἡμᾶς δ' ἀφῆκας ἐν σκότῳ τῷ τοῦ βίου
Ὁρᾶν τοσαύτην σύγχυσιν ἐκκλησίας.
Μέγιστε[4] . . . ἄριστε πράξει καὶ λόγῳ,
Καὶ τὰ μεγάλα σὺ διοικεῖν ἐκρίθης
Ἐκ . . . .[5] ἐν οἷς γε τὸν σαυτοῦ τρόπον
Ἔδειξας, Ἀλέξιε πιστὲ κυρίῳ.

[1] Cod. Coisl. 192, fol. 2 v°.

[2] Fort. idem ac Cappadoces, magnus œconomus, de quo cod. Flor. CCXLV.

[3] φεῦ ponitur extra versum.

[4] Fort. μέγιστε, πανάριστε.

[5] Fort. ἐκκλησίας.

XV. Τοῦ[1] σοφωτάτου μεγάλου πρωτοσυγγέλλου κυροῦ Μαξίμου τοῦ Ὁλοβόλου σῖίχοι[2] εἰς τὴν ὁσίαν Μαρίαν τὴν Αἰγυπῖίαν.

Ἀποσῖολικῆς ἐνθέου γραφῆς πέρας
Φθάνει παρισῖῶν ὁ προκείμενος λόγος·
Οὗ γὰρ τὰ πλήθη πλεῖσῖα τῆς ἁμαρτίας
Ὑπερπερισσοῦ τῆς χάριτος τὰ κλέα
Ὁρᾷς ἐκείνην, ὡς ὁρᾶν νοῦς ἰσχύει,
Τὴν εὐπάρυφον, τὴν κεκοισυρωμένην[3],
Ὅση τὸ κάλλος φυσικῇ τεχνουργίᾳ,
Τὴν ὥραν οἵᾳ πλασῖικῇ χειρουργίᾳ,
Ἐν ᾗ τὸ φῦκος καὶ τὸ κόμμι μυρίον,
Βαθὺς ὁ κόχλος, ἠκριβωμένον μέλαν·
Τὸ μὲν κατ' ὄψιν εὐπρεπῶς ἐσπαρμένον,
Τουτὶ παρειαῖς εὐβαφῶς ἠρεισμένον,
Καὶ τόνδ' ἁβρῶς γράφοντα τὰς βλεφαρίδας,
Ἐκεῖνο δ' ὀφρῦς εὐφυῶς ἐπιτρέχον
Εἰς ἀπλανῆ σύγκαμψιν ἡμικυκλίου[4].
Ὁρᾷς τὸ βλέμμα, φθέγμα, καὶ πλέγμα κόμης,
Ἐκεῖνο βάλλον ἐξ ἀφανοῦς τοξότου
Πυκνὰ πῖερωτὰ καὶ φερέφλογα[5] βέλη,
Βάλλοντα πικρῶς καρδίας φιληδόνων·
Τουτὶ δὲ κρᾶμα[6] γλυκύπικρον ἀρτύον
Ἐκ πορνικοῦ μέλιτος οἰκτρὰν[7] ἀλόην.
Τόδ' αὖ γε πνίγον[8] ὡς ἐς ἀδήλους βρόχους

[1] Codex Coislin. 192, fol. 50 r° et 120 r°. In B, id est in posteriori transcriptione: Τοῦ μακαρίτου καὶ σοφωτάτου μεγ.

[2] σῖίχοι om. in A.

[3] κεκοισυρομένων A; κεκοισσηρωμένην B.

[4] ἡμικυκλίον (*sic*) A. Fort. leg. ἡμικυκλίων.

[5] Hanc vocem ignorant lexica.

[6] κράμμα A. Conf. Piccolos, *Suppl. Anthol.* p. 194.

[7] πικράν A.

[8] πνίγνον (*sic*) A.

Τοῖς σατανικοῖς ἐκπονηθὲν δακτύλοις.
Ὁρᾷς, θεατὰ, ταῦτα καὶ μαθὼν ἔχεις
Ἐρωτικὰ τὰ πάντα καὶ φαύλου τρόπου.
Ἀλλ' οὖν γε πάλιν τήνδε τὴν αὐτὴν βλέπε
Τὴν Μαρίαν, βέλτιστε, τὴν Αἰγυπτίαν
Σῶμα φοροῦσαν ἀκριβῶς λεπτὸν, μέλαν,
Ἐρημικοῖς ἄνθραξιν ἐκκεκαυμένον,
Ἀσκητικοῖς σκάμμασιν[1] ἐκτετηγμένον,
Ῥικνὸν, τραχὺ, κάτισχνον, ἠγριωμένον,
Ἄϋλον ὡς ἄσιτον ἐκ μακροῦ χρόνου,
Μένον, στέγον πείνης τε καὶ δίψης βίαν
Μὴ τοὺς θερινοὺς[2] ἡλίου πυρεκβόλους,
Μὴ χειμερινὰ δειλιῶν ὑγρὰ βέλη,
Ἅπερ πτεροῦν εἴωθεν ἀνέμων φύσις.
Ὁρᾷς σὺν αὐτοῖς ἄλλο τι τέρας ξένον,
Ἑστῶσαν αὐτὴν ὥσπερ ἐν μεταιχμίῳ
Πόλου τε καὶ γῆς, εἰς μέσον τὸν ἀέρα,
Εἰς βάσιν ἀνέδραστον ἐστηριγμένην,
Εἰς στάσιν ἀστήρικτον οὐ κλονουμένην,
Ἐκεῖσε μὴ παροῦσαν οἷς σῶμα φέρει,
Ἔνθα δ' ἀποῦσαν οἷς τι μὴ βάρους ἔχει·
Μερίζεται γὰρ ἀμερίστως εἰς δύο,
Εἰς ἀγγέλων τάξιν τε καὶ βροτῶν φύσιν,
Κατ' ἀγγέλους βιοῦσα κἂν βροτὸς μένῃ.
Ταύτης τὸ λοιπὸν τὸν πάλαι βλέπων βίον,
Τὴν λαμπρὰν ἀλλοίωσιν ἠλλοιωμένον[3]
Ἐκ δεξιᾶς, ἄνθρωπε, τῆς ἀνωτάτω,
Μὴ δειλιάσῃς, μηδ' ἀπελπίσῃς ὅλως,
Κἂν ἐξανύσῃς ἅπασαν ἁμαρτίαν,

[1] A et B σκάμασιν. — [2] Cod. supra ει, id est θερείους. — [3] ἠλοιωμένον A

Τόκον μυσαρὸν ἐκ τεκόντων ἀθλίων,
Φημὶ λογισμῶν καὶ λόγων καὶ πρακτέων,
Βδέλλα Σολομώντειος ὥσπερ μηνύει
Ἐγκύμονας τίκτουσα τρεῖς θυγατέρας[1],
Φιλαυτοφιλαργυροφιλοσαρκίαν.

XVI. Τοῦ[2] σοφωτάτου Φιλῆ σ7ίχοι μονῳδικοὶ εἰς τὸν ἐν βασιλεῦσιν ἀοίδιμον, εὐσεβέσ7ατον καὶ φιλόχρισ7ον αὐθέντην καὶ βασιλέα ἡμῶν Ἀνδρόνικον τὸν Παλαιολόγον τὸν μετονομασθέντα Ἀντώνιον.

Τίς ἡ τοσαύτη σύγχυσις; τίς ἡ τοσαύτη ζάλη;
Τίς ὁ τοσοῦτος κοπετός; τίς ὁ τοσοῦτος θρῆνος;
Ἔπεσε μέγας βασιλεύς· αἲ παγκοσμίου κλόνου!
Ἔπεσε πύργος ἀῤῥαγής· αἲ συμφορᾶς ἀθρόας!
Πενθεῖτε πάντες ἄνθρωποι τὸν κόσμον τῶν ἀνθρώπων
Καὶ συμφορὰς παντοδαπάς. Ὢ τῶν κοινῶν δακρύων!
Ὁ φοβερὸς τοῖς ἔθνεσιν ἀπῆλθεν ἐξ ἀνθρώπων,
Ὁ ποταμὸς παρέδραμεν, ὁ θησαυρὸς ἐκρύβη,
Τῆς γῆς ὁ κόσμος, ἡ πηγή· αἲ τοῦ συμβάντος πάθους!
Ἦλθεν εἰς δύσιν ὁ φωσ7ήρ· ὢ τῆς δεινῆς ἑσπέρας!
Ἡ ῥίζα πάσης τῆς ἀρχῆς ἐτμήθη παρ' ἐλπίδα.
Τῶν βασιλέων ὁ πατὴρ καὶ βασιλεὺς ἐν τάφῳ,
Καὶ φύσις ὑπὲρ ἄνθρωπον ὡς ἄνθρωπος ἐφθάρη.
Τίς τὴν τοσαύτην συμφορὰν ἐκτραγῳδήσει λόγος;
Ὃν ἔδειξεν ἀσύγκριτον, πῶς ἔκρυψεν ὁ χρόνος;
Οἱ βασιλεῖς θρηνείτωσαν τῆς ὅλης οἰκουμένης·
Καὶ γὰρ ὁ κρείσσων βασιλεὺς ἐδούλευσε τῇ φύσει,
Ἐσίγησε τῆς φυσικῆς ῥητορικῆς τὸ σ7όμα,
Τοῦ γένους ὁ φιλόσοφος ἐξέφυγε τὸν βίον.
Ἅπασα γῆ καὶ θάλασσα, θρηνήσατε τὸ πάθος·

[1] Prov. xxx, 15, ubi duæ tantum filiæ. — [2] Cod. Coisl. 192, fol. 98 r°.

Ὑμᾶς γὰρ κατεκόσμησεν ὁ βασιλεὺς ταῖς νίκαις,
Ὁ βασιλεὺς ὁ θαυμαστὸς, ὃν ἔφριξεν ἡ κτίσις,
Ὁ νοῦς ἐκεῖνος ὁ γοργὸς, ὁ τοῦ παντὸς κοσμήτωρ.
Ὢ τοῦ συμβάντος πράγματος! ὢ τῶν κοινῶν δακρύων!
Ὢ τοῦ μεγάλου κεραυνοῦ! ὢ τῆς βροντῆς ἠχούσης!
Τῆς ἐκκλησίας ὁ λαμπτὴρ, ὁ τῶν δογμάτων φύλαξ[1],
Ὁ τοῦ πατρίου δόγματος τὴν ζάλην κατευνάσας,
Ὁ τὰ μεγάλα σχίσματα συνδήσας ἀπεῤῥάγη,
Τὸ στέφος ἔῤῥιψεν εἰς γῆν, ἀφέστηκε τοῦ θρόνου,
Πᾶσαν ἀφῆκε τὴν στολὴν τῆς αὐτοκρατορίας,
Καὶ τῆς μορφῆς τὸ χαροπὸν καὶ τὰς ἐκφύτους[2] μούσας.
Ὁ τοῖς ἐχθροῖς ἀπρόσμαχος καὶ βρυχητίας λέων
Κεῖται νεκρὸς ὑποταγεὶς τῷ θηρευτῇ θανάτῳ.
Ὁ μέγας ὄντως ἀετὸς ὑπὸ τὴν γῆν ἐκρύβη·
Τὸ τῆς ἀρχῆς καλλώπισμα φεῦ τὸ καλὸν ἡρπάγη.
Τίς ἡ τοσαύτη σύγχυσις; τίς ἡ τοσαύτη ζάλη;

XVII. Τοῦ[3] ἐπὶ τῶν δεήσεων.

Θρῆνος καὶ μέλος σὴν[4] οὐαὶ προφητικῶς ἐπῆλθε,
Καὶ πένθος ἀπαράκλητον, καὶ συμφορὰ, καὶ κλύδων,
Καὶ γνόφος, καὶ σκοτόμαινα, καὶ καταιγὶς, καὶ ζάλη,
Καὶ θύελλα σὺν ἀφεγγεῖ τοῦ βίου καταστάσει
Ἅπασαν γῆν Ῥωμαϊκὴν κατέσχεν ἐν μεθέξει,
Σάλου καὶ κλόνου καὶ βοῆς τὴν αἴσθησιν λαβοῦσαν.
Ἀὴρ δὲ τὴν κατήφειαν νέφεσιν ἀθυμίας
Ὀδυρτικὴν πέμπει φωνὴν ἄνωθεν ῥηγνυμένων·
Οἵ ποταμοί τε καὶ πηγαὶ καὶ λίμναι καὶ πελάγη
Ἐράνου δίκην δαψιλῶς τούτῳ τῷ πάθει νέμει

[1] Conf. infra XVII, 19.
[2] Leg. ἐμφύτους.
[3] Cod. Coisl. 192, fol. 99 r°.
[4] Leg. σύν. Ezech. II, 9.

Τὸ συμπαθὲς καὶ φίλοικτον κρουνοῖς τοῖς τῶν ὑδάτων
Τοῖς παγκοσμίοις πάθεσι νῦν ἐφυδραγωγοῦντα·
Τὸ σέλας γὰρ τὸ φωσφοροῦν τὴν κτίσιν ἀπεκρύβη,
Ἔδυ τὸ φέγγος ἀφ' ἡμῶν· ὢ πάθους! ὢ ζημίας!
Ἤρθη τὸ κλέος ἐκ τῆς γῆς τῶν πάντων βασιλέων·
Λύχνος ἐσβέσθη παμφαὴς τὸ πᾶν ἀπαμαυρώσας·
Τὸ μέγα καὶ πανθαύμαστον ὄφελος τῶν Ῥωμαίων
Ἐξέλιπεν, ἀπέφυγεν ἡμᾶς ἀποκοσμήσας.
Τῆς εὐσεβείας ἡ κρηπὶς, ὁ φύλαξ τῶν δογμάτων[1],
Τῆς ἐκκλησίας ὁ λαμπτὴρ, τῆς βασιλείας πύργος,
Ὁ κοσμοφύλαξ, ὁ σωτὴρ, ὁ πρόμαχος Ῥωμαίων,
Τοῦ γένους τὸ καλλώπισμα, τῆς σκηπτουχίας δόξα,
Καὶ στρατηγίας ἡ λαμπρὰ καὶ βασιλείας πεῖρα,
Καὶ μέθοδος δεινότητος, καὶ ποικιλία λόγων,
Καὶ γνώσεως δυσόριστος ἄβυσσος συνεκλείσθη,
Βαρὺν τὸν λίθον εἰσελθὼν τῆς φύσεως τὸ θαῦμα·
Τῆς εὐσπλαγχνίας πέλαγος, πηγὴ τῆς συμπαθείας,
Τὸ μέγα καταφύγιον τῶν καταπονουμένων,
Ῥωμαίοις ἕρκος θαυμαστὸν, φρικτὸν τοῖς ἀντιπάλοις,
Ἀκοίμητος, ἀκάματος ἡμῶν εἰς σωτηρίαν,
Ἁπανταχοῦ παμβόητος συνέσει καὶ τοῖς τρόποις
Καὶ τῇ πρὸς γένος ζέσει τε καὶ γένους εὐποιΐᾳ.
Οὐκοῦν δεῦτε θρηνήσωμεν ἅπαντες τὸν δεσπότην
Πικρῶς ὀλοφυρόμενοι δεινὴν τὴν ὀρφανίαν
Τοῦ βασιλέως τοῦ κλεινοῦ, τοῦ γαληνοῦ, τοῦ πρᾴου,
Ἡμέρου τε καὶ προσηνοῦς, μεστοῦ πασῶν χαρίτων,
Καρποῖς παντοίοις βρίθοντος τῆς ἀγαθοεργίας.
Ὄναρ τὰ πάντα πέφυκε, σκιὰ πάντως καὶ κόνις
Τερπνὰ καὶ δόξαι βρότειοι· τὸ νῦν πάθος βοάτω·

[1] Conf. supra XVI, 26.

Οὐ γάρ ἐσ7ιν, οὐ γέγονε δυσ7ύχημα πικρίας
Ἡλίκον ἄλλο πάνδεινον πολύθρηνον ἐν βίῳ,
Οὗπερ λοιπὸν τὸ μέγεθος ἐν κωκυτῷ μεγάλῳ
Καὶ δάκρυσι καὶ σ7εναγμοῖς καὶ πόνοις ἐκ καρδίας
Εἰς ἅπαν ἐκτανύσωμεν τὸ πέρας οἰκουμένης.

XVIII. Τοῦ[1] αὐτοῦ ἕτεροι.

Τίς μοι δανείσει δάκρυα καὶ σ7εναγμοὺς καὶ θρήνους;
Τίς συμπενθήσει συναλγῶν καὶ συμπονῶν συγκλαύσει;
Κραυγάζει πᾶσα Ῥωμαῒς ἀποβαλοῦσα μόρῳ
Δεσπότην θεῖον ἄνακτα, τὸν προσηνῆ καὶ πρᾷον,
Πάντων ταμεῖον ἀγαθῶν καὶ τῆς ἐλπίδος οἶκον,
Πᾶσαν σωρείαν τῶν καλῶν καὶ τὸν ἑσμὸν χαρίτων,
Ῥωμαίων τὸ προπύργιον ἐν πάσαις εὐπραξίαις,
Τὸν ἀρισ7έα τὸν κλεινὸν ἐν νίκαις καὶ τροπαίοις,
Καὶ βούλευμα σωτήριον φαιδρὸν ἀσ7ραπηβόλον,
Ἀκλόνητον τὴν ἔπαλξιν σοφαῖς ἐν σ7ρατηγίαις,
Καὶ τακτικὴν προμήθειαν καλοῦ πάσης ἰδέας,
Σοφῶς ἀπεργαζόμενον τὸ τῆς ἀρχῆς κηρίον
Δίκην μελίτ7ης ἐξ ἀνθῶν ἁπάντων εὐβουλίας,
Τὸ κρᾶμα πάσης ἀρετῆς καὶ καλοκαγαθίας,
Τὸν κυβερνήτην τὸν χρησ7ὸν τῆς ἀρχικῆς ὁλκάδος,
Τὸν ἄρισ7ον ἡνίοχον, κοσμολαμπῆ φωσφόρον.
Ἐλθέτω γοῦν ὁ συμπονῶν, ὁ συνθρηνῶν ἐλθέτω,
Καὶ δεῦτε καὶ συγκλαύσωμεν ἅπαντες τὸν δεσπότην,
Ὅπως ἀπῆλθεν ἀφ' ἡμῶν εἰς Ἅδου τοὺς κευθμῶνας,
Καὶ κεῖται καὶ σεσίγηται τὸ φάος τῶν Αὐσόνων,
Καὶ νέφος κεῖται ζοφερὸν εἰς πᾶσαν Ῥωμαΐδα,
Καὶ κίων κεῖται σιδηροῦς συγκαθελὼν τὰ πάντα·

[1] Cod. Coisl. 192, fol. 99 v°.

Καὶ τὴν ζωὴν εὐξώμεθα πρὸς μῆκος ἐκταθῆναι
Τοῦ βασιλέως τοῦ κλεινοῦ τοῦ φύλακος Αὐσόνων,
Τοῦ κάμνοντος ὑπὲρ ἡμῶν ἐν φιλεργίας πόνοις,
Καὶ φοβεροῦ τοῖς καθ' ἡμῶν ἀγρίως μαινομένοις,
Τοῖς δ' ὑπηκόοις ἱλαροῦ καὶ γαληνοῦ καὶ πρᾴου,
Καὶ φιλανθρώπου καὶ χρηστοῦ καὶ πλήρους συμπαθείας,
Συντηρουμένου πρὸς Θεοῦ βροτῶν ἐπ' εὐτυχίᾳ.

XIX.

Ὅλην [1] ἐμαυτὴν εἴπερ ἐξῆν εἰσφέρειν
Ἐκ τῶν στεναγμῶν ἐσφυρηλατημένην
Καὶ δακρύων γέμουσαν, ἦν ἄν μοι πρέπον·
Ἀλλ' οὐκ ἔχω πῦρ, οὐδὲ φῶς, οὐδὲ στέαρ,
Ἄνερ βασιλεῦ, πάντα γὰρ ἔσβεστό μοι,
Καὶ φλὸξ ἀφεγγὴς δαπανᾷ πᾶν ὀστέον·
Ἐπεὶ δ' ἀνασχὼν ὁ γλυκύς μοι φωσφόρος,
Καὶ τῷ κράτει βρύουσαν ἀφεὶς αἰθρίαν,
Εἶτα παρελθὼν συμφορῶν ἔθου σκότος,
Ἰδοὺ κρεμαστὴν ὀργανῶ σοι λυχνίαν·
Ἐτύγχανον δ' ἂν τῆς σοροῦ ταύτης μέρος,
Ἂν [2] εἰς λίθου κλάοντος ἐτράπην φύσιν.
Ποῦ γὰρ ἔδει ταύτην με λιπεῖν τὴν κλίνην,
Παγκόσμιον φῶς καὶ τελευτᾶν ἐσχάτην;
Νῦν δὲ καὶ [3] ζῶ καὶ ψυχῆς δίχα πνέω,
Καὶ τὸν τοσοῦτον ὄγκον ἀρθέντα στέγω.
Οὐρανὲ γῆ θάλασσα πενθήσατέ με·
Ποίαν γὰρ ἐγνώκατε δυστυχεστέραν;

[1] Cod. Coisl. 192, fol. 280 r°.
[2] Malim κἂν εἰς.
[3] δ' εἰκαιῶς ζῶ. De diphth. correptis cf. XX, 7 et 25; et XXI, 10.

XX. Στίχοι ἰάμβιοι[1].

Σαθρὸν μὲν εὐτύχημα, κούφη τερπνότης,
Χρυσὸς πυραυγὴς καὶ ταχύστροφοι θρόνοι.
Οὐχ ἵσταται γὰρ ὡς ἐπὶ σφαίρας τρέχον,
Λοξὴν δ' ἀληθῶς ἀνυπόστατον βάσιν
Ἄτακτον ἀστήρικτον ὡς ὄναρ ἔχει·
Ῥοὴν δ' ἀναιρεῖ καὶ φθορὰν[2] τούτων λύει·
Ἰᾶται[3] δ' αὖ σύντριμμα καὶ στάσιν φέρει
Ὁ νοῦς ἀπαθεῖ ζωγραφούμενος λόγῳ,
Ὑφ' οὗ πτερωθεὶς ἀντιμορφοῖ τὴν φύσιν
Πηγνὺς ἐπαίρων εἰς ἀκίνητον στάσιν·
Ἐντεῦθεν ἀρχαὶ καὶ στρατευμάτων δρόμοι
Φοβοῦσι καὶ τρέπουσιν ἐμβολῆς δίχα·
Ὕβριν δὲ δυσκάθεκτον[4] ἐχθρῶν ἐμφύτων
Καὶ λύτταν ὀργῆς ἢ παθῶν κτηνωδίαν
Ἔμφρων λογισμὸς δουλαγωγεῖ προτρέχων,
Πειθοῖ κεραννὺς ἀντιφάρμακον βίαν.
Ἀλλ' ὦ τὸ τερπνὸν τῶν ἐμῶν λόγων ἔαρ[5],
Νευροῖς γὰρ αὐτοὺς φιλοτίμοις ἀκτίσι,
Χαίροις λογισμῶν ἀσφαλεστάτη βάσις
Ἐν ἀστάτῳ πράγματι καὶ πλήρει σάλου!
Ἰδοὺ γὰρ ὀφρῦν καὶ τὰ κέντρα τοῦ τύφου
Ῥυθμῷ ταπεινοῖς καὶ περισπᾷς εἰς μέτρον.
Ὦ συμπαθὲς φρόνημα καὶ ψυχῆς τόνος
Νεύων ὅπου χρὴ καὶ πτερούμενος πάλιν,
Πύργωσαι σαυτῷ τὰς ἐπάλξεις ἐκ λόγων,

[1] Cod. Paris. 941, fol. 189 v°. Fort. ἰαμβεῖοι sive ἰαμβικοί.
[2] Leg. φοράν.
[3] Vid. supra XIX, 15.
[4] Conf. cod. Par. LVIII, 17.
[5] Conf. cod. Par. LXI, 101.

Οἷς τῶν πενιχρῶν ἐξαρθεὶς[1] ὀχημάτων,
Νικῶν μὲν ἐχθροὺς ἐκ βολῶν μεταρσίων,
Ὁρῶν δὲ φίλους ἐξ ἀπόπλου καρδίας,
Σώσεις ἐφεξῆς ἥνπερ ἔσχες εἰκόνα.

XXI. Εἰς[2] τὴν τοῦ Ὠριγένους βίβλον. Ἴαμβοι.

Εἰ μὲν θέλεις, ἄνθρωπε, θαυμάζειν βίον,
Τύχας Ἀλεξάνδροιο καὶ πράξεις ἔχεις.
Εἰ νοῦν δ' ἀτεχνῶς μυστικῶν ἑρμηνέα,
Ὠριγένην θαύμασον ὃς τοῦτον[3] ἔχει·
Οὗ τῶν λόγων νῦν ἁρμογὴν ὁρᾷς ξένην,
Βασιλείου κρίναντος ὡς κρείττους πάνυ.
Ὁ γὰρ Σατὰν ἴσχυσε κἂν τούτῳ φθόνος
Κἂν τῷ μέρει τέθεικεν (φρικτὸν τῷ λόγῳ)
Οὓς ἔσθ' ὅπου δίδωσιν ἀδόξους βλέπειν·
Ἀλλ' οὗτοι λαμπροὶ τοῦ κρίναντος ἀξίως
Ἐκ ῥευμάτων φαίη τις ὀζόντων πλάνης
Ῥανίδες ἁγναὶ μυστικῆς εὐωδίας.

XXII[4].

Τῶν Θετταλῶν ἐνταῦθα τὴν πύλην βλέπων
Θαύμαζε, πιστὲ, καὶ τὸ λουτρὸν προσκύνει·
Καὶ γὰρ ἐν αὐτῷ μαρτυρικῶς ἐσφάγη
Λόγχαις νυγὲν τὸ σῶμα τοῦ Δημητρίου·
Φορεῖ δὲ τὸν χιτῶνα λεντίου τρόπον,
Ὧ συγκαθειρχθεὶς τὴν σφαγὴν ἐκαρτέρει.
Νῦν οὖν βασιλεὺς ἐστιν ὁ στεφανίτης
Τῷ τῶν μύρων ἅπαντας ὑσσώπῳ χρίων,

[1] An ἐξεθείς?

[2] Cod. Paris. 941, fol. 186 r°.

[3] Fort. ὃς τοιόνδ' ἔχει.

[4] Cod. Paris. 2511, fol. 81 r°.

Καὶ θαυματουργεῖ πᾶν ἀποσμήχων πάθος
Τοῖς ἐμφύτοις αἵμασιν οἷς ἔτι βρύει·
Σὺ δὲ, ψυχὴ, τῷ δεῦρο λούτρῳ φαιδρύνου
Τὴν ἰλὺν ἐκπλύνουσα τῶν πεπραγμένων.

XXIII[1]. Πρὸς νέον παραινετικοί.

Θεὸν φοϐοῦ, παῖ, καὶ τὸ κακὸν αἰσχύνου·
Γονεῖς δὲ τοὺς σοὺς καὶ διδασκάλους τίμα,
Καὶ γραμμάτων φρόντιζε καὶ παιδευμάτων·
Κρείσσων δὲ τοῦ βλάπτοντος εὐφρόνως γίνου,
Καὶ τοῖς πόνοις γύμναζε λαμπρῶς τὴν φύσιν·
Ὁ ῥᾴθυμος γὰρ κεκαλυμμένος βίος[2]
Λυσιτελὲς δήπουθεν οὐδὲν ἂν φέρῃ.
Νέοις δὲ συμϐίϐαζε σεμνοῖς τὸν τρόπον,
Καὶ τοὺς ἀσελγεῖς καὶ φιληδόνους μίσει.
Φίλει δὲ τοὺς γέροντας ὡς γονεῖς νέους,
Ψεύδους δὲ τοῦ φθείροντος εὐθὺς ἀπέχου,
Καὶ τοὺς ἀληθεῖς μᾶλλον ἀγάπα λόγους·
Οὕτω γὰρ ἂν ἄριστον ἀρτίσεις βίον,
Καὶ τὴν ἀγαθὴν ἐν βραχεῖ[3] σχοίης τύχην.

XXIV[4].

Τὸν ἄγγελόν σε τῆς χαρᾶς σπαθηφόρον
Ἔγραψεν ὁ ζωγράφος, ὡς οὐ τεχνίτης
Ἢ σύμϐολον καὶ τοῦτο κακὸν τῇ πόλει·
Μετατροπὴν δὲ τοῦ καλοῦ προμηνύει
Ἐκ χαρμονικῆς ἀταραξίας ζάλην.

[1] Ex eodem cod. Paris. fol. 84 v°.

[2] Fort. κἀκλελυμένος, et vers. seq. φέροι pro φέρῃ.

[3] Cod. ἐν βραχύ.

[4] Cod. Paris. 2633, p. 734. Anepigraphi.

Ἔοικεν ὡς δρέπανον ὀργῆς Κυρίου
Ἐπιπετασθὲν ταῖς ἐφόρκων οἰκίαις.
Ἄνδρες πατοῦντες ὅρκον αἱμάτων δόλῳ,
Ἄνδρες πολῖται, Κύριος λέγει τάδε·
Ἀποστελῶ θέριστρον εἰς ὑμᾶς μέγα,
Καὶ τῶν ἡμερῶν[1] συντεμῶ διαστάσεις.
Πρόῤῥιζον ἐκκόψατε τὴν ἁμαρτίαν,
Μὴ ἐκθερίσω πάντας ὡς ἄγρου χλόην,
Πρῶτον βασιλεῖς, δεύτερον πρεσβυτέρους,
Ἐξ ὧν προῆλθε σύμπασα κακουργία,
Καὶ τρίτον εὐπειθοῦντας[2] εἰς αὐτοὺς ὄχλον.
Χρυσοῦν γὰρ οὐ προσῆκε προσκυνεῖν βρέτας,
Οὐδ' ἱερεῦσι συμφρονεῖν τῆς αἰσχύνης.
Ποθῶ τὸ πλάσμα, πλὴν παροινοῦσι πλέον·
Ποθῶ τὸ πλάσμα, πλὴν παροτρύνειν θέλει.
Τὴν ἀγέλην ζητῶ δὲ, πλὴν μακρὰν τρέχει·
Φυτηκομῶ τὰ δένδρα τῆς ἀκαρπίας,
Καὶ γηπονῶ πλὴν ἀλλὰ καλάμην μόνην.
Τί γοῦν τὸ λεῖπον; συντριβὴ, θυμὸς μέγας,
Σφαγὴ προβάτων, ἐκκοπὴ τῶν δενδρίων
Καὶ καλάμης ἡ καῦσις, ἐσχάτη δίκη.

XXV[3].

Οἰκτρὰ φανήσῃ τῶν Νικαέων πόλις,
Ὅταν τὸ διπλοῦν βῆτα, καὶ χάρις φθάσῃ
Κρατοῦσα καὶ λύουσα καὶ κρίνουσά σε,
Ἧς δάκτυλοι φέρουσι γάμμα καὶ κάππα,
Νάρκωσιν ἐμφαίνοντες ἀνδρῶν μαχίμων
Καὶ τὸν μαρασμὸν τῶν κύκλῳ σου χαρίτων.

[1] Mendum inest.

[2] Fort. εὐπαθοῦντας.

[3] Cod. Paris. 2633, p. 734. Œdipum exspectat hoc ænigma historicum.

XXVI. Ἕτεροι[1] στίχοι ἡρωϊκοὶ εἰς τὴν αὐτὴν ὑπόθεσιν (i. e. εἰς τὸν ἀνθρώπινον βίον).

Ἄνδρες ἐγερσιγέλωτες, ὅσοι βιοπαίγμονι[2] τέφρῃ
Ἀνθρακιὴν παθέεσσιν ἀνάπτετε, μίξατε πένθει
Χαρμοσύνην ἀγέλαστον, ἐπεὶ μετὰ τόξα[3] γελώτων
Θυμοβόρος[4] μελέεσσι κορύσσεται ἀσπιδιώτης.
Ἄρεϊ σαρκοχίτωνι[5] κακὴν μὴ τεύχετε νίκην,
Νίκην ψυχολέτειραν, ὅθι κρυφίοισι βελέμνοις
Ἐς κραδίην ζοφόεντες ὀϊστεύουσι φονῆες.
Λήγετε καγχαλόωντες[6] ὀλεθροφόρῳ παρὰ τύφῳ·
Ὄγκον ἔχει πίπτοντα καὶ ἐς θρόνον ἐστὶν ὀλίσθου·
Ῥεῦμα τύχης ὁρόωντες ἐναντία τέμνετε ῥεῖθρα,
Δακρυόεν γελόωντες, ἐπὶ τροχόεντι[7] κυλίνδρῳ,
Ἀνδρομέης στροφάλιγγος ὅτι στρεπτῆσι[8] κελεύθοις
Ἐκ χθονὸς ὡς ἐγένοντο πάλιν χθόνα μητέρα δύντες,
Ὡς αἰεὶ τελέθοντες ἑῆς λελάθοντο[9] γενέθλης·
Οὐ[10] δέ τις ἀμπλακίης δνοφερὴν ἀπεκείρατο χαίτην,
Οὐδὲ νόον μόρφωσεν ἀπ' εὐαγέος μελεδώνης[11],

[1] Codex Parisin. 1630, fol. 165 r°. Habet et codex Coislin. 56, fol. 168 v°, sub nomine S. Gregorii Nazianzeni et cum lemmate Ἡρωϊκά. Ineditum puto.

[2] Hac voce carent lexica.

[3] Conf. Phil. cod. Paris. XXXI, 2.

[4] Καὶ θόρυβος cod. Coisl.

[5] Vox addenda lexicis, ut et alia composita : Ἡμιχίτων, *De S. Demetrio*, ap. Bolland. oct. tom. VIII, p. 175 : Ἀόπλους καὶ ὡς ἔνεστιν διὰ τὴν ὁδὸν καὶ τὸν καύσωνα ἡμιχίτωνας. — Λαμπροχίτων, Schol. in Greg. Naz. cod. Coisl. 394, fol. 214 r° : Ἁβροχίτων, λαμπροχίτων. — Ῥυπαροχίτων, Cosmas in Greg. Naz. in *Spicil. Rom.* tom. II, p. 116 : Γάμου ῥιπτόμενος ῥυπαροχίτων. Germ. Cpolit. cod. Coisl. 278, 109 v° : Ὁ δαιτυμὼν ἐκεῖνος ὁ πιναρὸς καὶ ῥυπαροχίτων. Id. fol. 163 v°.

[6] καγχαλόωντη cod. 1630.

[7] τροχόωντι cod. 1630.

[8] στρεπτοῖσι cod. Coisl.

[9] ἐμῆς ἐλάθοντο cod. 1630.

[10] Εἰ δέ cod. Coisl.

[11] μελεδῶνος cod. Coisl.

Εἰκόνος ἀρχετύπου θεοσύνθετα[1] μέτρα φυλάξας
Ἀλλὰ νόθοις μελέεσσιν ἀνὴρ ἀνεμάξατο ταῦρον,
Οἶκον ἔχων ζοφόεντα βιοπλανέος λαβυρίνθου,
Εἴκονα δὲ βροτέην ἐψεύσατο καὶ φρένα φάτνῃ
Πηλογενῆ μεθέηκε καὶ ἀμφικέρωτος ὁμοίην
Μορφὴν κτηνομέτωπον[2] ἑῷ παρέμιξε καρήνῳ.
Ἀλλ' ἄγε νῦν, ἀρετὴ, βιοτέρμονος ἄνθεα φύτλης
Ἔννεπε πῶς χλοάοντα[3] μαραίνεται οἷά τε[4] χόρτος
Οὐτιδανὸν βλάστησε, μινυνθαδίοις[5] δ' ἐπὶ φύλλοις
Οἴχεται ὀξυθέριστα καὶ ἰσχνογένεθλα[6] τακέντα·
Οὐδὲ γὰρ ὑπνώοντος[7] ἔχει πλέον, οὐδέ τι κέρδος,
Οὐδὲ[8] πάλιν παίζοντος ὅδε χρόνος, ἀλλὰ μεθ' ἄλμην
Φλοισβοπόρου βιότοιο παλίρροον ἔρχεται οἶδμα
Ῥεύμασιν ἀνδρομέοισι σάλον θανάτοιο κυλίνδον[9].
Ἔννεπε τίς συνέπηξε καὶ ἥρμοσε χώματι σῶμα,
Ὀστέα δὲ[10] σκλήρυνε καὶ ἄτρομα πήξατο βάθρα
Σαρκοφόροις δονάκεσσι, καὶ ἐς φλέβας αἷμα λοχεύσας
Εἰς[11] ὀχετοὺς ἐτάνυσσεν, ὅπως βιοθρέμμονος ὄμβρου
Ἀζαλέοις μελέεσσιν ἐπιστάζουσιν ἐέρσαι[12]·

[1] Hac voce augenda lexica, quibus addam : Ἰχθυοσύνθετος, Melit. v. 1571 : Ἵστατο δὲ καὶ Ποσειδῶν . . . . . φέρων ἰχθυοσύνθετον (leg. ἰχθυοσύνθετα) τοῦ σώματος τὰ κάτω. — Καλλισύνθετος, Theod. Stud. p. 615 (?). — Ποικιλοσύνθετος, Meliten. v. 858 : Μετὰ φαιδρῶν ἡλιακῶν καὶ ποικιλοσυνθέτων. — Στρογγυλοσφαιροσύνθετος, Id. v. 974 : Ἔσωθεν δὲ κυκλοειδὴς ἡ στάγη καθορᾶτο Στρ., οὐρανοκυκλοδρόμος.

[2] Hanc vocem ignorant lexica.

[3] χλοάεντα cod. Coislin. χλοάζοντα cod. 1630.

[4] οἷα δὲ cod. 1630.

[5] μινυνθαδίοις ἐπὶ cod. 1630.

[6] Voc. ὀξυθέριστος et ἰσχνογένεθλος addendæ lexicis, quæ aliis ejusmodi compositis ditari possunt : Ἰσχνογάστωρ, Jo. Tzetz. *Ep.* 81. — Ἰσχνοεπής, Niceph. Cpol. ap. Mai, *Bibl. Patr.* tom. V, p. 33.

[7] ὑπνόωντος cod. Coisl.

[8] οἱ δὲ πάλιν παίζοντες ὁ δὲ χρ. ἄλλα cod. Coisl.

[9] κυλίνδων cod. 1630.

[10] δ' ἐσκλήρυνε cod. Coisl.

[11] Vers. omis. in cod. Coisl.

[12] ἐέρσην cod. Coisl.

Νεῦρα δέ τίς ῥίζωσε καὶ ἔμπεδα πάντοθεν ἄρθρα
Ἁρμονίῃ συνέδησεν, ὅπως δέμας οἷά τε δένδρον
Ἀνδρομέοις προτόνοισιν ἐρείδεται ἔνθα καὶ ἔνθα.
Τίς δολιχὸν χολάδεσσι[1] καὶ ἀγκύλον ἔργον ἑλίξας
Ἥπατος αἱμοτόκοιο[2] τόνους πυρόεντας ἀνάπτει·
Τίς δὲ πάλιν στέρνοιο φυσίζωον ἥδρασε κῶνον
Ὁλκοῖς[3] δισσοχίτωσι[4] χέων πυρόεσσαν ἐέρσην·
Πνεύμονι γὰρ κραδίη ῥιπίζεται[5], ὄφρα φυλάξῃ
Σύγχθονα[6] σαρκὸς ἄλευρα καὶ ἐκ κροτάφων ἀπερύκοι
Καπνὸν ἀνερπύζοντα καὶ αἰθαλόεσσαν ὁμίχλην·
Τίς δὲ περὶ γλώσσῃ μὲν ἐπήξατο τεῖχος ὀδόντων,
Ὄφρα λόγους προχέουσα λάλον φόρμιγγα σαλεύῃ[7]·
Ὄμματα δὲ στίλβωσεν ἐν ὑγροχίτωνι καλύπτρῃ,
Φωτοχύτῳ σπινθῆρι σέλας βλεφάροισιν ἀνάψας[8].
Τίς δὲ νόῳ πτερόεντι ῥάκος παχύκλωστον[9] ὑφήνας
Σάρκα φορεῖν ἐπένευσε, βαρυνομένην δὲ σαλεύσας
Ψυχὴν πῇ παρέβαψε δρακοντογόνων[10] ἀπὸ λύθρων,
Οἷς πάρος ἀνδρολόχευτος ἐβάπτετο δύστοκος Εὔα,
Οὓς Μαρίης ἀπέμαξεν ἀπειρογάμοιο λοχείη,
Ἀχράντοις σταγόνεσσι καὶ ἀμπλακίης μετὰ γῆρας

[1] *χολώδεσσι* cod. Coisl.

[2] *αἱματόκοιο* cod. Coisl. Hanc vocem non afferunt lexica, quibus addam quædam ex *αἱμο* et ex *αἱματο* composita. Αἱμόφθαλμος, Meliten. vers. 506, de Cerbero : Τρικάρχαρος, αἱμ., συὸς ἔχων ὀδόντας. — Αἱματολουσία, cod. Paris. 1186, fol. 134 v°. — Αἱματόχροος, Meliten. vers. 456 : Τοὺς ὀφθαλμοὺς κοκκοβαφεῖς ἔχον αἱματοχρόους. Formam *αἱμόχροος* affert *Thesaurus*. — Αἱματοχύτης, cod. Paris. 2424, fol. 51 r°.

[3] *ὀλκοῦ* (*sic*) cod. Coisl.

[4] Hac voce augenda lexica.

[5] *ῥιππίζεται* cod. 1630.

[6] De hac voce dubito.

[7] *σαλεύσῃ* cod. Coisl.

[8] Vers. 50 et seq. desunt in codice Coislin.

[9] Hanc vocem ignorant lexica.

[10] Vox addenda lexicis. Adde et *πικρόγονος* ex Neophyto, codex Parisin. 1189, fol. 40 r° : Πικρογόνους πηγὰς ἀπιστίας.

Ἄσπορον υἷα λόχευσε καὶ ἄσπορον ἥρπασεν Εὔαν.
Οὕνεκα γὰρ τοπάροιθε γυνὴ τεκνώσατο λύπας
Παρθένος εἰλείθυια μογοστόκον ἔσβεσε λύπην.
Ἔννεπέ μοι, βασίλεια, βίου ζοφόεντας ὀνείρους·
Πολλάκι γὰρ κνώσσοντα κενοῖς ἰνδάλμασιν ὕπνος
Φάσματι κοιρανίης ἀνεμώλιον ἥρπασεν ἄνδρα,
Καὶ στρατιὴν ὑπέταξε, καὶ ἄστατον ὄλβον ἀγείρας
Σκηπτροφορεῖν παρέπεισεν ἐπὶ πτωχῶν παλαμάων,
Ἀγλαΐην ἀνύπαρκτον ἐπὶ κροτάφοισι τανύσσας·
Τῷ δὲ μάτην θέλγοντι νόον μελέεσσι χυθέντα
Στυγνὴν ἠριγένειαν ἐπίσχεν[1] ὄρθριος ὄρνις·
Ἔνθεν ἐμοὶ σκιόεσσα βίου φιλοπαίγμονος αἴγλη
Σκηνοχαρὴς[2] δοκέει τύπος, οἷά περ ἄνερες ἄλλοι
Παιζόμενοι παίζοντες ἐν εὐτροχάλοισι θεήτροις
Ἄνδρα γελωτοκάρηνον[3] ἐνιδρύσαντο θοώκῳ·
Χλαίνῃ[4] μὲν σχεδίῃ περιλαμπέα, παιζόμενον δὲ,
Ὄλβῳ ἐπ' ὀθνείῳ πενίην ὅτι δόξε καλύπτειν·
Τόν ῥα γέλως μόρφωσε βίου φορέοντα καλύπτρην,
Ὄλβιον ὑψικάρηνον ἕως μόνον ἕζετο παίζων
Ἀγλαΐην βιότοιο[5], κενῷ δ' ἐπετέρπετο θώκῳ,
Ὃς ψαλίσιν τοπάροιθε τεμὼν ἀπεκείρατο χαίτην·
Ὃν δὲ νόον προέκερσεν ἀναιδέος εἵνεκα λύσσης·
Πολλάκι γὰρ κλέπτουσι τύχης ψυχάρπαγες ὄγκοι
Θελξινόοις παγίδεσσι καὶ ἀκρατὲς ἅμμα βαλόντες,
Γυμνὸν ἐχεφροσύνης πεπεδημένον ἥρπασεν ἄνδρα.
Εἰ δέ τις εὐσεβίης θεοβενθέος[6] ἔδρακεν ὄρκους,

[1] Fort. ἐπίσχεεν.

[2] Hac voce augenda lexica, quibus accedat ἐγερσιχαρὴς, Anon. Hymn. in Virg. 6.

[3] Hac voce carent lexica.

[4] Cod. χλαινίῃ.

[5] Cod. βιώτοιο et v. 77 ἕνεκα

[6] Vox addenda lexicis.

Ἵσταται ἐν πελάγεσσι, καὶ ἐς βυθὸν ἴχνος ἐρείδει,
Οὐ τρομέων ζοφόεντας ἀεὶ πνείοντας ἀήτας·
Ταῦτα γὰρ ἠΰτ' ὄναρ τὸν ἐμὸν βίον, οἷά περ αὔρη,
Κύμασιν ἀνδρομέοις περικίδναται ἔνθα καὶ ἔνθα,
Ἢ βιότῳ παίζοντι συνίπταται ἅλματι κούφῳ,
Ὕπνῳ ὀλισθήσαντα, συνεκλείψαντα θεήτρῳ,
Πομφόλυγος στροφάλιγγι πανείκελα τῇ παρὰ κέντροι
Ὀμβροτόκου ψεκάδος παρανίσταται ἄστατον ὕψος,
Καὶ πάλιν αὐτοκύλιστον ἀπέρχεαι ἔνθεν ἀνῆλθεν.

XXVII[1]. Νουθετικοί.

Ἔχε πρὸ πάντων τὸν θεοῦ φόβον, ξένε·
Ἢν[2] ἀγαπητοὺς τοὺς λόγους κρίνῃς ἄρα,
Νυκτὸς νοητῆς ἐνθυμούμενος ζόφον,
Ἑαυτὸν ἐκ γῆς τῶν παθῶν ἐκσπῶν φέρε.
Ῥήσει σοφῶν ῥώννυε ῥᾷστα σὸν κέαρ[3].
Ἅγνιζε σαυτὸν, ἀνάγου πρὸς αἰθέρα·
Σταίη γὰρ οὕτω[4] σὺν σοφοῖς τὸ σὸν λάχος.
Σώφρων βίωσκε[5], καὶ τὸ σὸν φρούρει δέμας.
Ὕδρευσον, υἱὲ, νουνεχῶς ὕδωρ λόγου.
Ἀφεὶς ἅπαντα γῆς μελουργῶν ᾄσματα,
Ἶς ἰσχυρὰ, κραύγασον, ἐξ ὕψους ἴθι
Εἰς γλῶσσαν, ὡς μέλποιμι τῷ πλάσαντί με.

[1] Carm. XXVII et XXVIII in cod. Venet. 512, sub nomine Philæ. In edit. Basil. 1536, sub nomine Theodori Prodromi. Ex codd. Vat. 305 et Paris. 2831 meliori ordine restituit Dutheil, *Not. mss.* t. VIII, p. 197 et 198. In cod. Paris. 854, fol. 229 v°.

[2] ἂν cod. Paris.

[3] Post hunc versum in edit. Bas. legitur: Μὴ δείδιθι, πλὴν καὶ σὺ μῖσος ἐκτραπών (fort. leg. ἐκτρέπων). Quem versum post vers. 5 carm. seq. collocandum putat Dutheil, probabilitate nulla.

[4] οὕτως ed. Bas.

[5] De hac forma vid. *Thesaur.*

XXVIII[1]. Κατὰ φθονούντων.

Οὐκ ἔσ7ιν ἡμῖν ἰνὸς ἴχνος ἐν βίῳ,
Οὐ χεῖρες εἰς ἄμυναν· ὢ δεινοῦ πάθους!
Ὡς ἂν τὰ μισάνθρωπα κέντρα τοῦ φθόνου
Ἑλὼν ἀράξω χερσὶν ἀδραῖς ἀσχέτοις,
Καὶ τοὺς κότον[2] τρέφοντας ἐν ψυχῇ μέσῃ
Ἀειφυγίᾳ ζημιώσω[3] καὶ πλάνῃ.
Υἱοὶ σκότους γάρ εἰσιν, ὡς υἱοὶ πλάνης,
Καὶ τῆς ἐκεῖθεν ἀορασίας ὅλοι[4].
Νῦν δ' ἰαταταὶ[5], καὶ γὰρ ἀδρανῶς ἔχω,
Κἂν οὖν[6] κατ' αὐτῶν ἐξοπλιῶ τὸ σ7όμα,
Ὡς λοιδοριῶ τὴν μισάγαθον νόσον·
Οὕτω γὰρ ἴσως νοῦς ἐμὸς παυθῇ πάθους.

XXIX[7]. Εἰς τὰς ιϐ' ἑορτὰς τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χρισ7οῦ.

Εὐαγγελισμὸς, γέννα, κλήσεως θέσις,
Χεὶρ Συμεὼν, βάπ7ισμα, φῶς Θαϐωρίου,
Λάζαρος ἐκ γῆς, βάϊα, σ7αυροῦ ξύλον,
Ἔγερσις, ἄρσις, Πνεύματος παρουσία.
Τὸ χαῖρε, παῦλα τῆς παλαιγόνου λύπης.
Ἡ γέννα, τύπος[8] πλάσεως τῆς δευτέρας.
Ἡ κλῆσις, εἰκόνισμα τῆς σωτηρίας.
Ἡ Συμεὼν χεὶρ, δεῖγμα τοῦ γραπ7οῦ νόμου.

[1] Habet et cod. Par. 854, fol. 229 v°.

[2] σκότον cod. Paris.

[3] Fort. ζημίωσον vel ζημίωσαι. Duth. ex Gaulmino. Male.

[4] αλει ed. Bas.

[5] νῦν δ' ἀταταὶ Duth. contra metrum. νυν δι' ἀπάτας ed. Basil.

[6] κἂν οὐ cod. Paris.

[7] Edit. sub nomine Joann. Euchaït. p. 72. Cod. Vat. 1126, fol. 273 r° : Εἰς τὰς ιϐ' ἑορτάς. Ex altero cod. Vat. 305 edidit Dutheil, *Not. mss.* tom. VIII, p. 193, sub nomine Theod. Prodromi.

[8] ῥίζα Jo. Euch.

Ἡ βάπτισις, κάθαρσις ἀνθρώπων ῥύπου.
Τὸ τοῦ Θαβὼρ φῶς, τῆς ἐμῆς νυκτὸς λύσις.
Ὁ Λάζαρος, φροίμιον αἴσχους θανάτου.
Ψυχῶν[1] ἔαρος σύμβολον, τὰ βάϊα.
Ἁμαρτίας σταύρωμα, τὸ σταυροῦ ξύλον[2].
Θανὴ θανῆς ἔγερσις ἡ τοῦ κυρίου.
Ἄρσις πεσόντων, ἄρσις ἡ τοῦ δεσπότου.
Τὸ Πνεῦμα, τέρμα τῆς ἐμῆς σωτηρίας.

XXX[3]. Τοῦ Φιλῆ εἰς τὸν καταπαθῆ[4] μοναχὸν λωβὸν τὸν κείμενον ἐν τῇ Πηγῇ[5].

Τὸ σῶμα τοῦτο, κλῆμα τοῦ θνητοῦ γένους,
Ὃ βλαστὸν ἐξήνεγκεν εὐχαριστίας,
Ῥιζῶν ἀγαθῶν εὐτυχῆσαν ἰκμάδας.
Ἐκτέμνεται γὰρ τῶν μελῶν τὰς ἀκρίδας[6]
Ἀκμαῖς ὀδυνῶν τμητικῆς λώβης, ξένε[7],
Καὶ ταῖς ὀρυγαῖς ἐνσκαφὲν τῶν[8] τραυμάτων,
Καὶ κατασαπὲν τῆς νομῆς τῇ κοπρίᾳ,
Καὶ ζῶν ἀμυδρῶς καὶ ψυχῆς ἴσχον ζέσιν,
Καθ' ἧς ὁ χειμὼν οὐκ ἐπῆλθε τῆς νόσου,
Εἰς τὴν ἀληθῆ κατέμεινεν ἄμπελον[9],
Τῇ γῇ δὲ χωσθὲν ὑπερανθήσει πάλιν,

[1] ψυχῆς Jo. Euch.

[2] τοῦ στ. ξύλον Jo. Euch.

[3] Wernsd. p. 54. Jo. Henr. Maius, *Bibl. Uffenbach.* p. 587 : Τοῦ Φιλοθέου εἰς τὸν κάκιστα παθόντα μοναχὸν λωβὸν, τὸν κείμενον ἐπὶ τῇ πανηγύρει. Codd. Flor. fol. 193 r°, Mon. fol. 18, 141, et Paris. fol. 8 r° : Ἐπιτάφιοι εἴς τινα σφόδρα λελωβημένον εὐγνώμονα. Cod. Vat. 113, f. 4 v° : Τοῦ σοφωτάτου Φιλῆ κ.τ.λ. In altero cod. Mon. 564, fol. 260, ut in edit., nisi καταπαθοῦς pro καταπαθῆ. Conf. cod. Paris. XI.

[4] κακοπαθῆ Wernsd. qui legebat καταπαθῆ.

[5] ἐν τῇ πανηγύρει Maius.

[6] Fort. ἀκίδας Wernsd. Conf. cod. Paris. XI, 14.

[7] Wernsd. commodius legi putat ξένως. Recte.

[8] ἐνσκαφέντων Wernsd.

[9] Locutio ex Joh. XV, 4. Wernsd.

Ὡς ἂν ὁ καρπὸς ἐκφυῇ τῆς ἐλπίδος.
Ἢ φυτὸν ἦν ἔνικμον εἰς ὥρας ἔαρ
Καὶ φυλλομανοῦν τῇ χλιδῇ[1] τῶν πραγμάτων,
Οὗ τοὺς περιττοὺς ἐξεκάθηρε κλάδους
Τὴν ῥίζαν ἀφεὶς τῆς ψυχῆς ὁ δεσπότης·
Καὶ νῦν μαλακὴν ἀμφιέννυται[2] σκέπην,
Μεταφυτευθὲν οὗπερ ἀνθοῦν οὐ φθίνει.
Ὦ πύργος ἑστὼς πρὸς τὰ ῥεῖθρα τῆς νόσου
Καὶ μὴ κλονηθεὶς ταῖς πνοαῖς τοῦ κινδύνου!
Ὦ πέτρα μὴ θρυβεῖσα τὴν ἔνδον βάσιν,
Καθάπερ ἀδροῖς ἐγκοπεῦσι[3] τοῖς πόνοις!
Ὦ νοῦς πλατυνθεὶς ἐν στενῷ τοῦ σαρκίου,
Καὶ μὴ χαλασθεὶς μηδ' ἀμείψας τὸν τόνον!
Οἷος μαχητὴς ὑπὸ τὸν χοῦν[4] ἐκρύβη
Κτείνας τὸν ἐχθρὸν τῆς νόσου τῇ μάστιγι[5]!
Νῦν οὗτος ἀνήρ· τὸν γὰρ ἔμπροσθεν χρόνον
Ἄσημον ἦν δήπουθεν ἐμπνέον τέρας.
Πῶς; ἵνα φανῇ πνευματικὸς ὀκτάπους
Ἐν τοῖς Θεοῦ κρίμασι τὴν νῆξιν φέρων,
Προὔθηκε[6] πᾶν ἕτοιμον εἰς λώβην μέλος,
Μὴ παρασυρῇ τῶν παθῶν τῇ προσχύσει.
Πῶς ἐν περιτμήμασιν ἀκρωτηρίων
Ἀνεῖλε βαλὼν[7] τὸν Σατὰν τὸν αὐθάδη!
Μᾶλλον δὲ πῶς ἔθυσε τὴν ζῶσαν πλάσιν
Τῷ δημιουργῷ[8] τὸν δριμὺν σπείσας[9] πόνον,

[1] Conf. cod. Flor. CXIII, 6.

[2] ἐνδιδύσκεται Wernsd.

[3] ἐγκοπεῦσα Wernsd. qui proponit ἐγκοπεῖσα.

[4] ὑπὸ τύμβον Wernsd.

[5] Conf. cod. Flor. CXXXVII, 2.

[6] προὔθηκεν πᾶν Wernsd. contra metrum.

[7] λαβὼν Wernsd.

[8] Leg. δημιουργῷ. Wernsd. An sine τῷ? Quod non intelligo.

[9] πείσας Wernsd.

Μὴ χοιρὸς ἐλθὼν συμπατήσῃ μαργάρους[1]
Ἔμπνους ἐκεῖνος, οὗτος ἀρετῆς τύπος
Καὶ μαρτυρικὸς ἀνδριὰς, ὁ γεννάδας
Ἄχειρ παλαιστὴς καὶ στεφανίτης ἄπους,
Ὀφθαλμὸς ὀξύτατος, ὀμμάτων δίχα,
Νεκρός τε καὶ ζῶν καὶ ῥινότμητος[2] γίγας,
Καὶ νυμφίος κάλλιστος, οὐκ ἐκ παστάδος
Ἀλλὰ χθαμαλῆς καὶ στενῆς τινος κλίνης,
Ἰχῶρσι[3] καὶ μώλωψι καὶ σήψει βρύων.
Ἵνα δὲ σαφῶς ὀργανώσω τὸν μέγαν,
Λείψανον ἦν σώματος ἢ κρεάδιον[4],
Ὃ δὴ καταλέλοιπεν ἡ νόσος μόλις,
Κόρον τρυφῆς λαβοῦσα, μὴ κάμῃ πλέον,
Ἢ[5] σπόγγος ἀργὸς ταῖς ὀπαῖς παραπνέων.
Ἀλλ' εἶχε λαλοῦν[6] τὴν Θεοῦ δόξαν μέλος,
Σοφῶς ἐπαινῶν τοῖς παροῦσι τοὺς πόνους·
Ὡς ἂν μάθῃς, ἄνθρωπε, τὰς λύπας φέρειν,
Καὶ μὴ ῥᾳθυμεῖν ἀγνοῶν τὸ συμφέρον,
Κἂν μακρὸς ἐκτρίβῃ σε[7] τοῖς πόνοις χρόνος.
Νυνὶ γὰρ αὐτὸς ἐκδραμὼν τοῦ λειψάνου,
Μετὰ χρόνον δή τινα συχνὸν τῆς νόσου
Τοῖς ἀγγέλοις σύνεστι, φῶς ἄλλο βλέπων,
Εἰς γῆν[8] ἁπαλὴν καὶ διάβροχον πόαν,
Ἔνθα τρυγᾷ τὰ δένδρα τῆς ἀφθαρσίας.
Ἴσως[9] τι καινὸν καὶ γραφῆς πέρι[10] λέγεις·

[1] Matth. VII, 6.

[2] Leo gramm. p. 159 et 165.

[3] Job. II, 8.

[4] Sic cod. Paris. ex correctione. Ἢ ζῶν τι κρέας Wernsd.

[5] Fort. ἦν Wernsd.

[6] λαλῶν τὴν Θ. δόξαν ἐντός Maius.

[7] Ed. ἐκτρίβησε.

[8] Sic cod. Par. ex corr. εἰς τὴν ἁπ. W.

[9] Hic novum incipit tetrastichum. Deest in cod. Paris.

[10] περὶ Wernsd.

Ἀλλ' ἰσχνοφωνεῖς ὑπὸ τῆς λώϐης πάλιν,
Πλὴν εὐχαριστεῖς· εἰ δὲ σιγᾷς, οὐ ξένον·
Τοὺς γὰρ πόνους ἔμαθες εὐψύχως φέρειν.

XXXI[1]. Τοῦ αὐτοῦ εἰς τὸν αὐτοκράτορα βασιλέα.

Ἀσύγκριτος εἶ, βασιλεῦ, σιγάτωσαν οἱ λόγοι·
Ἀνείκαστος τὴν φρόνησιν, ἐῤῥέτωσαν οἱ κρότοι.
Σὺ μὲν γὰρ φῶς ἀπὸ φωτὸς τοῦ πρώτου χρηματίσας,
Τῷ δραστικῷ σου τῆς ψυχῆς τὰ φῶτα προσλαμϐάνεις.
Ἡμεῖς δὲ τὰς ἐλλάμψεις σοῦ κυκλοῦμεν καὶ βομϐοῦμεν,
Ὥσπερ ἐμπίδες ἀδρανεῖς καὶ κώνωπες καὶ κνῖπες,
Καὶ καταϐαπτιζόμεθα τῶν ἔργων σοῦ τῇ χύσει,
Ὡς βυθοδρόμοι καὶ δειλαὶ καὶ φίλυδροι διψάδες.
Ποῦ γὰρ ἐντάσεις καὶ ῥυθμοὶ καὶ μέτρα καὶ συνθῆκαι;
Ποῦ δὲ κομψαὶ περιϐολαὶ καὶ βάσεις καὶ δεινότης,
Ἢ κίνησις ἢ δύναμις ἢ πῆξις ἢ γοργότης;
Ταῦτά σοι πάντα καθαρῶς ὑποχωρεῖ καὶ τρέμει,
Καὶ φεύγει σοῦ τὸ μέγεθος ἡ θάλασσα τῶν λόγων,
Καὶ γίνεται παλίνδρομος ὁ ποταμὸς τῶν κρότων·
Τὴν γὰρ τῆς τέχνης ἐμϐολὴν ἀμϐλύνει σου τὸ κράτος,
Ὅπερ ὡς πῦρ καὶ δαπανᾷ τὴν ὕλην τῶν ἐπαίνων.
Ἐγὼ δὲ φρίττω συσταλεὶς ὑπὸ τῆς ἀγωνίας.
Τίς γὰρ ἂν δύναιτο μετρεῖν τὰ πλήθη τῶν ἀστέρων;
Τίς δὲ κυμάτων συνεχῶν ἀλλ'[2] ἐπ' ἀλλήλους χύσεις[3];
Τίς δὲ καὶ φύλλων μερισμοὺς, τῆς βλάστης ἐκκυψάσης
Μετὰ χειμῶνα καὶ κρυμὸν καὶ γνόφον καὶ νεφέλας.

[1] Ed. Wernsd. p. 74. Habet et cod. Monac. 564, fol. 261. De vocibus τὸν αὐτοκράτορα βασιλέα dubito. Conf. edit. pag. 66 sq.

[2] Fort. ἂν Wernsd. Imo leg. ἀλλεπαλλήλους χύσεις;

[3] Quod faciebat fatuus ille Corœbus Cf. cod. Fl. I, 756.

Ὅλος εἶ φῶς μετὰ σαρκὸς καὶ τέρψις καὶ φαιδρότης·
Ὅλος εἶ νοῦς βασιλικὸς καὶ γνῶσις καὶ πυκνότης
Καὶ θαυμαστή τις ἔκπληξις καὶ τέρας ἐν ἀνθρώποις.
Πάντα σοῦ γὰρ ὑπέρκειται, πάντα σοῦ πάντη ξένα·
Τὸ κάλλος ὑπὲρ ἄνθρωπον, ὁ λόγος ὑπὲρ λόγον,
Αἱ πράξεις ἀνυπέρβλητοι. Τίς ὁ τῆς γλώττης κτύπος!
Εἰ γὰρ ἐχρῆν ἐπὶ τῆς γῆς φύσιν ἐλθεῖν ἀγγέλου
Καὶ μετὰ σώματος ἡμῖν ὀφθῆναι τοῖς ἀνθρώποις,
Οὐκ ἦν ἂν κρείττων, βασιλεῦ, τοῦ παραστήματός σου.
Εἰ δέ τις βούλοιτο μαθεῖν καὶ τὸν Ἀδὰμ τὸν πρῶτον,
Ὁποῖος ἦν πρὸ τῆς ἀρᾶς, ἰδέτω σου τὴν φύσιν.
Ὥστε, κἂν ἦν σοι δυνατὸν συμβαίνειν τοὺς ἐπαίνους,
Πρᾶξις ἄν[1] σοι, βασιλεῦ, τοῦτο τῆς γλώττης μόνης
Καὶ τῆς φωνῆς τῆς ὑψηλῆς καὶ τῆς μεγαλονοίας.
Καὶ γὰρ οὐκ ἔῤῥηξας ἡμῖν τῇ ῥάβδῳ τῆς ἰσχύος
Τὴν τῶν πραγμάτων θάλασσαν καὶ τὸν βυθὸν[2] τοῦ κράτους,
Ἵνα φυγὰς ἀνασωθῇ μὴ κυβιστήσας δῆμος;
Μὴ τῆς Μεῤῥᾶς[3] τῆς κοσμικῆς οὐκ ἤμειψας τὴν ῥύσιν,
Τὸν Ἰσραὴλ τὸν δεύτερον ἰθύνων καὶ λιπαίνων;
Μὴ τῶν ἐθνῶν τὸν ποταμὸν οὐκ ἔφθης ἐξικμάσας,
Τῆς τῶν φρενῶν σου μηλωτῆς θαυματουργεῖος χύσιν[4];
Τίς σου τὸ κράτος, βασιλεῦ, τὸ μέγα μὴ θαυμάσει;
Τίς τὴν κρατίστην καὶ φρικτὴν ἀπὸ τῶν ἔργων φύσιν;
Οἱ μὲν γὰρ[5] ἄλλοι βασιλεῖς ἐκ τῶν προγεγονότων,
Σὺ δὲ σαυτὸν ἀπὸ σαυτοῦ σεμνύνεις καὶ λαμπρύνεις.
Οὐκ ἔστι κόρος οὐδαμοῦ τῶν κατὰ σὲ τοῖς λόγοις·
Ὦ ποταμὲ καὶ θάλασσα πραγμάτων ἀποῤῥήτων!

[1] Fort. ἂν ἦν σοι Wernsd. Recte.
[2] Cod. τὸν βυθάν Wernsd.
[3] *Exod.* xv, 23. Wernsd.
[4] Fort. θαυματουργείᾳ σχίσας. W. Malim θαυματουργήσας.
[5] οἱ μὲν ἄλλοι Wernsd.

Οὐδὲ γὰρ τὸν ἱμάντα[1] σοῦ δύναται νοῦς τις λύειν,
Ὦ τὰς λαϐὰς τῶν τῆς ἀρχῆς πεδίλων ὑπανέχεις.
Ἀσύγκριτος εἶ, βασιλεῦ, συγγίνωσκε τοῖς λόγοις.
Εἰς γὰρ τὴν ἅλω[2] τῶν κοινῶν καὶ καθ' ἡμᾶς πραγμάτων
Τὰς ἀχυρώδεις τῶν ἐχθρῶν ἀπολικμήσας φύσιν[3],
Μόνους ἀφῆκας τοὺς καρποὺς τῆς αὐτοκρατορίας
Εἰς τὸν σιτῶνα τῆς ψυχῆς ἐντεθησαυρισμένους·
Καὶ τοὺς ἀκάρπους καὶ τραχεῖς καὶ φαύλους καὶ δενδρώδεις,
Ὡς ἐν ἀξίνῃ καθαιρεῖς τῇ τοῦ μηροῦ σου σπάθῃ[4].
Ὦ πῶς, ὁ μεγαλόνικος τὴν τύχην αὐτοκράτωρ,
Ἐπλήρωσας τὰς φάρυγγας τῶν ὑποτεταγμένων,
Καὶ τοὺς βουνοὺς τῶν δυσμενῶν καθεῖλες ὑποσπάσας,
Καὶ τὰς ἐρήμους καὶ στυγνὰς καὶ παραϐόλους χώρας
Ἀθρήσας παρεσκεύασας ὑπὲρ ἀγροὺς εὐδρόσους!
Ὦ πῶς, ὁ μέγας βασιλεὺς, τῶν λόγων περιγίνῃ!
Μὴ γὰρ ἐσθῆτες φεραυγεῖς τὸ κράτος σου κοσμοῦσι,
Μὴ λίθοι καὶ στρατεύματα καὶ χρήματα καὶ νίκαι;
Ναὶ μὴν καὶ ταῦτα περισσά· τίς γὰρ ὡς σὺ τὴν τύχην;
Ἀλλὰ χαρακτήριζε[5] τῶν φαινομένων μᾶλλον
Ἡ φρόνησις καὶ σύνεσις, ἡ τῆς ψυχῆς ἀνδρεία[6],
Ἡ θέμις, ἡ κατάστασις, τὸ χῦμα τῆς καρδίας.
Ἀσύγκριτος εἶ, βασιλεῦ, μάτην ἴσχω τῶν λόγων.
Μόνος γὰρ ὤφθης ἀριστεὺς, μόνος ἐφάνης ἥρως
Καὶ γίγας ἀπροσμάχητος πρὸς τοὺς ὑπεναντίους[7],

[1] Luc. III, 16. Wernsd.

[2] Luc. III, 17. Wernsd.

[3] Wernsd. leg. putat τὴν ἀχυρώδη, aut φύσεις.

[4] *Exod.* XXXII, 27. Wernsd.

[5] Scribendum : ἀλλά σε χαρακτηρίζει aut ἀλλὰ χαρακτηρίζει σε τῶν φ. Wernsd. Hoc recte; illud contra metrum.

[6] ἀνδρία Wernsd.

[7] ὑπενα..... (*sic*) cod. in quo extremæ lineæ, non omnes quidem, alternæ tamen, bibliopegi incuria truncatæ sunt. Wernsd.

Καὶ μόνος τὸν προπάτορα μετὰ τὸν χρίσαντά σε
Τοῖς οἴκοθεν χαρίσμασι λαμπρῶς ἀν . . . . .[1]
Ἀσύγκριτος εἶ, βασιλεῦ, τίς ὑποστήσεταί σε;
Χαιρέτω σύμπας οὐρανὸς, ὅτι σε κάτω πε . . . . .[2]
Χαιρέτω γῆ καὶ θάλασσα· σὺ γὰρ αὐτῶν ἡγήσω.
Τί μὴ τὰ πάντα συλλαβὼν ἐν ἐπιτά . . . . .[3]
Ὡς λύχνος μέγας ἀναφθεὶς ἀπὸ τῶν πρώτων φώτων
Ἐξ οὐρανῶν ἐπὶ τὴν γῆν ἐπέμ . . . αὐτο . . . . .[4]
Καὶ πάντα γνόφον καὶ κρυμὸν ἐξαίρων τῶν πραγμάτων
Πάντας φωτίζεις δαψιλῶς καὶ θάλπεις καὶ φ . . . . .[5]
Καὶ φῶς ἀναβαλλόμενος[6] ἀντὶ λαμπρᾶς ἐσθῆτος
Ὅλην τὴν γῆν κατακοσμεῖς, ὅλην . π . . . . .[7]
Ἀλλὰ βαπτίσαις, βασιλεῦ, τῷ λύθρῳ τῶν βαρβάρων
Τὴν ἤπειρον, τὴν θάλασσαν, τὰς λόχμας, τὰ . . . . .[8]
Τὸν νότον ἅμα τῷ βοῤῥᾷ, τὸν ὄρθρον, τὴν ἑσπέραν·
Πλατύναις τὰ σχοινίσματα τῆς αὐτοκρατορίας,
Αὐξήσαις χύδην τὸ χρυσοῦν ἐπὶ τοῦ θρόνου γένος,
Ἐκ τοῦ παρέδρου γέροντας ἄλλους παρέδρους . . . . .[9]
Καὶ πάλιν ἄλλους ἐξ αὐτῶν καὶ πάλιν ὁμοθρόνους,
Εἰς ἄπειρον, εἰς ἄμετρον προβεβηκότας . . . . .[10]
Καὶ ζώοις ὑπὲρ ἄνθρωπον καθάπερ ὁ Θεσβίτης
Ἵν' ἅμα τούτῳ προσλαβὼν καὶ τὸν ἐκ . . . . .[11]

[1] Suppleo *ἀντικαθίστης* aut *ἀνταποδίδως* Wernsd.

[2] Fort. *κάτω πέμψε* aut *κατῴκισε* aut *κατέπεμψε* W. Leg. *κάτω πέμψε*.

[3] Fort. *ἐν ἐπιτάσει φημί;* Wernsd. Contra metrum. Leg. *εἴπω* sive *λέξω*.

[4] Fort. *ἐπέμφθης αὐτοκράτωρ* W.

[5] Lego *φαιδρύνεις* Wernsd.

[6] Psalm. CIII, 2. Wernsd.

[7] Fort. *ὅλην σὺ πολιτεύῃ* aut *ὅλην ἁπλῶς διοικεῖς*. Wernsd. Hoc contra metrum. Sed fortasse leg. *ὅλην ἐπιλαμπρύνεις*.

[8] Fort. *χωρία* Wernsd. An *πεδία*.

[9] Supple *βλέψαις* W. Malim *ἴδοις* sive *εὕροις*.

[10] Leg. *χρόνον* Wernsd.

[11] *Τὸν ἐκείνου δίφρον* tentabat W. Fort. *τὸν ἐκείνου φίλον*, id est *Ἐλισσαῖον*.

Προσμαρτυρήσῃς τῷ Χρισῖῷ τὸ κατὰ πάντα κράτος·
Ναὶ γένοιτο, παμβασιλεῦ, ναὶ γένοιτο . . . . . [1]
Ὁδηγητρίας τῆς ἁγνῆς μεσιτευούσης κόρης·
Ἐφ' ᾗ τυγχάνει πεποιθὼς, ἐφ' ᾗ καὶ βασιλεύει
Καὶ τὰς ἐλπίδας ὁ κρατῶν σαλεύει καὶ πηγνύει.
Ἀσύγκριτος εἶ, βασιλεῦ, σιγάτωσαν οἱ λόγοι.

XXXII [2]. Εἰς τοὺς τρεῖς μεγάλους μάρτυρας, Θεόδωρον, Δημήτριον καὶ Γεώργιον.

Δρακοντοφόντης, γοργόπους, μυροβλύτης [3],
Ἐκ τῆς ἑῴας ὁ γλυκὺς σῖρατηλάτης·
Τῆς γὰρ νοητῆς τέκνον ἐσῖὶν ἡμέρας·
Ἐξ εὐχαρίτων ἡ Θεοδώρου χάρις,
Μήτηρ γὰρ εὐκτῶν τῶν Θεοῦ δωρημάτων.

XXXIII [4]. Τοῦ Φιλῆ πρὸς τὸν αὐτοκράτορα, ὅτε ἐπὶ χρονογραφίᾳ μεταβληθεὶς [5] ἀπητήθη ὅρκον [6] περὶ ἀσφαλείας.

Μαρτύρομαι τὸν ὄντα καὶ πρὸ τῶν χρόνων,
Τὸν δημιουργὸν, Αὐσονάρχα [7], τῶν χρόνων,
Οὗ τὸν [8] μέγαν κυκλοῦσιν ἄγγελοι θρόνον,
Ὃς οὐρανὸν τοσοῦτον ἐξέτεινέ μοι,
Καὶ γῆς βάσιν ἄβατον ἐσῖήριξέ μοι,

[1] Suppl. *γένοιτό σοι τοῦτο*, aut *γένοιτο βεβαίως* Wernsd. Malim *ταχέως*.

[2] Ed. Wernsd. pag. 236. Cod. Vat. 1126, fol. 273 r°, qui post Γεώργιον habet *ὁ .... παρὼν σῖίχος κινοῦν* (*sic*).

[3] Ed. *μυροβλήτης* et in not. : Fort. *μυροβλύτης*.

[4] Post Honterum edidit W. p. 242. Habuit et cod. Paris. fol. 263 v° : *Ὅρκος πρὸς τὸν αὐτ.* Superest tantum primus versus, nam periit folium sequens.

[5] Fort. *διαβληθείς* Wernsd.

[6] *ὅρμον* Wernsd. qui recte : Fort. *ὅρκον*.

[7] *αὐσονάρχην* Wernsd. qui in notis : Fort. *αὐσονάρχα*.

[8] *οὗ τοι μέγαν* Wernsd. qui recte : Fort. *τόν*.

Καὶ πνεῦμα καὶ πῦρ ἐξυγοστάτησέ μοι,
Ὃς τῶν ὑδάτων τὴν φύσιν συνήγαγεν,
Ὃς οἶδε μετρεῖν τοὺς τοσούτους ἀστέρας,
Ὃς τήνδε τὴν γῆν καὶ κλονεῖ καὶ πηγνύει,
Ὃς κρίνα κοσμεῖ καὶ χλοάζουσαν πόαν,
Ὃς δημιουργεῖ καὶ ψυχῶν ζωσῶν γένη·
Καὶ γὰρ κατοῦχον[1] τὸν γενάρχην δεικνύει,
Ψυχὴν λογικὴν ἐκφυτεύσας[2] τῇ πλάσει·
Ὃς τῆς Ἐδὲμ τὸν κῆπον εἰργάσατό μοι,
Καὶ τῆς τιμῆς τὸν ὄγκον ἐγνώρισέ μοι,
Καὶ τοῦ ξύλου τὴν γεῦσιν ἀπείρηκέ μοι·
Ὃς τὴν πονηρὰν τῆς προμήτορος πλάνην
Εὐσπλαγχνίας κρίμασιν ἀῤῥήτοις λύει,
Διδοὺς τὸν υἱὸν ἀντὶ λύτρου τῇ κτίσει,
Ἐξ ἁγίου Πνεύματος ὠργανωμένον
Καὶ παρθενικῶν, ἄτερ ἀνδρὸς, αἱμάτων
Εἰς τὴν ἀληθῆ σάρκα τῆς μετουσίας,
Καὶ πλὴν τρίτης[3] τηροῦντα τὴν πρώτην φύσιν·
Τοῦ σοῦ κατειπεῖν οὐκ ἐτόλμησα κράτους·
Οὐ μὰ τὸ φῶς ἐκεῖνο τῆς ἀφθαρσίας·
Εὐνούστατον δὲ καὶ διάπυρον[4] πόθον,
Ὡς οἰκέτης ἄμεμπτος, εἰσήνεγκά σοι
Καὶ γλῶσσαν αὐτὴν καὶ γραφὰς ἡμετέρας,
Ὡς ἂν διελθεῖν[5] πανταχοῦ γῆς ἰσχύσῃς
Ταῖς τοῦ λόγου πτέρυξιν τὸν πάντα χρόνον,
Καὶ γνῷ τὸ μέλλον ἅπαν ἀνθρώπων γένος,
Ὁποῖον εἶδεν Αὐσονάρχην ἥλιος.

[1] Fort. Καὶ γῆς κληροῦχον vel ταμιοῦχον Wernsd. Leg. ταγοῦχον.
[2] Leg. ἐμφυτεύσας.
[3] Fort. τροπῆς Wernsd.
[4] Cod. διὰ πυρῶν Wernsd.
[5] διελθεῖν πανταχοῦ W.

XXXIV[1]. Εἰς ἐγκόλπιον τοῦ σταυροῦ. Ἐμμανουήλου τοῦ Φιλῆ.

Ἐν αἰχμαλωσίᾳ σε τὸν φύλακά μου
Ῥύστην πάλιν εὕροιμι καὶ φρουρὸν μέγαν.
Χριστὸς γὰρ αὐτὸς χεῖρας ἐν σοὶ τανύσας
Τὴν τῶν ψυχῶν ἔλυσεν[2] αἰχμαλωσίαν.

XXXV[3]. Εἰς[4] τὸν ἅγιον Ἰωάννην τὸν Χρυσόστομον.

Νῦν μὲν σιωπᾷς ὑπὸ τῆς ἀσιτίας·
Ἀεὶ δὲ λαλεῖς ἀπὸ τῶν βίβλων, μάκαρ.
Ἡ γὰρ χάρις πόῤῥωθεν ἐστόμωσέ σε,
Κώδωνα χαλκεύσασα λαμπρὸν τῇ κτίσει.

XXXV[5]. A. Τοῦ αὐτοῦ.

Ἡ[6] σὴ κεφαλὴ ζῶσα μὲν τέως, μάκαρ,
Πηγὰς λογικὰς τοῖς βροτοῖς ἀνεστόμει.
Νυνὶ δὲ πιστοῖς ἐξ ἐνίκμων ὀστέων
Τεραστίων θάλασσαν ἡδίστην χέει.

XXXVI[7]. Εἰς εἰκόνα τῆς Πηγῆς.

Ζωῆς ἐγὼ βλέπων[8] σε πηγὴν, παρθένε,
Πᾶσαν φλόγα σβεννύεις[9] παντὸς κινδύνου.
Σὺ γὰρ ἀναψύχεις με τοῖς τεραστίοις
Ἀφθαρσίας φέρουσα τοῖς κόλποις φλέβα.

XXXVII[10]. Εἰς τὸν Ἀβραὰμ ξενίζοντα τὴν ἁγίαν τριάδα.

Τί ταῦτα ποιεῖς; βουθυτεῖς, Ἀβρὰμ γέρον;

[1] Ed. Wernsd. pag. 306.
[2] ἔλυσσεν ed. corrigit ἔλυσεν.
[3] Wernsd. *loc. cit.*
[4] In cod. Mon. sine τὸν ἅγ. Ἰωάννην.
[5] Wernsd. p. 308.
[6] Cod. Flor. fol. 207 r°, qui omittit ἡ.
[7] Ed. Wernsd. pag. 308.
[8] Fort. βλέπω Wernsd.
[9] Fort. σβεννύειν Wernsd. Imo leg. σβέννυε aut σβεννῦσα.
[10] Cod. Vatic. 1126, fol. 151 v°, et Wernsd. p. 310. Sub nomine Theod.

Οὔκ· ἀλλὰ δεῖπνον καὶ τράπεζαν ἀρτύω.
Ὁ δαιτυμὼν τίς, ᾧ τὸ δεῖπνον ἀρτύεις;
Ἡ τριὰς αὕτη. Καὶ Θεὸς βοῦν ἐσθίει;
Οὐ γὰρ ἐρευνῶ τοὺς ἀποῤῥήτους λόγους.
Ὡς ὑπέρευγε τοῦ Φιλοξένου βίου·
Καρπὸν γὰρ ἀμφοῖν, καρπὸν ὀσφύος θύεις[1].

XXXVIII[2]. Preces ad Spiritum Sanctum.

Τὸ Πνεῦμα τὸ ζῶν, ἡ θεόδροσος χύσις,
Ἡ καινοποιὸς καὶ παράκλητος χάρις,
Τὸ ζωτικὸν φῶς, ἡ πνοὴ τῶν ἀγγέλων,
Ἡ τῶν ἀγαθῶν ἄφθονος χορηγία,
Τὸ δημιουργὸν τῶνδε τῶν ὁρωμένων
Καὶ συστατικὸν τῶν ἀφανῶν κτισμάτων,
Ἡ πάνσοφος δύναμις, ἡ καινὴ δόσις,
Τὸ τῶν ἐπιστημῶν τε καὶ τεχνῶν κράτος,
Ἐν ᾧ πνέω, ζῶ, φθέγγομαι, χαίρω, γράφω,
Μένοις μεθ' ἡμῶν πανταχοῦ πάντα χρόνον.

XXXIX[3]. Τοῦ Φιλῆ εἰς τὸν Παχυμέρη ἐπιτάφιος.

Ἄλλον μὲν ἄνδρα ζωγραφεῖν ἴσως θέλων,

Prodromi denuo edidit Dutheil. *Not. mss.* tom. VIII, p. 193, ex cod. Vatic. 505. Boisson. *Anecd. gr.* t. III, p. 8: «Ignoravit Dutheilius sex primos ejus epigrammatis fuisse olim, a. videlicet 1611, editos in libello rarissimo a Fed. Morello.»

[1] W. reponit κύεις. Dutheil. φέρει, adscripto *sic*. Boisson. corrigit φέρῃ.

[2] Wernsd. *loc. cit.* qui in notis: «Vulgavit hoc carmen Jo. Bapt. Cotelerius, *Mon. Eccles. gr.* tom. III, pag. 520, ex eoque repetiit Fabricius, *Biblioth. gr.* t. VII, pag. 711, omissa tamen, quam Cotelerius apposuerat, latina interpretatione. Memorat idem Caveus, p. 655, et principium simul carminis: Τὸ ἅγιον καὶ ζωοποιὸν Πνεῦμα. Quod tamen principium, credo, quod festinans Caveus erravit, vehementer differt ab edito versu primo, aut potius non principium carminis, sed inscriptio fuit: Εἰς τὸ ἅγιον κ. ζ. Π.»

[3] Ediderunt Leo Allatius in *Diatribe*

Καὶ τῷ θεατῇ γειτνιῶντι δεικνύειν
Ἐκεῖνον αὐτὸν ἐν σορῷ[1] κεκρυμμένον,
Συνηγόρους ἂν εἶχον εὐθὺς τοὺς λόγους,
Ὡς καὶ πνοῆς[2] κιρνῶντας ἰσχὺν τοῖς τύποις·
Ἐπεὶ δὲ σοῦ[3] θανόντος, ὦ διδάσκαλε,
Δοκοῦσι νεκραὶ τῶν λόγων αἱ χάριτες,
Δέδοικα μὴ δύσφραστον εἰσοίσω[4] κρότον
Ἀνδρὶ σοφιστῇ καὶ παθῶν ἐλευθέρῳ.
Πλὴν εἰ[5] περιὼν ἐξ ἀτύφου καρδίας
Καὶ τῶν ἀμαθῶν ταῖς γραφαῖς ἐπεκρότεις,
Ὡς ἂν ἔχοι[6] πρόθυμον ἡ φύσις δρόμον,
Νῦν τάφον οἰκῶν καὶ σιγῆς λίθον στέγων,
Καὶ βιβλίων ἔρημον εὑρὼν πυθμένα,
Πῶς ἂν παρ' οὐδὲν τοὺς ἐμοὺς ἄγοις[7] λόγους,
Καὶ ταῦτα μικροῦ[8] στὴν τελευτῶντας χάριν;
Ἀλλ', ὦ πόλεις[9], πενθεῖτε[10] κοινῇ τοὺς νόμους.
Ὁ γὰρ παρ' ἡμῖν[11] εὐσεβὴς Δημοσθένης
Τῆς ῥητορικῆς οὐ σκαλεύει τὴν φλόγα.
Μὴ[12] χερσὸς ὀφθεὶς τῶν δικαστῶν ὁ θρόνος

de Georgiis, p. 373; Fabricius, *Bibl. gr.* t. X, p. 718 (ed. 1721); Wernsd. p. 314, et v. cl. Boisson. in *Pachymer. Declam.* pag. 253, cum varietate codd. Paris. 1772 et 1931, notatis A et B. Habent codd. Escur. II, x, 17 (vid. *Catal. Escur.* p. 393), Florent. 201, v. et Monac. fol. 91. Nunc repeto ex edit. et notis v. cl. Boissonadii.

[1] Editt. σοφῷ. Wernsd. conjecit σορῷ, quod exhibent codices.

[2] πνοήν Wernsd. qui corrigit πνοῆς.

[3] Edd. δέ σου. Codex Escur. ἐπεὶ δή σου.

[4] ἰσοὶ σωκρότον cod. Escur.

[5] ὡς pro εἰ cod. A.

[6] Edd. ἔχει. Wernsd. recte corrigebat ἔχοι.

[7] Edd. et B ἄγεις. Wernsd. proponebat ἄγοις.

[8] Edd. μικροῦ συντελευτῶντας.

[9] A πόλις.

[10] πένθεις τε cod. Escur.

[11] Edd. ὑμῖν.

[12] Wernsd. μὴ reddens latina negatione *non*, quum non inveniret sententiam quæ recte procederet, proponit legendum καί. Cf. Boiss.

Ἔγκεντρον[1] ἐνδίδωσι[2] λημμάτων βάτον;
Ὅμηρε, πῶς τοσοῦτον ἠρεμεῖς χρόνον,
Ἰλιάδα γράφειν σε δευτέραν δέον
Καὶ τὴν παλαιὰν δυσπραγοῦσαν δακρύειν;
Εἰ μὴ γὰρ ἦν[3] ἐκεῖνος ἐν διδασκάλοις
Ὁ νῦν σιωπῶν καὶ καθεύδων ἐν τάφῳ,
Τίς ἂν τὸ βαθὺ τῆς πλοκῆς λύσας νέφος
Ἀνῆκε λαμπρὰν τῆς γραφῆς[4] τὴν αἰθρίαν;
Νῦν καὶ σὺ νῦν τέθνηκας, ὦ γέρων[5] Πλάτων·
Οὐ γὰρ μετεμψύχωσις, οὐδὲ Σωκράτης,
Γλώττης δὲ ταυτότης σε καὶ τέχνης κράτος
Ἔμπνουν[6] καθαρῶς ὠργάνουν τῷ κειμένῳ.
Ἀριστότελες, ἆρα[7] κομπάζεις ἔτι;
Καὶ μὴν κρυβῆναι δεῖ σε καὶ σιγὴν ἄγειν,
Κλείσαντα[8] σαυτοῦ δυστυχῶς τὰ βιβλία.
Ὁ γὰρ κατὰ[9] σὲ τεχνικὸς διδάσκαλος
Ἄριστον ἐκτήσατο καὶ φίλον τέλος
Ἀναλυτικῶς ἐκδοθεὶς τοῖς πατράσι[10].
Ῥώμη νέα, στέναζε καὶ θρήνους πλέκε·
Τῶν γὰρ λόγων ὁ κόσμος εἰς γῆν ἐκρύβη.
Πλὴν εἰ πάλιν αἴσθησιν εἰς λόγους ἔχεις[11],
Παχυμέρη, πρόελθε, καὶ λογογράφει,

[1] Proponit W. ἐγκέντρων. Male.

[2] ἐκδίδωσιν cod. Escur.

[3] ἦς cod. Escur.

[4] Proponit τῇ γραφῇ Wernsd. Sine necessitate.

[5] «Placeret quidem magis ὦ γέρον. In A esse videtur γηρῶν, quod recipi potuisset, si fuissem de scriptura certior.» Boiss.

[6] Wernsd. conjicit σύμπνουν, probante Boiss.

[7] Codd. ἄρα.

[8] Edd. κλύσαντα. Wernsd. legebat κλείσαντα, quod exhibent codices.

[9] κατὰ om. cod. Escur.

[10] Edd. πατράσιν.

[11] Edd. ἔχοις, quod recte correxit Wernsd.

Καὶ τοὺς τὰ μαθήματα συνθέντας[1] νίκα,
Καινὰς ἐπ' αὐτοῖς ἐκδιδάσκων εὑρέσεις.
Ἵνα δὲ τὰ πρέποντα συλλήβδην φράσω,
Ὁ σύλλογος πᾶς τῶν σοφῶν[2] κόπτεσθέ μοι.
Ἡ γὰρ κιβωτὸς τῶν καθ' ὑμᾶς[3] βιβλίων
Εἰς τὴν κιβωτὸν τῆς φθορᾶς ἀνετράπη.
Δικαιοφύλαξ, εἰ μέτεστί σοι πάλιν
Θεσμῶν φυλακῆς[4] καὶ βραβεύεις ταῖς δίκαις,
Θέσπιζε, δογμάτιζε, τὰς στάσεις λύε,
Τὴν ἀπροσωπόληπτον ἐξάγων κρίσιν·
Ζῆλος γὰρ[5] ὁ πρὶν οὐ συναπέθανέ σοι.
Ἆρ' οὐχὶ καὶ ζῶν τὴν τελευτὴν ἐσκόπεις,
Καὶ τόνδε καλῶς ἐτραγῴδεις τὸν βίον;
Ὦ[6] κύκνε λευκὲ τῇ πτερώσει[7] τοῦ χρόνου,
Ἐκεῖνο τοῦτο καὶ τοσούτων φεῦ! πόνων
Τὸν τοῦ τέλους τρίπηχυν ἀνθεῖλου τάφον.
Ὦ γλῶσσα δεινὴ, καὶ γραφῶν θείων[8] στόμα,
Καὶ νοῦ καθαρὲ[9], ποῦ ποτ' ἐκρύβης; λέγε.
«Ἰδὼν ἔγωγε» φησὶ, «τὸν θνητὸν βίον[10]
Ὡς ἔστιν οὐδὲν ἢ σκιᾶς ἴνδαλμά[11] τι
Καὶ φάσμα ῥευστὸν[12] εἰς μετάρσεις[13] Εὐρίπου,
Καὶ πομφόλυξ καὶ τέφρα καὶ κάπνου χύσις[14],

[1] A *συνθέτας*. Cod. Escur. *συνθητάς*.

[2] A *σοφιστῶν κοπτέσθω*.

[3] Edd. *ἡμᾶς*.

[4] Edd. *φυλακή*. Cod. Escur. *φυλακαί*. B *φυλακαὶ καὶ βραβεύσεις*.

[5] *γὰρ* om. cod. Escur.

[6] Wernsd. et Boiss. *ὡς* pro *ὦ*, fort. errore typographi.

[7] Edd. *τῷ πρεπώδει*.

[8] Edd. *θεῖον*. Cod. Escur. *θεῶν*.

[9] *ποῦ καθαρέ ποτε* cod. Esc. versus extrema parte omissa.

[10] «Ante vers. 61 lemma in A : *ἡ ἐκ τάφου ἀπόκρισις*. A *ἔγωγέ φησι*. Statim fortasse *τὸν θνητῶν βίον*.» Boiss.

[11] *ἤδα* (*sic*) cod. Escur.

[12] *ῥευτὸν* cod. Escur.

[13] «Edd. *ἐν μετάρσει*. Sequor codices. Fort. *ὡς μ.*» Boiss.

[14] *χύσαν* cod. Escur.

Ἢ παικτὸς[1] ἀστράγαλος ἐν μειρακίοις,
Ἢ κύβος[2] ἑστὼς εἰς ἀσύστατον βάσιν[3],
Παρῆλθον εἰς τὸν δεῦρο τῆς ταφῆς τόπον,
Ἀναμένων σάλπιγγος ἐσχάτης κτύπον[4],
Ὑφ' ἧς ἐπαρθεὶς εἰς συνάντησιν φθάσω
Τοῦ τὴν φύσιν κρινοῦντος ἐνδίκως Λόγου[5].
Τὸ γοῦν ἀφιλόκομπον ἐνθάδε γράφων,
Σίγα τὰ σεμνὰ τοῦ γένους ἀθύρματα·
Ἡ γὰρ ταπεινὴ καὶ πατουμένη κόνις,
Κἂν ἐκριπισθῇ καὶ πρὸς αἰθέρα δράμῃ[6],
Ἀλλ' οὖν πάλιν κάτεισιν εἰς γῆν[7] ὡς κόνις,
Ὅταν ὁ κλωστὴρ τῆς πνοῆς[8] παραδράμῃ.
Βίβλοι δὲ πᾶσαι, καὶ λόγοι[9] καὶ σχήματα,
Καὶ συλλογισμοὶ καὶ προτάσεις[10] καὶ στάσεις,
Ὡς οὐδὲν ἐῤῥέτωσαν[11], ὡς ὄναρ μόνον.
Ἡ γὰρ τελευτὴ συμπεραίνει[12] τὸν βίον
Εἰς τὴν ἀναπόδεικτον εὐετηρίαν.
Σὺ δ' ἀλλά[13] μοι θαύμαζε τῶν ἄλλων πλέον
Αὐθαίρετον πενίαν, ἦθος μέτριον,
Βίου τε παντὸς ἐμμελῆ μουσουργίαν,
Καὶ τῆς ψυχῆς τὸν φθόγγον, εἰ βούλει, ξένε[14],
Δι' οὗ τὰ δεινὰ τῶν παθῶν ἦγον[15] θράση

[1] πεκτὸς cod. Escur.

[2] Pro κύβος Boiss. proponit κύκλος. Cod. Escur. κύβος ἱστώς.

[3] A ἀσύστατον βίον.

[4] τύπον cod. Escur.

[5] Edd. κτίσιν κρ. ἐνδίκῳ λόγῳ.

[6] A δράμηοι, adunatis binis lectionibus, δράμῃ et δράμοι.

[7] Edd. κάτεισιν οἷαπερ κόνις.

[8] Edd. ζώης.

[9] καὶ λογικὰ σχήμ. cod. Escur.

[10] προστάσεις cod. Escur.

[11] ἐρέτωσαν cod. Escur.

[12] συμπεραίνειν cod. Escur.

[13] Edd. σὺ δ' ἀλλὰ μὴ θ. A σὺ δ' ἀλλά μοι. Wernsd. conjecit σὺ δ' ἄλλα μοι.

[14] Conjecit Wernsd. ξένον.

[15] Edd. ἦγε. Conjecit Wernsd. ἦχα aut ἦξα ab ἄγνυμι seu ἄγω, frango. Male : est «ducebant captiva.»

Λύρας μουσικῆς[1] ἐκμιμούμενος τόνους ».
Ὡς[2] εὖγέ σοι γένοιτο καὶ τῶν νῦν λόγων
Τῷ μυσ7αγωγῷ τῶν σοφῶν παιδευμάτων.
Οὐ γὰρ σιωπᾷς[3], ἀλλὰ κἀνταῦθα πλέον
Τῆς ἀρετῆς τὸ χρῆμα δεικνύεις ὅσον·
Ὥσ7ε σχεδὸν ζῇς, καὶ δοκεῖς τι συγγράφειν,
Οἰκῶν, σοφισ7ὰ, τὴν σ7οὰν τὴν ἐσχάτην
Καὶ τὴν περισπούδασ7ον ἀποδημίαν[4],
Ἢ τὴν πρὶν Ἀθήνησιν ἀκαδημίαν.
Ἐγὼ δὲ νῦν, μάλισ7α νῦν μαθὼν[5] ἔχω
Ὅτι δίκαιος, ἂν τελευτῆσαι φθάσῃ,
Ἔσ7αι πρὸς ἀνάπαυσιν, ὃ Γραφὴ[6] λέγει,
Καὶ ζῇ καθαρὸν καὶ παθῶν ξένον βίον,
Εἰς φῶς μετελθὼν εὐτυχῶς ἐξ ἑσπέρας.

XL[7]. Στίχοι τοῦ Φιλῆ γραφέντες ἐν τῷ ναῷ τοῦ σωτῆρος Χρισ7οῦ καὶ Θεοῦ ἡμῶν τοῦ Εὐεργέτου.

Θεὸς μεθ' ἡμῶν οὐρανοὺς τάχα κλίνας,
Πλὴν οὐκ ἐπὶ γῆς ἀλλ' ἐφ' ὕψους ἠρμένος,
Τὴν συναγωγὴν εὐλογεῖ τῶν ἀζύγων·
Καὶ δείκνυται σὰρξ εὐπαθὴς μὴ κομπάσας,
Ὡς ἂν ἐπ' αὐτὸν μυσ7ικῶς ἀναδράμῃς[8]

[1] μυθικῆς cod. Escur.

[2] Ante hunc versum lemma : ἐπίλογος βραχύς.

[3] σιωπᾶν cod. Escur.

[4] A ἀποδημίαν, et ferme ἀσποδ. «Ex B nihil habeo enotatum, ut crediderim, et ibi esse ἀποδ. Quum statim nominet Philes τὴν Ἀθήνησιν ἀκαδημίαν, non vero simile et hic nomen repeti. Ferme suspicor versum periisse. » Boiss.

[5] Edd. ἔγωγε δὲ μάλισ7α νῦν. A ἐγὼ δὲ νῦν μάλισ7α μαθ.

[6] Allat. γραφῇ. Alludit ad Hebr. IV, 3, et Is. LVII, 1; et v. 100 ad Ephes. V, 8.

[7] Post Ducang. in *Cp. Christ.* lib. IV, p. 79, edidit Wernsd. p. 336. Habet et cod. Paris. 1630, fol. 148 r°.

[8] ἀναδράμῃ Wernsd. qui recte in not. ἀναδράμῃς.

Καὶ μὴ φύγῃς, ἄνθρωπε, τὴν σωτηρίαν.
Ἐξίσlαται δ' οὖν ὁ σlρατὸς τῶν ἀγγέλων,
Ὁρᾶν πρὸς αὐτὸν, ὡς ὁρᾷς, οὐκ ἰσχύων.
Εἰ δ' οὐχὶ [1] καὶ προὔκυπlεν [2] αὐτὸς ὑψόθεν
Δεικνὺς ἑαυτὸν, ὡς δοκεῖ, τῷ [3] βιβλίῳ,
Πῶς ἂν ἐσίγα ταῦτα μικροῦ τὰ σlίφη,
Οἷς καὶ πνοῆς δύναμιν ἡ τέχνη γράφει;

XL. a. Ἕτερον.

Νύμφην [4] ὁρῶν ἐνταῦθα τὴν ἐκκλησίαν [5]
Σκόπει, θεατὰ, καὶ τὸν ὕψου νυμφίον,
Ὃν ἄσlρα μικροῦ [6] καὶ πολύχρωμος πόλος
Καὶ δυνάμεις κυκλοῦσι καὶ τἄλλα σlίφη·
Θεὸς γάρ ἐσlι καὶ προκύπlει καὶ βλέπει,
Τοῦ τῶν μονασlῶν ἀκροώμενος μέλους [7]·
Ὦ [8] τῆς νοητῆς ἐκταθείσης πασlάδος
Ὡς ἀντίπαις [9] ἔλαμψεν ἡ σωτηρία.
Πλὴν πάντα καινὰ καὶ σχεδὸν ζῶντες [10] τύποι
Φρίτlουσι τὴν ὀφθεῖσαν ἐξ ὕψους χάριν.
Μὴ κατὰ μικρὸν γειτνιῶν ὁ δεσπότης
Ἡμᾶς πάλιν κάτωθεν ἑλκύσαι θέλει;

[1] Wernsd. in not. οὗτος, contra metrum.

[2] προὐκύπlει Wernsd. qui προκύπlει corrigebat.

[3] τῷ omittit Wernsd. qui legebat ἐν σαρκίῳ, ἐν βιβλίῳ, ἐν κυκλίῳ aut ἐγκύκλιον.

[4] νυμφὸν Wernsd. qui in notis: Fort. νυμφῶν.

[5] τῆς ἐκκλησίας ed. qui recte corrigebat τὴν ἐκκλησίαν.

[6] μικρὸν ed.

[7] Τοῦ — μέλος W. qui legebat τό.

[8] Wernsd. in notis ὧν.

[9] ἐντυπὰς aut ἀντιπροὶξ Wernsd. in notis.

[10] σχὲ εὐζῶντες Wernsd. qui recte legebat σχεδὸν ζῶντες.

XLI[1]. Τοῦ Φιλῆ.

Ὁ μὲν χορηγὸς τῶν θείων χαρισμάτων
Δίδωσιν ἡμῖν τὴν κάτω σκηπτουχίαν
Εἰκόνα λαμπρὰν τῆς αὐτοῦ βασιλείας,
Ἢ μᾶλλον εἰπεῖν ἀμυδρὰς τὰς ἐμφάσεις
Δείκνυσι σαφῶς ἀγαθῶν τῶν μελλόντων.
Ὁ γὰρ ἐν ἡμῖν εὐσεβὴς στεφηφόρος
Θεοῦ τις εἰκὼν, εἰ σπουδάζει τοὺς τύπους
Ἔργοις βεβαιοῦν ἀρεταῖς[2] ἐστεμμένος,
Ἀμείβεται δὲ [πάλιν] δωρεαῖς τοὺς ἀρίστους
Τιμαῖς ὑπεξαίρων τε σταθμῶν[3] καὶ μέτροις,
Καὶ βασιλικῶς[4] ἀνυψοῖ τοὺς ἐν τέλει,
Οὓς τῷ λόγῳ δίδωμι συγγράφειν τέως,
Ὡς ἂν ὁ βυθὸς μὴ καλύψῃ τῆς λήθης
Ἃ βασιλικὴ κεκύρωκεν ἡ κρίσις,
Χρόνος τε[5] μακρὸς ἐπρέσβευσεν[6] ἐς δεῦρο.
Μετὰ τὸν αὐτάνακτα δεσπότης ἔστι
Βασιλείῳ[7] κλήσει τε τετιμημένος
Καὶ τῇ κεφαλῇ χρυσερυθρᾷ[8] καλύπτρᾳ,
Μετὰ μαργάρων λαμπρῶς κεκοσμημένῃ,
Τοὺς δέ γε πόδας ὀξυλεύκοις πεδίλοις[9]
Σὺν ἐφεστρίσι καὶ χαλινοῖς ὁμοίως.
Δεύτερον ἀξίωμα σεβαστοκράτωρ,

[1] Edit. in notis ad Codin. *De offic.* pag. 215 ed. Bonn. ex cod. Mazarin. cum lemmate Ἀδέσποτον. Habet et cod. Paris. 2991 A, fol. 422 v°, sub nomine Philæ, cujus non est.

[2] Ed. ἀρετῶν.

[3] Cod. σταθμοῖς.

[4] Ed. βασιλικῶν.

[5] χρόνος ὁ μακρὸς codex 2991 A. Male.

[6] Ed. ἀπέσβησεν εἰς δεῦρο.

[7] Versus 17-21 desunt in editione.

[8] χρυσεθρᾷ cod.

[9] πεδήλοις et χαληνοῖς cod.

Καὶ καῖσαρ εὐθὺς ὑποβάθρα τοῦ κράτους
Τοῖς[1] βενέτοις χρώμασι πεποικιλμένη
Καὶ ταῖς κεφαλαῖς χρυσερυθραῖς καλύπτραις
Σὺν ἐφεστρίσι καὶ χαλινοῖς[2] ὁμοίως·
Πλὴν τοῖς ἀετοῖς πλέον σεβαστοκράτωρ,
Ὁ πανυπερσέβαστος συγκλήτου πρῶτος,
Πρωτοβεστιάριος λαμπρὸς ἀξίαν,
Οὗτοι καὶ τοῖς σχήμασι καὶ τοῖς πεδίλοις
Τὴν πρώτην ἐσχήκασιν ἐν τέλει τάξιν.
Ὁ μὲν γὰρ κηροῖς[3], ὁ δὲ πρασίνοις χρῆται
Καὶ ταῖς κεφαλαῖς χρυσερυθραῖς καλύπτραις.
Ὁ μέγας δὲ[4] δοὺξ μετ' αὐτοὺς ἀνεδείχθη.
Τούτου[5] κοινωνὸς δομέστικος ὁ μέγας,
Καὶ τρίτος αὐτοῖς πρωτοστράτωρ ἀξίαν,
Λογοθετῶν[6] μέγιστος, σοφίας γέρας·
Στρατοπεδάρχης ὁ μέγας ἐπὶ τούτοις.
Τούτων ἐρυθραῖς ἐκ χρυσοῦ ταῖς καλύπτραις
Ὅρα[7] κεφαλὰς ἀεὶ κεκοσμημένας·
Ὅρα πριμμικήριον, φιλότης, μέγαν,
Πεντάδος ἡγούμενον λαμπρῶς[8] δευτέρας,
Δεύτερον μέγαν κονοσταῦλον[9] ἀξίαν,
Τρίτον σεβαστῶν[10] τὸν πρῶτον· ἐπὶ τούτοις
Κοσμεῖται[11] λαμπρῶς ὁ πιγκέρνης τὴν τάξιν,
Καὶ[12] παρακοιμώμενος σφενδόνης πέμπτος,

[1] Vers. 24-27, 32 et 33 om. ed.
[2] Cod. χαληνοῖς.
[3] Fort. κιῤῥοῖς.
[4] Addidi δέ.
[5] τούτῳ κ. ὁ δομ. ὁ μεγ. cod.
[6] λογοθέτης ed.
[7] Ed. ὁρᾷς.
[8] ἰδοὺ τῆς τρίτης pro λαμπρῶς δευτέρας cod. 2991 A.
[9] Ed. κονεσταῦλον.
[10] Ed. σεβαστόν.
[11] κοσμεῖ τε ed.
[12] Καὶ male omittit ed. contra metrum.

Καὶ[1] παρακοιμώμενος ἄλλος κοιτῶνος.
Ὁ μέγας βαΐουλος ἕπεται τούτῳ,
Τρίτην τε πληροῖ τάξιν κουροπαλάτης.
Εἰσέρχεται δὲ βεστιαρίτης πρῶτος
Εἰς οἶκον βασίλειον[2], ὡς ἔθος, πράξων,
Δομέστικος δεύτερος ὁ τῆς τραπέζης,
Ἄλλος ἐπ' αὐτῆς[3] μετ' αὐτὸν τεταγμένος.
Καὶ τὸν γενικοῦ[4] λογοθέτην εἰσόρα,
Εἶτα παπίαν[5] εἰσίοντα τὸν μέγαν[6],
Σὺν τούτοις τὸν ἔπαρχον, καλύπτρα ξένη[7]·
Ἕβδομος δρουγγάριος[8] τῆς βίγλας μέγας,
Καὶ δὴ μετ' αὐτὸν ἑταιρειάρχης μέγας.
Ὁ λογοθέτης[9] μετ' αὐτὸν τοῖς τοῦ δρόμου,
Εἶτα χαρτουλάριος[10] ἀξίαν μέγας,
Εἶτα μετ' αὐτὸν μυστικὸς ἐπεισίτω,
Καὶ[11] βασιλικὸς πρώτιστος τοῦ σεκρέτου.
Ὅρα καὶ στρατοῦ τὸν καλὸν ἐπιστάτην,
Καὶ[12] τῶν πλωΐμων δρουγγάριον τὸν μέγαν.
Ἰδοὺ καὶ σχολῶν ὁ δομέστικος ἥξει,
Καὶ τὸν τῆς αὐλῆς πριμμικήριον ὅρα.
Καὶ πρωτοσπαθάριος λαμπρῶς[13] εἰσίτω,
Ἄρχων τε μέγας καὶ τζαούσιος μέγας,
Δήμου τε πραίτωρ, ὁ τατᾶς[14] τῆς αὐλῆς τε.

[1] Ed. ὁ pro καί.
[2] Ed. βασιλέως.
[3] Cod. ὑπ' αὐτῆς.
[4] Ed. γενικόν.
[5] Ed. παππίαν.
[6] Cod. μέγα.
[7] Fort. καλύπτρᾳ ξένῃ.
[8] Cod. δρουγκάριος.
[9] Ed. ὁ λογοθετῶν. Cod. ὁ λογοθέτης σὺν αὐτῷ.
[10] Cod. χαρτουλλάριος.
[11] καὶ omis. in ed.
[12] Ed. omittit καί.
[13] Ed. λαμπρός.
[14] Ed. ὁ ταττῆς. Codex ὁ τατᾶς τῆς αὐλῆς.

Τῶν[1] οἰκειακῶν λογοθέτης ἐρχέσθω[2],
Καὶ τῶν λογιστῶν[3] ὁ μέγας συνεισίτω.
Ὅρα καὶ σκουτέριον[4] ἐκ τῆς ἀσπίδος
Τῆς βασιλικῆς λαχόντα τὴν ἀξίαν.
Πρῶτος μετ' αὐτὸν τῶν κυνηγῶν ἐκρίθη.
Ἀλὸς ἀμυρᾶς[5] ναυαρχῶν ἀνεδείχθη.
Ἰδοὺ βασιλεῖ τὰς δεήσεις ϖροσφέρει[6]
Λαχὼν[7] τὴν τιμὴν ἐκ τῶν ἔργων ϖρεπόντως.
Ἀδνουμιαστὴς ὁ μέγας μοι χαιρέτω.
Τούτῳ ϖαρεπόμενος οὕτω κοιαίστωρ,
Καισάρων ἀξίωμα λαμπρῶν τῶν ϖάλαι.
Λογοθέτην ὅρα μοι κἀν στρατιώταις,
Ἐξ ἱεράκων ὁ ϖρῶτος τὴν ἀξίαν.
Ὁ βήλου κριτὴς μετ' αὐτοὺς ἐκυρώθη.
Διερμηνευτῶν ὁ μέγας ϖροηγείσθω,
Καὶ τῶν ἀγελῶν λογοθέτης εἰσίτω.
Καὶ τούτοις ἀκόλουθος σεμνῶς[8] ἑπέσθω,
Καὶ τῶν ὀρφανῶν ὁ τροφεὺς συνεισίτω,
Καὶ βασιλικῶν ὁ νοταρίων ϖρῶτος,
Φοσσάτου[9] κριτὴς ἐξετάζων τὰς δίκας.
Καὶ δὴ μετ' αὐτὸν ἀναμνήσεις ϖροσάγει
Σεμνῶς βασιλεῖ κεκλημένος ἐκεῖθεν.
Ἰδοὺ καὶ δομέστικον τειχέων σκόπει.
Πρωταλλαγάτωρ δεύτερος τὴν ἀξίαν,
Εἶτα τετάχθω βεστιαρίου τρίτος.
Μονοκαβάλλων στρατοπεδάρχης οὗτος,

[1] Ed. ὁ τῶν οἰκει. Cod. ὁ οἰκ.
[2] Ed. ἐρχέτω.
[3] Ed. λόγων (λογιστῶν?).
[4] Ed. σκουτάριον.
[5] Cod. ἀλμυρᾶς.
[6] Cod. ϖροσφέρειν.
[7] Ed. λαλῶν.
[8] Ed. σεμνός.
[9] Ed. φουσάτου. Cod. φοσάτου. Cf. Ducang. *s. v.* Κριτής.

Ἄλλος μουρτάτων, τζαγγρατόρων[1], τζακόνων[2].
Ὅρα προκαθήμενον τὸν τοῦ κοιτῶνος,
Ἄλλον προκαθήμενον βεστιαρίου.
Τούτῳ τῆς αὐλῆς ὁ λογιστὴς ἑπέσθω,
Καὶ διοικητὴς ὁ μέγας συντετάχθω.
Ὁ τῶν Βλαχερνῶν προκαθήμενος οὗτος,
Ἄλλος πρὸ αὐτοῦ μεγάλου παλατίου.
Ὁ τῶν ἑῴων δομέστικος θεμάτων.
Τούτῳ δυτικῶν ὁμότιμος ἐκρίθη.
Ὁ πρωτοκόμης, καὶ μετ' αὐτὸν παπίας[3],
Ἑταιρειάρχης, τῶν ἀλλαγίων ἄρχων,
Ὁ μυρταΐτης ὁ μέγας ἐπὶ τούτοις,
Καὶ δὴ σεβαστὸς καὶ δρουγγάριος[4] στόλου.
Κἀν τοῖς ἰατροῖς Ἀκτουάριον[5] ὅρα.
Ὕπατοι, δικτάτωρες[6], σὺν τοῖς ταμίαις,
Πατρίκιοι, μάγιστροι, πρόεδροι, πάλαι
Δορυφόρων ἔπαρχοι[7] καὶ πραιτωρίων.
Ἔγνωμεν[8] λαμπρὸν τὸν Χοῦμνον κανικλείου,
Στάσιν ἔχοντα μείζονα τῆς προτέρας,
Καὶ δὴ μετ' αὐτὸν τὸν καλὸν Μετοχίτην
Λογοθετῶν[9] μέγιστον, σοφίας λῆξιν,
Φοροῦντα χρυσῆν ἐρυθρὰν τὴν καλύπτραν,
Ἣν[10] δῶρον αὐτῷ συνανέχοντι κράτος
Ἄναξ ὁ λαμπρὸς Ἀνδρόνικος παρέσχε[11].

[1] Cod. τζαγρατόρων.
[2] Ed. τζακώνων.
[3] Ed. παππίας.
[4] Cod. δρουγκάριος.
[5] Ed. ἀκτουάριον.
[6] Cod. δικτάτορες.
[7] Ed. ἔπαρχος.
[8] Versus 113-124 edidit v. cl. Boiss. in *Pachymer. Decl.* p. 257, n° 6, hocce carmen inedit. putans. De Nic. Chumno cf. *Anecd. gr.* Boiss.
[9] Ed. λογοθέτην.
[10] ἢ pro ἣν Boiss.
[11] Ed. παρέσχεν Ἀνδρόνικος.

Ταῦτα τὰ λαμπρὰ τῆς κάτω σκηπΊουχίας,
Προεδρίαι[1], σχήματα, σεμνότης, δόξα,
Ῥέων τε πλοῦτος, καὶ πηλὸς ἐπηρμένος,
Κόνις τε τύχης τοῖς πνεύμασιν ἀρθεῖσα,
Τέλος τάφος τρίπηχυς. Ὦ βίου πλάνη!
Φιλοσόφων ὕπατος, ῥητόρων πρῶτος,
Δικαιοφύλαξ σὺν αὐτῷ, νομοφύλαξ,
Καὶ βασιλικῶν τῶν ἱερέων πρῶτος.
Πάρεσῖιν ἄρχων ἱερῶν διακόνων,
Καὶ τῶν μελῳδῶν, οἱ πρωτοψάλται δύο,
Κἀν ταῖς ἑορταῖς λαμπαδηφόρος[2] ἄλλος,
Ἀποσῖολικῶν ὁ κῆρυξ διδαγμάτων,
Δομέσῖικός τε καὶ μαΐσῖωρ τοῦ κλήρου.
Ταύταις[3] βασιλεὺς ταῖς τιμαῖς ὑπεξαίρει
Πλήρωμα σεπῖὸν εὐαγοῦς ἐκκλησίας,
Ἣν ἀῤῥαγῆ φύλαξον μέχρι τερμάτων,
Ὑψιμέδων ἄναρχε, τοῦ νῦν αἰῶνος·
Καὶ τὴν καθ' ἡμᾶς εὐσεβῆ βασιλίδα,
Ἣν ὡς κιβωτὸν σωσῖικὴν νῦν τοῦ κράτους
Ἐν τῷ καθ' ἡμᾶς κατακλυσμῷ βαρβάρων
Ἄνωθεν ἐγνώκαμεν ναυπηγηθεῖσαν,
Ὑπερτέραν τήρησον τῆς καταιγίδος,
Συμπήξας ὡς οἴακας αὐτῆς τοὺς κλάδους,
Καὶ βασιλεῖ βράβευε λαμπρὰς τὰς νίκας,
Δεικνὺς κατ' ἐθνῶν εὐσθενῆ νικηφόρον.
Ῥίζωσον αὐτὸν ὡς τῶν χαρίτων κλάδον,
Καὶ δεῖξον ἡμῖν καρποφόρον ἐξ ἔργων.
Ἔκτεινον αὐτῷ τῆς εὐβουλίας φρένας,

[1] προεδρίας ed.
[2] Cod. λαμπαδοφόρος.
[3] Vers. 133 et sequentes desunt in codice.

Στένωσον αὐτῷ τῶν ἐναντίων θράσος,
Στόλισον αὐτὸν πορφύραις εὐσεβείας,
Ἄνοιξον ἡμῖν τὰς πρὸς εἰρήνην πύλας,
Πλάτυνον αὐτῷ τὴν ἀρχὴν τοῖς τροπαίοις,
Οἷς καὶ φανείη κοσμικὸς αὐτοκράτωρ.
Ὁ πατριάρχης σὺν ἡμῖν ταῦτα λέγει,
Κάμπτων εὐσεβῶς τῷ δεσπότῃ τοὺς πόθους,
Καὶ νυκτὸς αὐτῷ τὰς εὐχὰς ἀναφέρων,
Αἷς νυκτὸς ἀχλὺν Ταρταρικῆς καὶ σκότος
Ἐλάσας ἡμῖν ἀντανίσχει φωσφόρος
Ἀκτῖνας λαμπρὰς ὡς λευκῆς τῆς αἰθρίας
Εἰς πάντα κοινῆς τῆς εἰρήνης τὸν κόσμον.

XLII[1]. Εἰς τὸν πρωτοστράτορα Δοῦκα τὸν Γλαβᾶν.

Φρικτὲ στρατηγὲ, δεξιῶν ἔργων φύσις,
Κρατεῖν μὲν ἐχθρῶν καὶ τροποῦσθαι σατράπας,
Καὶ δημιουργεῖν ἐν βραχεῖ πλείστας νίκας,
Ἱδροῦν τε συχνὰ καὶ δριμεῖς[2] πόνους φέρειν,
Ἐντεῦθεν ἐξὸν εὐπραγεῖν τὴν πατρίδα·
Τί τάχα καινὸν εἴ τις εὖ τύχης ἔχων,
Καὶ τὸν λογισμὸν ἀκριβῶς διεξάγων,
Ὅταν ὁ καιρὸς εὐμαρίζῃ[3] τὴν μάχην,
Τοιαῦτα ποιεῖν ἀσφαλῶς ἐξισχύει;
Λιμὸν δὲ κινεῖν καὶ ψυχῆς πόνους λύειν,
Καὶ τὰς ἐν ἀκμῇ τοῦ κακοῦ περιστάσεις
Εἴργειν, κατάγχειν, ἐκνικᾶν, περιτρέπειν
Τῷ χρυσέῳ δόρατι τῆς εὐποιΐας,
Θεοῦ τε καὶ σοῦ· σὺν θεῷ δὲ λεκτέον.

[1] Carmina XLII-LIV ex meo *Catalog. codd. Escur.* pag. 45 et sq.

[2] Cod. δρυμεῖς.

[3] Cf. cod. Esc. CLXXIII, 61.

Δεῖ γάρ σε νικᾶν συμπαθῶς καὶ τὰς λύπας,
Ὡς πρὶν Τριβαλλοὺς οὓς καθεῖλες εἰς τέλος,
Καὶ Σκύθας αὐτοὺς τοὺς ἐν ἑσπέρᾳ λύκους.
Μὴ γοῦν παραδράμῃς με τὸν σὸν οἰκέτην,
Ὁ καινοποιὸς, ὁ γλυκὺς πρωτοστράτωρ,
Ὁ χρύσεος ῥοῦς, ἡ θεόσδοτος χάρις.

XLIII. Εἰς τὴν εἰκόνα τοῦ ἁγίου Δημητρίου γλυφεῖσαν εἰς λίθον.

Λίθος, μυροβλύτα, σε τυποῦν ἰσχύει[1]
Δεικνὺς κραταιὸν ὡς ἀδάμαντα λίθον,
Πτήξαντα μηδὲν αἱμάτων πλὴν τὰς χύσεις
Τῆς λογχινίκτου[2] πλευρᾶς ἅπερ ἐκχέεις.

XLIV. Εἰς εἰκόνα αὐτοῦ φέρουσαν αὐτὸν σὺν πανοπλίᾳ.

Τὸν μυροβλύτην σὺν πανοπλίᾳ γράφεις;
Ναί. Καὶ τὸν ἀντίπαλον οὐδαμῶς γράφεις;
Ἐξηφάνισται καὶ μόνῃ πνοῇ μύρου,
Δυσωδίας ἄντικρυς οἷαπερ φύσις.

XLV. Ἕτεροι εἰς τὴν αὐτὴν εἰκόνα.

Ἐκ σχημάτων βλέπω σε τὸν μυρορρόα
Σφοδρὰν κατ' ἐχθρῶν ἀγανάκτησιν τρέφειν.
Καὶ τοῦτο δῆλον ἀπὸ τῶν ἀντιθέτων·
Οὐ γὰρ πάρεισιν, οὐκ ἴχνος σφῶν εὑρέθη.

XLVI. Εἰς εἰκόνα τοῦ μεγάλου Βασιλείου.

Πολλή σε φροντὶς, μάκαρ, ἐξ εἴδους ἔχει,
Πολλὴ μέλησις ἐξ ἄκρας θεωρίας·

[1] Syllaba deest in codice qui habet σε τυποῦν ἰσχύν. Cum ἰσχύει versus recte procedit.

[2] Leg. λογχινύκτου vel potius λογχηνύκτου. Vid. quæ disserui de hac voce in not. 1, p. 45 *Catal. Escur.*

Ῥίζης γὰρ ἐβλάστησας ἐξ Ἐμμελίας[1],
Καὶ καρπὸν ἀνέδωκας ἐμμελεῖς λόγους.

XLVII. Εἰς πάντας τοὺς ἁγίους ἀγγέλους καὶ τὴν Θεοτόκον.

Νόες δίκαιοι καὶ θεοπρόποι, κόρη,
Μύσται, λύχνοι[2], φῶς, ὁπλῖται, φῶς μοι δότε.

XLVIII. Εἰς εἰκόνα τοῦ ἀρχιστρατήγου.

Ἄρτι κρᾶσιν ὁρῶμεν ἐν βίῳ ξένην·
Κεράννυσιν ὕδατι γραφεὺς τὴν φλόγα·
Τὴν ἄϋλον φύσιν γὰρ ἐγγράφων χρόαις
Δίδωσι πιστοῖς πρὸς πόθου φλόγας δρόσον.

XLIX. Ἀμοιβαῖοι εἰς τὴν ἐλεημοσύνην.

Οἶκτος πενήτων καλὸν ὑπερηρμένον.
Πῶς γνῶμεν αὐτό; Δεσποτικῶν ἐκ λόγων.
Τῆς εὐστοχίας μὴ περαιτέρω λέγεις;
Οὐκ, ἀλλὰ σιγῶ· καὶ σιγῶν πτωχοτρόφει.

L[3]. Τοῦ αὐτοῦ εἰς τοὺς ἁγίους μ΄.

Πολλοὺς θεωρεῖς, ἀλλὰ σωμάτων μέχρι·
Ψυχὴ[4] γὰρ αὐτὰς[5] ὡς ἑνωθεῖσι μία
Πνέουσα Χριστὸν ζωτικὴν θυμηδίαν.

LI. Εἰς τὸν οἶνον ὑφαντοί.

Σὺ θάρσος, ἥβη, δύναμις, πλοῦτος, πόλις
Δειλῶν, γερόντων, ἀσθενῶν, πτωχῶν, ξένων.

[1] Ludit in vocibus Ἐμμελία et ἐμμελής.

[2] Cf. supra XLV, 4.

[3] Habet et cod. Paris. 1630, 195 v°.

[4] Cod. Esc. ψυχαί.

[5] Leg. αὐτοῖς.

LII[1].

Κλεινὲ σ7ρατηγὲ, λῆξον ὀψὲ τῶν δρόμων,
Καὶ τῶν ἐμῶν ἄκουσον ἀσμένως λόγων.
Σὺ μὲν Ξανατοῖς τῇ σπάθῃ τοὺς βαρβάρους
Γίγας πεφυκὼς, γεννάδας βριαρόχειρ·
Ἡμᾶς δὲ λιμὸς τῶν ἀναγκαίων τρύχει
Καὶ τῆς πενίας κατακεντᾷ τῷ ξίφει,
Ἥλιε, τείνας τοὺς λόγους[2] τεθραμμένους.
Οἴχεσθε λοιπὸν ὦ λόγοι, βίβλοι, πόνοι,
Καὶ μηδὲ γινώσκεσθε τοῖς κεκτημένοις.
Νῦν εὐποροῦσιν οἱ λόγους οὐκ εἰδότες·
Οἱ γὰρ τεχνῶν βαναύσων ἐξησκηκότες[3]
Πλουτοῦσιν αἴφνης καὶ τρυφῶσιν εἰς κόρον·
Πανδαισίαις χαίρουσιν οἱ σκυτοῤῥάφοι[4]
Καὶ βυρσοδέψαι καὶ κναφεῖς ἔτι πλέον.
Ἐγὼ δὲ καμὼν ἐν λόγοις πολυτίμοις,
Καὶ πολλὰ μαθὼν τῶν σοφῶν μαθημάτων,
Εἰδώς τε γράφειν καὶ σ7ιχίζειν ἐμμέτρως,
Καὶ λεπ7ολεκτεῖν[5] τοὺς λόγους τῶν ῥητόρων,
Καὶ γνοὺς ἀκριβῶς οὐρανοῦ πᾶσαν Ξέσιν,
Τῆς γῆς τὸ κύτος, τῆς Ξαλάσσης τὴν χύσιν,
Τοὺς ἡλιακοὺς καὶ σεληναίους δρόμους
(Ἐῶ τὰ λοιπὰ τοὺς μακροὺς μισῶν λόγους),
Τοσαῦτα καὶ τοιαῦτα μαθὼν ἐκ βρέφους
Πολλαῖς μὲν ἄλλαις ἐλπίσιν ἐβοσκόμην·

[1] Anepigraphi, sed probabiliter ad Jo. Glabam.

[2] Leg. κτείνας τοὺς λόγοις.

[3] Struxit ut substantivum.

[4] Eustath. *Opusc.* p. 21, 77: Ὑφαντοῦ μὲν, ὡς ἐνδύσασθαι, σκυτοῤῥάφου δὲ, ὡς ὑποδήσασθαι.

[5] Vox addenda *Thesauro*.

Ἀλλ' ὡς δ' ὁ κύϐος[1] ἐῤῥίφη τῶν πραγμάτων,
Χρυσοῦν θερίσαι προσδοκῶν σΊάχυν πόνων,
Ἄρτι θερίζω τῆς πενίας τριϐόλους[2],
Οἳ καταδαρδάπΊουσι καὶ θλίϐουσί με,
Καὶ τῶν ὀδῶν ἐκσπῶσι τῶν εἰς τὰ πρόσω.
Τίς γοῦν γενοίμην; πῆ τράπωμαι, πῆ φθάσω;
Νότος γὰρ ἤδη παμφάγων[3] δυσπραγίας
Ὠθεῖ με πρὸς πέλαγος ἠγριωμένον.
Λιμὴν γαληνὲ, σῶζε τὸν σὸν αἰνέτην·
Ἵππους ἔχω τρεῖς, ἀλλὰ κριθὴν οὐκέτι.
Σὺ γοῦν χαρίζου πρὸς θεοῦ ταύτης ἔχων
Τοῖς οὐκ ἔχουσιν οὐδὲ κἂν κόκκους δύο.
Ἰδοὺ γὰρ οὗτοι ζῶντες οὐ ζῶσι πλέον,
Πλὴν ἀλλ' ἀμυδρῶς καὶ κατηναγκασμένως
Τὸν ἥλιον βλέπουσι καὶ τὴν ἡμέραν,
Καὶ βηματίζειν οὐ σθένουσιν ἐκ βίας.
Ὕδωρ μόνον πίνουσι καὶ ζῶσι μάτην·
Ἕξεις δὲ μανθάνουσιν ἠσϐολωμένας,
Καὶ καταπαλαίουσι τὰς ἐμπροσθίας,
Καὶ καταλακτίζουσι[4] τοῖς ὀπισθίοις·
Τὸ δ' ἄχυρον τρώγουσιν ἐξ ἀῤῥωσΊίας,
Ὡς ἀσθενεῖς χαίνοντες ἐν τοῖς φατνίοις.
Ὅμως ὅταν φάγωσι καὶ τοῦτο πλέον,
ΛυτΊῶσι καὶ δάκνουσιν ἀλλήλους τάχα·
Τέλος καταπίπΊουσιν ὡς τεθνηκότες,
Καὶ συχνὸν ἀσθμαίνουσιν ἐκ τῶν ἐγκάτων,

[1] Constant. Manass. 646 : *Καὶ τὸ τῆς τύχης παίγνιον καὶ κύϐος τῶν πραγμάτων*. Cod. Par. II, 94 : *Καὶ πᾶς ὁ πεττὸς ἀσΊοχεῖ τῶν πραγμάτων*.

[2] Cod. Florent. CLVII, 10 : *Τοῦ φθόνου τὴν τρίϐολον*.

[3] Conf. cod. Esc. CLIX, 47.

[4] In *Thesauro*, sine exemplo.

Καὶ λοίσθια[1] πνέουσι βαβαὶ τῆς βίας.
Σὺ δ' ἀλλὰ τούτους ζωοποιήσεις μόνος.
Κριθὴν παρασχὼν πρὸς Θεοῦ γένοιτό[2] μοι.

LIII.

Γυνὴ, ζύμη, βέλτιστε, καὶ σάτα τρία,
Ἔχουσιν ἐξήγησιν ἐξῃρημένην,
Ἀλληγοροῦσαν τοὺς προκειμένους λόγους.
Γυνὴ μέν ἐστι προσφυῶς ἐκκλησία·
Ζύμη δὲ θεῖος καὶ θεόγραφος λόγος,
Ἄλευρον ἡ φέρουσα τούτων[3] καρδία,
Ψυχῆς δὲ τριμέρεια τὰ τρία σάτα,
Θυμὸς, λόγος, πόθος τε, κρειττόνων ἔρως,
Ἐν οἷς ὁ θεῖος συμφυραθείς πως λόγος
Ὅλην συνεζύμωσε τὴν ψυχῆς φύσιν.
Τὸ γοῦν σάτον πέφυκε χοίνικες δύο
Ἑβραϊκὸν σήμαντρον[3] οἰκεῖον μέτρον.

LIV.

Ἔλεγχος[4] εἰμὶ τῶν φίλους ἀρνουμένων,
Βροτοὺς ἐγείρω, πρὸς πόνους παροτρύνω.
Τέμνεις κεφαλὴν, ἐκθερίζεις αὐχένα,
Καὶ γίνομαι παῖς αὐτίκα βασιλέως,
Ἀνὴρ αὐστηρὸς[5], ἀκλόνητος ἐν μάχῃ.

LV[6]. Εἰς τὸν β' (in editis 42) λόγον.

Πῶς δευτερίζεις πρῶτος ὢν ἀλλοτρόπως,

[1] Cod. λίσθια et ο supra. De hac locutione vid. quæ disserui in *Bulletin archéol.* 1855, pag. 14.

[2] Fort. γένοιο.

[3] Leg. τοῦτον.

[4] Id est ἀλέκτωρ, in quo invenitur Ἕκτωρ. C. Boiss. *An. gr.* t. III, p. 445.

[5] Leg. ἀτηρός.

[6] In S. Gregorii Naz. orationes. Ex ed. Matthæi, p. 6. Conf. supra VII.

Ταῖς ὑπερλάμπροις[1] συμπλοκαῖς τῶν δογμάτων,
Καὶ τοῖς δυσλήπτοις τῶν νοημάτων λόγοις,
Ἐξ ὧν τὸ θαῦμα τῆς θεωρίας φέρεις;

LVI[2]. Εἰς τὸν γ' (in editis 43) λόγον.

Ἄρτι προΐσχει πᾶσα τέρψις χαρίτων,
Πᾶν ἐστιῶσα τῶν ἐν αἰσθήσει γένος·
Ἥρους[3] γὰρ αὐτὴν τὴν ἀνάστασιν λόγος
Νῦν δεξιοῦται πᾶν καλὸν συνεισφέρων,
Πόλον διαυγῆ καλλιλαμπῆ φωσφόρον,
Τὴν γῆν πολύχρουν ἠρινῶν ἐξ ἀνθέων,
Ἄρδην θάλατταν πᾶσαν ἡμερουμένην,
Τὸ μεῖζον αὐτοὺς εὐσταλεῖς τοὺς ἀέρας,
Πηγὰς, ποταμοὺς, πᾶσαν ἅμα τὴν κτίσιν·
Ἄνθρωπε, λοιπὸν εἰς ὑπέρτερον βίον
Ὡς ἀγχίνους πρόβαινε θᾶττον, μὴ φθάσαν
Τὸ τοῦ τέλους πρόστιμον ἁρπάξειέ σε·
Ἡμεῖς δὲ ταῦτα νῦν φράσαντες, ὡς σθένος,
Ὑψηγορικῶν ἐγκαινισμάτων λόγους,
Γράφοντες ἔνθεν ἀνυμνοῦμεν τὸν λόγον.

LVII[4]. Τοῦ Φιλῆ πρὸς τὸν κοιέστορα τὸν Ἀζύμ[5]... ἀλγοῦντα τὸν πόδα.

Τοῦ σοῦ ποδὸς τὸ τραῦμα, θαυμαστὴ φύσις,
Τὴν τῆς ἐμῆς ἔπληξε καρδίας βάσιν·
Οὐκοῦν πάλιν βάδιζε ῥωννὺς τὴν φύσιν,
Μήπως τὸν ἀρτίπουν με χωλὸν δεικνύῃς.

[1] Voces ὑπερλάμπροις et δυσλήπτοις contra metrum. Sed nihil mutandum.

[2] Ex ed. Matth. p. 6.

[3] Leg. Ἥρος.

[4] Edidit Iriarte in *Catal. codd. gr. Matrit.* p. 263.

[5] Leg. Ἀτζύμην, de quo sæpius Noster.

LVIII[1]. Εἰς λίθον ἔχοντα τὸν δεσπότην Χρισ7όν.

Ὕδωρ ὑπελθὸν τὴν ὑγρὰν φύσιν λίθου
Καὶ κρυσ7αλωθὲν τοῦ γλυφέντος τῷ τρόμῳ
Πέπηγεν ἑσ7ὼς ἐξ ὑγροῦ φλόγα τρέφον,
Τὴν πηγνύσαν κρύσ7αλλον ἐμπύρῳ τρόπῳ.

LIX[2]. Εἰς τὸ αὐτό.

Κρυμῶδες ὕδωρ τὸ ζέον ὕδωρ φέρει,
Λαξευτὸς ἀλάξευτον ὡς λίθος λίθον,
Ἄνθρακα τὸν πύρινον ὑγρά τις φύσις·
Καὶ καινὸν οὐδέν· οὐ Θεὸν τρέφει φύσις,
Ἂν παρθένοις ἔκλεπ7ε τοῦ θείου γάμου
Ἔλαιον ἀπόνως σκοτισθὲν τοῦ λύχνου.
Τί λοιπόν; οὐ γαμεῖται πόρνη καρδία
Καὶ μαχλὰς οὖσα καὶ λύχνον σ7ερουμένη.

LX[3]. Στίχοι ἰαμβικοὶ Φιλοπόνου τινὸς εἰς τὸν κανόνα τοῦ μεγάλου σαββάτου.

Βουλὴν Ἰωσὴφ σχηματίζει τὴν ἄνω,
Καὶ Νικόδημος τὴν θέσιν τε τὴν κάτω,
Ὁ μὲν Θεοῦ κένωσιν οἷς περιδύει,
Ὁ δὲ βροτοῦ θέωσιν οἷς περιχρίει,
Ὅμως τὸ καινὸν θαῦμα θάπ7οντες πόθῳ
Ἐκ τοῦ ξύλου λύουσιν, οὐκ ἐκ τοῦ κράτους.

LXI[4]. Ἕτεροι σ7ίχοι ὅμοιοι εἰς τὰς δεσποτικὰς ἑορτάς.

Ὦ θαῦμα! γασ7ὴρ ἀσπόρως συλλαμβάνει·

[1] Cod. Vat. 573, fol. 72 r°. Carmina LVIII-LXIII ex pessima amici mei transcriptione nunc edo.

[2] Cod. Vat. 573, fol. 72 r°.

[3] Cod. Vat. 573, *l. c.*

[4] Cod. Vat. 573, *l. c.*

Θεὸς βροτὸς δὲ τίκτεται παρ' ἐλπίδα,
Καὶ πρέσβυς αὐτὸν ἀγκαλίζεται βρέφος·
Σαλπίζεται δ' αὖ μηδαμῶς σχὼν ῥύμματα,
Καὶ φῶς μαθηταῖς ἐν Θαβὼρ φανεὶς νέμει·
Φθορᾶς δ' ἀνίστα τὸν τεταρταῖον φίλον,
Καὶ παῖδες εὐφημοῦσι τοῦτον ἐν κλάδοις·
Σταυρῷ τε θνήσκει προσπαγεὶς ἑκουσίως,
Ἀνίσταται δὲ κόσμον ἐξ Ἅδου φέρων,
Εἰσέρχεται δὲ τῶν θυρῶν κεκλεισμένων,
Καὶ γῆθεν ἀρθεὶς πατρικὴν πρὸς ἑστίαν
Γλωσσῶν ἐν εἴδει τὸν παράκλητον νέμει.

LXII[1]. Εἰς τὸν ἐνταφιασμόν.

Ἐρωτ. Βαβαὶ τί τοῦτο; καὶ σὺ θνήσκεις, Χριστέ μου
Ὁ δοὺς πνοὴν ἅπασι καὶ ζωῆς ὅρους;
Ἀπόκρ. Θνήσκω μὲν ὡς ἄνθρωπος, ἀλλ' ἑκουσίως·
Ἀδὰμ δ' ἀνίστω τῆς φθορᾶς καὶ σαπρίας,
Καὶ πάλιν ἔλθω παραδείσου πρὸς πλάτος·
Δόξαζε λοιπὸν τὴν ἐμὴν εὐσπλαγχνίαν.

LXIII[2]. Τοῦ Φιλῆ πρὸς τὴν ἑαυτοῦ ψυχήν.

Ἰδοὺ τὸ τέρμα τοῦ πολυμόχθου βίου!
Ἰδοὺ τὸ κέρδος τῶν προλαβόντων πόνων!
Μάτην τὸ λοιπὸν ἐν πόνοις ἐτρυχόμην·
Ἐπὶ κενοῖς ἔδραμον, ὦ ψυχή, πάλαι,
Ἐπὶ πετρῶν ἔσπειρα καὶ κατεφρύγη,
Ἐν ταῖς ἀκάνθαις ὁ σπόρος συνεπνίγη,
Οὐκ ἀπεθησαύρισα τῆς γεωργίας,
Οὐδὲν θέρους ἄξιον ἀντεκτησάμην,

[1] Cod. Vat. 573, fol. 72 r°. — [2] Cod. Vat. 573, fol. 94 r°.

Οὐ χειροπληθὲς δράγμα καὶ κόκκου σΊάχυν,
Κοῦφον δὲ λέμμα καὶ πελιδνὴν καλάμην.
Ἐπὶ βάθρων ἔπηξα σαθρῶν οἰκίαν,
Ἀλλ' οὐδὲ βάθρον νῦν ὁρῶ τῆς οἰκίας·
Ἐφ' ὑδάτων ἔγραψα καὶ παρεῤῥύη,
Κόνιν συνῆγον, κέρδος οὐδὲν εὑράμην·
Τέφραν κατεῖχον, πομφόλυγος ἠπΊόμην,
Ἀλλ' ἐξεφυσήθησαν ὡς ἐξ ἀνέμων.
Τὸ πᾶν ἀκερδές, οὐχ ὑφεσΊός τι βλέπω·
Ἀνήνυτον πᾶν, οὐδαμοῦ πόνων τέλος·
Πόνων γὰρ ἀρχὴ τῶν πόνων μοι τὰ τέλη·
Δεῖ γοῦν πονεῖν με καὶ πάλιν δεῖ με τρέχειν.
Πῶς οὖν δραμοῦμαι πάλιν, ὦ ψυχὴ, λέγε,
Πῶς ἐκπετάσω, πῶς ὑπερβῶ τὰς πάγας,
Πῶς ἐξαλύξω τοῦ πονηροῦ τοὺς βρόχους,
Τοῦ συνθέτου ξύμπαντος ἐξηρθρωμένου
Καὶ τῶν ποδῶν μοι τῶν πΊερωτῶν τοῦ τάχους
Εἰς παντελῆ λήξαντος ἀκινησίαν;
Ἀλλ' ὦ βασιλεῦ τοῦ Θεοῦ παῖς καὶ Λόγε,
Ψυχὴν ἐμὴν κάθαρον ἐκ ῥυπασμάτων,
Ψυχὴν ἐμὴν οἴκτειρον ὡς εὐεργέτης
Κλῆρον παρασχὼν τῆς Ἐδὲμ κατοικίαν.

LXIV. Μετεφράσθη[1] παρὰ κυρίου Γεωργίου τοῦ Φιλῆ[2].

Εὐλόγει μεγαλύνουσα, ψυχή μου, τὸν δεσπότην·
Ὁ Κύριός μου καὶ Θεὸς, ἐμεγαλύνθης σφόδρα·
Καὶ γὰρ ἐξομολόγησιν καὶ κράτος ἐνεδύσω,

[1] Debeo hanc metaphrasin Psalmi CIII humanitati Krabingeri viri doctissimi, qui eam descripsit e codice Monac. 56, fol. 303 v°. Versuum ordinem in apographo valde turbatum restitui.

[2] Apogr. Φυλῆ.

Ὁ φῶς ἀναβαλλόμενος ἀντὶ λαμπρᾶς ἐσθῆτος[1],
Ὁ δέῤῥιν ὥσπερ τῇ χειρὶ τὸν οὐρανὸν ἐκτείνας[2],
Αὐτοῦ δὲ τὰ μετέωρα σῖεγάζων ἐφ' ὑδάτων,
Ὁ τὴν ἐπίβασιν αὐτοῦ καταπηγνὺς νεφέλην[3],
Ἐπὶ ϖῖερύγων δὲ λεπῖῶν ϖεριπατῶν ϖνευμάτων·
Ὁ τοὺς ἀγγέλους ἑαυτοῦ ϖνεύματα δρῶν ὀξέα,
Πυρὸς δὲ φλόγα δρασῖικὴν τοὺς λειτουργοὺς δεικνύων.
Ὁ γῆς ἐρείσματα ϖηγνὺς ἐπὶ τὴν ταύτης βάσιν,
Ἢ ϖάντως οὐ κλιθήσεται[4] μέχρι ϖαντὸς αἰῶνος.
Ἄβυσσος ὡς ἱμάτιον ἡ τούτου καλινδήθρα[5].
Φύσις ὑδάτων σῖήσεται κἂν τοῖς ὀρείοις[6] λόφοις.
Ἀπὸ δ' ἐπιτιμήσεως φεύξεταί σου ἡ κτίσις,
Καὶ ϖάντες δειλιάσουσι[7] τῷ τῆς βροντῆς σου κτύπῳ.
Ἀνάβασις ἐν ϖόλεσι, κατάβασις ἐν ϖέδοις[8]
Καὶ τόπῳ τῷ τοῖς κρίμασι τοῖς σοῖς ἐσῖηριγμένῳ[9].
Ὅριον[10] ἔθου ϖεπηγὸς[11], ὃ ϖαρελθεῖν οὐκ ἔνι·
Οὐδὲ γὰρ ἐπισῖρέψουσι τὴν γῆν καλύψαι ϖάλιν.
Ὁ καὶ ϖηγὰς ταῖς φάραγξιν ἐξανασῖέλλων χύδην[12],
Ὕδατα διελεύσεται ἐκ μέσου τῶν ὀρέων.
Καὶ ϖοτιοῦσι δαψιλῶς τοὺς ἀγρονόμους θῆρας,
Ὄναγροι δὲ ϖροσδέξονται διψῶντες τὰς ἐκχύσεις.
Τοῦ δ' οὐρανοῦ τὰ ϖετεινὰ κατασκηνοῦσι τούτοις,
Δώσουσι δέ τινα φωνὴν καὶ μεταξὺ τῶν λίθων.

[1] Apogr. αἰσθῆτος.

[2] Apogr. κρατείνας.

[3] Apogr. καταπηγὺς νεφέλης.

[4] Apogr. κληθήσεται.

[5] Apogr. ἡλῖν δίθρα (sic). Hic pro ϖεριβόλαιον Psalm. Unde significatio minus obscura apud Philen quem citat *Thesaurus*.

[6] Apogr. κἂν τοῖς ὀρίοις. Vers. seq. fort. leg. φευξεῖται.

[7] Apogr. δειλιάσωσι.

[8] Apogr. ϖαῖδες (sic).

[9] Apogr. τὸ (sic)... ἐσῖηριγμένην.

[10] Apogr. ὅριος.

[11] Apogr. ϖεπηγώς.

[12] Apogr. ἐξανατέλων χύδιν.

Ὄρη ποτίζων ἐν αὐχμαῖς ἀπὸ τῶν ὑπερῴων,
Ἀπὸ καρποῦ τῶν ἔργων σου κόρου τὴν γῆν ἐμπλήσεις.
Ὁ πᾶσι[1] τοῖς βοσκήμασιν ἐξανατέλλων χόρτον,
Καὶ χλόην τῇ καθ' ἕκαστον δουλείᾳ τῶν ἀνθρώπων.
Τοῦ δῆθεν ἄρτον ἐνεγκεῖν εἰς δίδοσιν[2] ἀνθρώπων,
Οἶνος δὲ τέρπει φυσικὸς τὴν ἑαυτοῦ[3] καρδίαν·
Τοῦ ἱλαρῦναι πρόσωπον μετάληψις ἐλαίου,
Ἄρτου δὲ βρῶσις γηγενοῦς στηρικτικὴ[4] καρδίας.
Τὰ ξύλα χορτασθήσεται τῆς δρόσου τοῦ πεδίου,
Καὶ κέδροι λιβανότροφοι[5] πρὸς σου πεφυτευμένοι.
Ἐκεῖ στρουθία νεοττοῖς ἐκλέψουσιν[6] ὀρνέοις,
Ἡγεῖται[7] δ' αὖ ἐρωδιοῦ τούτοις ἡ κατοικία.
Ὄρη πάντα τὰ ὑψηλὰ ταῖς δρομικαῖς ἐλάφοις,
Ἡ πέτρα δὲ καταφυγὴ τοῖς λαγωοῖς[8] ἀνεῖται.
Καὶ τοῖς προσήκουσι καιροῖς εἰργάσω τὴν σελήνην,
Ὁ δὲ φωσφόρος ἀνασχὼν ἔγνω σαφῶς τὴν δύσιν.
Ἔθου δὲ[9] σκότος ἀλαμπὲς, καὶ νύκτα κατεστήσω
Ἐν ᾗπερ ἐξελεύσεται πᾶν ἀπ' ἄγρου θηρίον.
Σκύμνοι συχνοὶ μετ' ὠρυγῆς ἁρπάσαι τι ποθοῦντες
Καὶ βρῶσιν ἐξαιτήσασθαι παρὰ τοῦ σφῶν δεσπότου.
Ἀνέτειλεν ὁ χαροπὸς φωσφόρος τῆς ἡμέρας,
Καὶ παρευθὺς[10] συνήχθησαν ταῖς μάνδραις κοιτασθέντες.
Ἄνθρωπος ἐξελεύσεται πρὸς τὸ τῶν πόνων ἔργον
Πράξει δὲ καὶ συνήθεσιν[11] ἄχρις αὐτῆς ἑσπέρας.
Ὡς ὑπερήρθη, Κύριε, τὰ κατὰ σὲ πρακτέα!

[1] Apogr. ὁ πάσοις (sic).

[2] Sic in apogr. Pro δίδοσιν fort. σίτισιν.

[3] Fort. ἀνθρώπου τὴν καρδ.

[4] Apogr. στηρικτικτικὴ καρδία.

[5] Hac voce carent lexica.

[6] Apogr. ἐκλείψουσιν.

[7] Apogr. Ἡ γῆ τε.

[8] Psalm. τοῖς χοιρογρυλλίοις.

[9] Apogr. Ἔθου σκότος.

[10] Apogr. παρ' εὐθύς.

[11] Fort. συνήθειαν.

Ἐν γὰρ σοφίᾳ ξύμπαντα καὶ τέχνῃ συνεσῇσω·
Ἡ γῆ μὲν οὖν ϖεπλήρωται τῶν νοητῶν κτισμάτων.
Οὗτος ὁ ϖόντος ὁ ϖολὺς ἐν τῷ ϖροσμήκει ϖλάτει[1]·
Ἐκεῖ τὸ ϖλῆθος ἑρπετῶν ξύμπαντος μέρους ϖλέον,
Ἐκεῖ μικρὰ ϖαντοδαπὰ μετὰ μεγάλων ζώων,
Ἐκεῖ διαπορεύονται συναγωγῆς μοι ϖλοῖα,
Καὶ δράκων οὗτος ὁ ϖλασθεὶς ἐμπαίζειν ταῖς ἀβύσσοις.
Πάντα ϖρὸς σὲ τὸν ϖλαστουργὸν καὶ κτίστην ϖροσδοκῶσι
Δοῦναι τροφὴν εἰς εὔκαιρον· δόντος σου γὰρ συλλέξει.
Ἀνοίξαντος τοὺς λόγους[2] σοῦ ϖλησθήσεται χρηστότης·
Εἰ δ' ἀποστρέψῃς τὴν μορφὴν, ἡ ταραχὴ μεγάλη·
Ἀντανελεῖς[3] τὸ ϖνεῦμα σοῦ καὶ ϖάλιν ἀνακτίσῃς,
Καὶ ϖᾶν τὸ ϖρόσωπον τῆς γῆς αὖθις καινὸν ἐργάσῃ.
Ἥτω ἡ δόξα τὸ λοιπὸν ἀκήρατος Κυρίου,
Τερφθεὶς[4] δὲ τετευχὼς[5] ὁ ϖανοῦργος δεσπότης.
Ὃς ἐπιβλέπων ἐπὶ γῆν ϖείθει τὰς βάσεις τρέμειν,
Ὃς τῶν ὀρέων ἥψατο καὶ ϑᾶττον ἐκαπνίσθη.
Ἄσω τῷ κτίστῃ ϖεριὼν, ἔτι ψαλῶ[6] δὲ ϖλέον.
Καὶ τὸ καθ' ἓν τοῖς ῥήμασιν ἐκεῖνος ἡδυνθείη,
Ἐγὼ δὲ ϖρὸς[7] ἐπ' αὐτῷ χαρήσομ'[8] ἐπισκιρτήσω.
Ἐκλείποιεν ἁμαρτωλοὶ τῆσδε τῆς γῆς ἀθρόον
Καὶ ϖάντες ἄνομοι[9] καιροὶ[10], μὴ ϖάλιν ὑποστῶσιν.
Εὐλόγει μεγαλύνουσα, ψυχή μου, τὸν δεσπότην.
Δόξα ϖατρὶ καὶ ϖνεύματι νῦν καὶ εἰς τοὺς αἰῶνας.
Ἀλληλουϊα, δόξα σοι ὁ Θεός.

[1] Apogr. ϖλάττει.
[2] Psalm. χεῖρας.
[3] Apogr. ἀντανελοῖς.
[4] Fort. τερφθήσεται.
[5] Apogr. τέτευχος.
[6] Apogr. ψάλλω (sic).
[7] Fort. ἐγὼ δ' ἑτέρως.
[8] Fort. χαρεὶς ἐπισκ.
[9] Apogr. ἄνεμοι.
[10] Fort. καιροῖς.

LXV. Τετράστιχα[1] τοῦ Φιλῆ[2].

Τοῦ κιθαρῳδοῦ μὴ παρόντος ἐνθάδε,
Τὸ πνεῦμα κινεῖ τῶν μελῶν σοι τοὺς τόνους.
Οὐκοῦν τὸ λαλοῦν τῷ Θεῷ πλῆκτρον δίδου,
Καὶ φεῦγε, πιστὲ, τῆς ψυχῆς τὴν ἀγχόνην.

[1] Ex eodem codice fol. 307 r°. Descripsit v. d. Krabinger.

[2] Apograph. Φυλῆ. Nesselius Joanni Philæ adscribit.

CORRIGENDA ET ADDENDA.

T. I, p. 5, VIII, cod. Flor. fol. 273 r°: *Εἰς εἰκόνα ἔχουσαν τὴν ὑπαπαντὴν, ἐν δὲ τῇ κ. τ. λ.*

—— *ibid.* v. 6, *δεδωκόσιν* cod. Flor.

—— *ibid.* v. 12, *ἐφέλκεται* cod. Flor. Sic legendum.

—— p. 30, LX, cod. Mosq. *συνεσφιγμένων*, sine *τέσσαρας.*

—— *ibid.* LXI, cod. Vat. fol. 183 v°, sine titulo.

—— p. 32, LXVII, v. 6, cod. Mosq. *τὸ δοκεῖν* pro *τῷ δοκεῖν.*

—— *ibid.* LXVIII, v. 4, cod. Mosq. *Μὴ τὸν αὐτὸς* et supra *σόν.*

—— p. 34, LXXIV, cod. Mosq. *μεγάλου* pro *μεγαλομάρτυρος.*

—— p. 37, LXXXV, v. 1, cod. Par. *θρόνον* pro *βλέπω.*

—— p. 38, LXXXVI, cod. Mosq. *Τοῦ αὐτοῦ εἰς λίθον σφαιροειδῆ κρύον ἐν ᾧ ἦν ἐγγεγλυμμένος ὁ δεσποτικὸς τύπος.*

—— *ibid.* v. 2, cod. Mosq. *πήγνυσιν οὖν.*

—— *ibid.* v. 3, cod. Mosq. *φύσιν* pro *χύσιν.*

—— *ibid.* v. 4, cod. Mosq. *τύπος* pro *λίθος.*

—— p. 39, n. 10, pro CVII leg. CCVII.

—— p. 42, v. 59, pro *δυσῳδίας* leg. *δυσωδίας.*

—— p. 49, v. 80, leg. *ἐπεὶ* pro *ἐπεί.*

—— p. 65, v. 11, leg. *Σολομῶν* pro *Σολομών.*

—— p. 85, CLXXV, cod. Mosq. fol. 175 r°: *μεγάλου* pro *ἁγίου.*

—— *ibid.* v. 1, cod. Mosq. Σῷ pro Τῷ. Recte.

—— p. 86, CLXXIX, cod. Mosq. *Αὐθωρὸν εἰς τὸν τ. . . . . τάφον.*

—— p. 89, CLXXXIII, cod. Mosq. fol. 179 v°: *Ὅμοιοι τῷ πατριάρχῃ Νίφωνι.*

—— p. 90, CLXXXVI, v. 4, cod. Mosq. *λίπανον.*

—— p. 96, CXCIV, cod. Mosq. fol. 179 r°: *Αὐθωρὸν εἰς ἑτέραν δεσποτ. εἰκ.*

—— p. 97, CXCVII, cod. Mosq. fol. 178 v°: *Αὐθωρὸν εἰς τ. στ.*

—— *ibid.* CXCIX, cod. Mosq. fol. 180 r°: *Ἐπίγραμμα εἰς τοὺς στίχους τοὺς εἰς τὴν δέσπ. ὅτε ἀφ. κ. τ. λ.*

—— p. 117, CCXXIII, cod. Coisl. 192, fol. 279 r°: *Εἰς τὸ κοιμητήριον τοῦ ἀει μνήστου πρωτοστράτορος τοῦ Γλαβᾶ κυκλ. τοῦ ναοῦ ἔξωθεν.*

T. I, p. 118, v. 14, cod. Coisl. δ' οὖν ὀργ. σοι τὴν σῖέγην.
—— *ibid.* v. 18, cod. Coisl. εἰ καὶ σῖ. ϖροξενεῖς.
—— p. 125, ccxlii, cod. Mosq. Εἰς εἰκόνα Φρονήσεως τῷ δακτύλῳ τὴν ἑαυτῆς δεικνύουσαν κεφαλήν.
—— p. 126, ccxliii, cod. Mosq. Ἀνδρείας ὡπλισμένην οὖσαν.
—— *ibid.* ccxliv, cod. Mosq. Εἰς εἰκόνα τῆς Δικαιοσύνης ζυγὸν ἐν τῇ χειρὶ φέρουσαν.
—— *ibid.* ccxlv, cod. Mosq. Εἰς τὴν τῆς Σωφροσύνης σῖεφηφοροῦσαν καὶ σεμνὸν βλέπουσαν.
—— *ibid.* ccxlvi, cod. Mosq. Εἰς τὴν εἰκ. τοῦ βίου.
—— p. 127, ccxlviii, cod. Mosq. Εἰς εἰκ. τ. β. ἥτις ἦν δένδρον ἔχον ἐπάνω ἄνθρωπον ἄνω κεχηνότα· κάτωθεν δὲ ἦν δράκων καὶ ἐκ ϖλαγίου μονόκερως.
—— p. 130, cclvi, cod. Vat. 914, fol. 189 r°: Εἰς τὸν ϖατριάρχην κυρ. Νίφωνα μὴ διδόντα αὐτῷ συντόμως ὃν ᾐτήσατο βοῦν. Et male Τί σιωπῶ pro Ἔτι σιωπ.
—— p. 133, cclxix, cod. Mosq. Εἰς ἐγκ. τοῦ ϖανευτυχεσῖάτου δεσπότου κυρ. Δημητρίου, ἐν ᾧ ἦν ὁ μέγας Δημ.
—— p. 134, cclxxi, cod. Mosq. Ἄλλοι. Et v. 1, καὶ pro μή.
—— *ibid.* cclxxii, cod. Mosq. Εἰς τὸν ἅγιον Δημήτριον νυτῖ. κ. τ. λ.
—— *ibid.* cclxxiii, v. 2, cod. Mosq. ἔπαθλον, male; et v. 4, θαυμάζῃς.
—— p. 135, cclxxiv, cod. Mosq. Εἰς μυρ. κιϐώτιον τοῦ αὐτοῦ, ἐν ᾧ ἴσῖ. κ. τ. λ.
—— *ibid.* cclxxv, cod. Mosq. μύρον τοῦ αὐτοῦ. Et v. 4, ϖροφητεύοις.
—— *ibid.* cclxxvi, cod. Mosq. Εἰς κιϐ. αὐτοῦ, ἐν ᾧ ἴσῖ. κ. τ. λ.
—— *ibid.* cclxxvii, cod. Mosq. Εἰς... εἰς κιϐ. Et v. 4, κτῆσιν pro κτίσιν.
—— p. 136, cclxxix, cod. Mosq. τοῦ Νέσῖορος.
—— *ibid.* cclxxx, cod. Flor. fol. 225 r°: Εἰς τὴν ϖάλην τοῦ ἁγίου Νέσῖορος. Et v. 1, σφάζε pro σφάτῖε. — Cod. Mosq. Εἰς τὸ αὐτό.
—— p. 215, n. 7, pro *offert* leg. *affert*.
—— p. 218, n. 2, pro 38 leg. 39.
—— p. 315, v. 15, pro τῶν καλῶν fort. leg. τῶν κακῶν. Conf. t. II, p. 49, v. 380.
—— p. 383, v. 59, cifra 6 ponenda infra post vocem φθαρτοῖς.
—— p. 388, ccxiii, cod. Mosq. Ἐπὶ τῷ υἱῷ τοῦ βασιλέως κυρῷ Ἰωάννῃ τῷ δεσπότῃ τελευτήσαντι.
—— p. 389, v. 10, cod. Mosq. θέλεις.
—— *ibid.* v. 22, cod. Mosq. τοι pro τι.
—— *ibid.* v. 23, cod. Mosq. ὅποι pro ὅπῃ.
—— *ibid.* v. 24, cod. Mosq. omittit hunc versum.

T. I, p. 389, v. 26, cod. Mosq. *χέας* pro *χέων*.
—— p. 390, v. 32, cod. Mosq. *λόγων* pro *λόγου*.
—— *ibid.* v. 45, cod. Mosq. *ἡρμοσμένων*.
—— *ibid.* v. 49, cod. Mosq. *δακρύει*. Versus seqq. desunt.
—— p. 439, v. 4, cod. Vat. *Τοῦ Ψελλοῦ εἰς τὴν ὁσ. Μαρ. τὴν Αἰγ.* Et *Τί δῆτα* pro *Τί τάχα*.
—— *ibid.* v. 5, cod. Vat. *ὕψωσον — θεοπλίας*.
—— *ibid.* v. 8, cod. Mosq. 13, fol. 188 : *Στίχοι τῶν Ἀθηνῶν εἰς τὴν ὁσ. Μ. τὴν Αἰγ.* Et *Ἔχει τι πάχος*.
—— *ibid.* v. 10, cod. Mosq. 458, fol. 185 v° : *Ταύτην πρὸς ἐμφ. εἰ γράφειν θέλεις*.
—— *ibid.* v. 12, cod. Mosq. *εἰ δ' οὐκ ἔχεις πως τῆς τέχνης ἠπλωμένης*.
—— p. 442, CCXLV, cod. Coisl. 192, fol. 98 v° : *Εἰς τὸν τάφον τοῦ μεγάλου οἰκονόμου τοῦ Καππαδόκου, ὡς ἀπὸ τοῦ αὐταδέλφου αὐτοῦ τοῦ Κυζίκου*.
—— *ibid.* CCXLVI, cod. Coisl. 192, fol. 98 v° : *Ὡς ἀπὸ τοῦ μέγαλου οἰκονόμου*.
—— p. 443, v. 5, cod. Coisl. *ἀλλ' ὦ δικ.*, et *σοι* pro *σε*.
—— p. 447, CCL, cod. Mosq. fol. 178 r° : *Τῷ ἀνεψιῷ τοῦ αὐτοκράτορος τῷ Παλαιολόγῳ κυρ. Ἀνδρονίκῳ, ὅτε ἔπεμψεν αὐτῷ ἀρνίον ὃ παρευθὺς ἀπέψυξεν*.
—— p. 450, n. 2, pro 1108 leg. 1112.
—— p. 457, CCLXI, cod. Flor. Plut. LVII, cod. XXIV, *Catal.* t. II, p. 368 : *Τοῦ Φιλῆ εἰς τοὺς ἁγίους ἀποστόλους Πέτρον καὶ Παῦλον πρὸς ἀλλήλους βλέποντας, καὶ σχεδὸν ὁμιλοῦντας*.
T. II, p. 17, IX, cod. Mosq. fol. 174 r° : *Ἐπιτάφιοι εἰς τὸν Παχατοὺρ μεταξὺ τῆς μάχης ἀποκταθέντα*.
—— p. 135, LXX, cod. Mosq. fol. 173 r° : *Εἰς τὴν τοῦ πρωτοστράτορος τοῦ Στρατηγοπούλου σύζυγον ἐπιτάφιοι, εἰς τάφον ὑπὸ τὸ δάπεδον κατατεθῆναι θελήσασαν. Αὐθωρόν*.
—— p. 141, LXXXIII, cod. Mosq. fol. 175 v° : *Εἰς δακτυλίδιον τοῦ τὰ τῆς αὐλῆς τοῦ Σεναχηρείμ*.
—— p. 176, CXLIX, cod. Mosq. fol. 180 r° : *Οἱ στίχοι ἤτοι ἀναφορά*.
—— p. 187, CLIV, cod. Mosq. fol. 175 r° : *Αὐθωρόν*.
—— p. 189, CLX, cod. Mosq. fol. 174 r° : *Αὐθωρὸν ἐπιτάφιοι τῷ Ἐφέσου Ἰωάννῃ τῷ Χειλᾷ*.
—— p. 191, CLXVIII, cod. Mosq. fol. 177 r° : *Αὐθωρὸν μονόστιχα εἰς χρυσοῦν δακτυλίδιον*.
—— p. 198, CLXXIX, cod. Mosq. fol. 179 r° : *Αὐθωρὸν ὅτε εἰσίει πρὸς τὸν βασιλέα καὶ ἠρωτήθη παρὰ τοῦ εἰπεῖν ὅ, τι ἐθέλει*.

T. II, p. 199, CLXXXI, cod. Mosq. fol. 179 r° : *Εἰς τὸν μέγαν Νικ. ὅτε τῇ πρεσβείᾳ αὐτοῦ διεσώθη ἀπὸ τῆς εἱρκτῆς.*

